βασανιστικόν, οὐδὲ στάθμην τινὰ ἐπιστῆσαι, ἢ τὸ σκολιὸν αὐτοῦ καὶ διάστροφον ἐκφλυὲς ποιήσει μὴ προσαρμόττουσα; καίτοι οὐδὲ ἀπορεῖτε βασανιστῶν, ἀλλ' οὐ πείθεσθε αὐτοῖς, οὐδὲ χρῆσθε. καὶ εἶπον ἂν ὑμῖν καὶ τὰ ὀνόματα τῶν ἐνθάδε ταύτην κεκτημένων τὴν ἐπιστήμην, εἰ μὴ ᾔδειν ὅτι ἀπολαύσετε αὐτῶν τῆς ἐμπειρίας· νῦν δ' ἐμοὶ φαίνεσθε αὐτουργεῖν βούλεσθαι μᾶλλον ἢ ἑτέρων ἑρμηνέων προσδεῖσθαι. αἰτώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς, ὥσπερ ἔφην, παρὰ Πλάτωνος τοῦ σοφοῦ, τὴν ἀχλὺν ἀποσκεδάσαι ἡμῖν τῶν ὀμμάτων, ἵνα αὐτοὶ καθ' ἑαυτοὺς διαγινώσκειν δυνηθῶμεν ἀτεχνῶς θεοὺς καὶ ἀνθρώπους. ἐπακούσεται δὲ ὁ ξυνοπαδὸς τοῦ Διός, μᾶλλον δὲ ἐπακήκοεν. ἰδοὺ γὰρ αἰσθάνομαι ὦ μακάριοι τὸ στῆθος ὑποπιμπλάμενος, καί μοι ξυρρεῖ ἐξαίφνης ἔνθεν καὶ ἔνθεν τὰ νῷ ἐξευρημένα βασανιστήρια, οἷς ἐκάθηρε τοὺς φιλοσόφους ἐν τῇ καλλιπόλει, καὶ ἀπειργάσατο τελεωτέρους ἢ Φειδίας τὰ ἀγάλματα. πρῶτον δὴ ἁπάντων, φησίν, ἐκ γάμων ἔστωσαν ἱερῶν. γάμος δὲ ἱερὸς τοῦ ἀρίστου ἀνδρὸς τῇ ἀρίστῃ τῶν γυναικῶν συνερχθέντος τέ καὶ συζυγέντος. ἀθρεῖτε δὴ τοῦτον πρῶτον ὦ ἄνδρες τὸν τύπον, καὶ ἐπισκοπήσαντες ἀκριβῶς, ἐὰν ὑμῖν φαίνηται ἀναγκαῖος, φυλάττειν τέ καὶ πρόχειρον ἔχειν. ἀθρεῖτε δὲ ὧδε· εἰσί που ὑμῖν ἐν ταῖς οἰκίαις πολλοὶ μὲν ἵπποι, πολλοὶ δὲ κύνες, καὶ ἐν τοῖς ἀγροῖς γε αὖ βοῶν τε καὶ προβάτων ἀγέλαι· ὅταν οὖν βούλησθε ἐξ αὐτῶν τίκτεσθαι ὑμῖν μόσχους τὲ ἁδροὺς καὶ πώλους γενναίους καὶ σκυλάκια θηρευτικά, πότερον ἐξ ἁπάντων ὁμοίως γεννᾶτε, ἢ προθυμεῖσθε ὅτι μάλιστα ἐκ τῶν ἀρίστων; ἐγὼ μὲν γὰρ ὑμᾶς ὁρῶ τόν τε ἵππον ἐξετάζοντας τὸν βησόμενον, εἰ γαῦρός τε καὶ ὑψαύχην καὶ ἐλευθέριος· τήν τε κύνα ἐξ ἧς μέλλετε σκυλακεύεσθαι, εἰ Λάκαινα ὄντως γενναία, καὶ μὴ πονηρὸν κυνίδιον, ἀλωπεκὶς ποθὲν ἢ μελιταία. καὶ τὸν ταῦρόν γε αὖ καὶ τὸν κριὸν παραπλησίως.

πυροὺς δ' αὖ καὶ κριθὰς καὶ ἄμπελον καὶ ἐλαίας σπείροντές τε καὶ φυτευόμενοι, παρὰ Δήμητρός τε καὶ Διονύσου, τῶν φυτῶν καὶ τῶν σπερμάτων καταμελεῖτε, καὶ οὐχ ὅτι μάλιστα πεπιστεύκατε, ἐκ μὲν τῶν χρηστῶν καὶ ἡμέρων χρηστὰ καὶ ἔγκαρπα φύσεσθαι τὰ δένδρα τε καὶ τὰ ὄσπρια, ἐκ δὲ τῶν ἀγρίων καὶ δυσγενῶν, δυσγενέστερά τε καὶ ἀγριώτερα; ἆρα οὖν ἐλήρει Θέογνις, ἀγανακτῶν τε καὶ σχετλιάζων ὅτι ταῦτα ἐπὶ μὲν τῶν ἄλλων φροντίζομεν, ἐπ' ἀνθρώπων δὲ παρορῶμεν; καὶ οὐκ οἰόμεθα ξυνέχειν, ἀλλὰ τὸν ἐκ μαγείρου τυχὸν ἴσως ἢ ἀρτοκόπου, ἐντεθραμμένον χοινικίοις τε καὶ κοτύλαις, οἰόμεθα ἱκανῶς ἔχειν πρὸς τὸ μεγαλεῖόν τε καὶ ὑψηλόνουν φιλοσοφίας· καὶ οὐκ ἴσμεν ὅτι τὸ βάναυσον ἐκεῖνο καὶ δουλοπρεπὲς τοῦ σπέρματος πάντως δή τι προσομόργνυται τῇ ψυχῇ, καὶ οὐκ ἐᾷ καθαρὸν οὐδὲν καὶ εἰλικρινὲς καὶ ὑπὲρ τὴν ῥίζαν ἰδεῖν, ἀλλ' ἕλκειν πρὸς τὴν ἀρχαίαν φύσιν καὶ ἐπιστρέφειν ἐπίσταται· καθάπερ τῶν κλάδων τοὺς διαστρόφους φύντας οὐκ ἄν ποτε οὐδεὶς μηχανήσαιτο ταῖς χερσὶ μαλάττων τε καὶ ἐπικάμπτων, ἀλλ' ἀνατρέχουσιν αὖθις ἐπὶ τὴν σκολιότητα τῆς γενέσεως. καὶ γὰρ ὡς ἀληθῶς τῷ γε τοιούτῳ διὰ τὴν συντροφίαν ἐστὶν ἀναγκαῖον κάτω βλέπειν εἰς δουλικὰ ἄττα διακονήματα. τὸ γὰρ ἄνω αὐτῶν καὶ εὐθύ τε καὶ ἐλεύθερον ἡ ἐκ νέων δουλεία ἀφῄρηται, τὰ λαθραῖα καὶ δολερὰ καὶ ὑπὸ σκότῳ διὰ τὸ ὁμόηθες ἀναγκάζουσα ἀγαπᾶν. περὶ ταῦτα οὖν ἔντονοι καὶ δριμεῖς γίνονται, ἅτε ἐπιστάμενοι ἐκ παίδων, καὶ μελετήσαντες λόγῳ τε θωπεῦσαι δεσπότην καὶ ἔργῳ ὑπελθεῖν, διαλαβεῖν τε ὁμοδούλους καὶ ἐξελάσαι τῆς οἰκίας· καὶ ταῦτα πάσχουσιν ὑπ' ἀμηχάνου σοφίας πολλὰ καμπτόμενοί τε καὶ λυγιζόμενοι, καταβάλλοντες ἢ ἐπαίροντες τὴν ὀφρύν· ταπεινοί τε πρὸς τὸ ξυμφέρον, καὶ αὖ ὑπερηφανοῦντες θεῶν καὶ ἀνθρώπων.

Iam cum triticum, aut ordeum vitémque, aut oliuam ſeritis ac plantatis, per Cererem Bacchúmque amabo vos, ecquid plantas aut ſemina parui penditis? Non firmiſſimè id potius perſuaſum habetis, è probis ac mitibus frugibus optimas vobis ac fructiferas arbores, ac legumina, contrà ex agreſtibus ac degeneribus deteriora atque agreſtiora naſcitura? Num igitur deliraſſe Theognidem putamus, cum is indignaretur grauitérque ferret, quòd cæteris in rebus diligenter iſta procuremus, in hominibus negligamus; nec in iis vim habere iſtud arbitramur; ſed eum puta qui ex Coco ſit, aut Piſtore natus, inter chœnices atque heminas educatus, parem tantæ Philoſophiæ dignitati ac mentis ſublimitati eſſe credimus? Nec illud intelligimus ſordidum hoc & ſeruile ſtirpis vitium prorſus aliquid in animis impreſſum relinquere, nec purum quicquam, aut ſincerum, ſupráque originis conditionem videri permittere, ſed ad priſtinam naturam trahere ac reuocare conſueuiſſe; quemadmodum naturâ diſtortos ramos nulla vnquam ratione correxeris, quantumuis manibus inflectas, & incurues, quin ad naturæ ſuæ prauitatem recurrant? Etenim eiuſmodi ſanè hominem, quòd in iis rebus educatus ſit, humi reſpicere ad ſeruilia quædam miniſteria neceſſe eſt. Quod enim ſublime rectúmque ac liberale eſt, id ea cui iam inde à teneris conſueuit, ſeruitus eripuit, quæ occulta ac fraudulenta tenebroſáque omnia amplecti propter morum ſimilitudinem cogit. In iis itaque vehementes atque conſtantes ſunt, vtpote quæ iam à pueritia norunt ac condidicerunt; domino ſcilicet cùm verbis adulari, tum factis; in eius ſe inſinuare gratiam, conſeruos criminari, atque ex ædibus proturbare. Atque iſta quidem faciunt, præ incredibili ſolertia, identidem flectentes ac vertentes ſeſe, contrahentes attollentéſve ſupercilium, ſicubi vtilitas poſtulat, humiles ac deiecti, rurſúmque Deos atque homines contemnentes.

Proptere aiiſdem illiberali quadam viuendi ratione educatis peruicax atque implacabile odium inſitum eſt, ob idque facilè contra quemlibet inuidia atque hoſtili animo replentur: quibus nulla vnquam mala philoſophiæ inſtitutis alieniora oriri inter homines poſſunt. Turpe autem eſt Eleos & Piſatas Olympiacum illum oleaſtrum tam magnificè celebrare, neminem vt ad certamen nudari patiātur, niſi quis Patrem ſuum, ac matrem, & ſtirpis integram ac ſinceram originē approbare poſſit. Præſertim qui corporū duntaxat certamen inſtituant, in quo corporum rationem habere, validáne ſint & firmiter compacta, ſufficeret. Verum Philammonem illum nunquam ad Alpheum aſpergi puluere ſiuiſſent, niſi teſtē ſe generis eius profeſſus eſſet Ariſtoteles, atque in filiū adoptaſſet: Nos in virtutis certamen quēlibet delectu nullo conſcribemus? Non autem nudū ipſum animū & adſcititiis inuolucris deſpoliatum diligenter intuebimur, accuratéque perſcrutabimur, num mutilus ſit ac non integer? Lacedęmonios audio cū cæteris in rebus Lycurgum dedecorare, tū ad Orthiæ Dianæ arā promiſcuè ſeruos atque ingenuos ſiſtere, Helotem non minus quā Erypontidem aut Agiadem, vel hoc non abſurdè potius; verberū enim certamē & pręmiū pro ea re proponitur. Age nunc verbis noſtris fidem ex rebus ipſis adiungamus. Vniuerſos enim philoſophandi principes inuenietis, ſi maiores illorum inueſtigaueritis, ab Ioue, vt Homerus ait, educatos, ac genitos, Prouerbióque huic, A Codro, conſentaneos non aliter, opinor, quàm, puros ac limpidos latices perſcrutantes, humo deterſa, vetuſtis è fontibus ſcaturire deprehendimus. Sed ne quis vno aliquo nos cōtrario exemplo in errorem inducat, iſtud ſi ita libet concedamus, difficile quidem, ſuapte tamē natura fieri poſſe vt qui eo vitio ſit infectus, virtutis compos exiſtat. Iam reliqua indicia & argumenta quærenda ſunt, quæ in Philoſophi mēte inſculpta eſſe multo magis neceſſarium eſt, quàm

τῷ τοι καὶ ἐμπέφυκεν αὐτοῖς ἀεὶ πρὸς τῇ ἀνελευθέρῳ διαγωγῇ τεθραμμένοις δυσέκνιπτόν τι καὶ ἀμετάστατον μῖσος, καὶ διὰ τοῦτο ῥᾳδίως πρὸς ὁντιναοῦν φθόνου τε καὶ δυσμενείας ἐμπίπλανται· ὧν ἄλλα κακὰ καὶ ἀλλοτριώτερα φιλοσοφίας οὐ μή ποτε ἐν ἀνθρώποις φύη). αἰσχρὸν δέ, Ἠλείους μὲν καὶ Πισάτας οὕτω δή τι ἀποσεμνῦναι τὸν Ὀλυμπιακὸν κότινον, ὥστε μὴ ἐφιέναι γυμνοῦσθαι εἰ μὴ ἔχοι τις ἀποδεῖξαι πατέρα τε αὐτοῦ καὶ μητέρα, καὶ τὴν ῥίζαν τῆς βλάστης ἀκέραιον, καὶ ταῦτα, σωμάτων ἀγῶνα τιθέντας, ἐν ᾧ τῶν σωμάτων ἐξαρκεῖ ἐπιμελεῖσθαι, εἰ ἰσχυρά τε καὶ ῥωμαλέως ξυμπεπηγότα. ἀλλά τόν γε Φιλάμμονα ἐκεῖνον οὐκ ἄν ποτε ἠφίεσαν πρὸς τῷ Ἀλφειῷ κονίσασθαι, μὴ ξυμμαρτυρήσαντος Ἀριστοτέλους τῷ γένει καὶ παῖδα ποιησαμένου· ἡμᾶς δὲ εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς καὶ ὅντινα ἔτυχεν εἰσκρίνομεν, οὐδὲ ἀπαμφιάσαντες πρότερον, γυμνὴν τὴν ψυχὴν τῶν ἐπιθέτων ἀμφιεσμάτων παραθρήσομέν τε εὖ μάλα καὶ περισκεψόμεθα ἀκριβῶς, μήποτε κολοβός τε καὶ οὐκ ἄρτιος. Λακεδαιμονίους δὲ ἐγὼ πυνθάνομαι τά τε ἄλλα τὸν Λυκοῦργον αἰτιᾶσθαι, καὶ ἐπὶ τὸν βωμὸν τῆς Ὀρθίας ὁμοίως μὲν δούλους, ὁμοίως δὲ ἐλευθέρους ἀνάγειν, τόν τε εἵλωτα, εἰ τύχοι, τόν τε Εὐρυπωντίδην, ἢ Ἀγιάδην. ἢ τοῦτό γε ἴσως οὐκ ἄπο τρόπου· μαστίγων γὰρ τὸ ἀγώνισμα καὶ ὁ στέφανος. προστακτέον δὴ τῷ λόγῳ καὶ ἀπὸ τῶν ἔργων τὴν πίστιν· πάντας γὰρ τοὺς κορυφαίους ἐν φιλοσοφίᾳ λάβοιτε ἄν, τοὺς προγόνους ἀνερευνῶντες, διοτρεφέας τε καὶ διογενέας, καθάπερ Ὅμηρος λέγει, καὶ τῇ παροιμίᾳ πρέποντας τῇ ἀπὸ Κόδρου, καθάπερ οἶμαι καὶ τῶν ναμάτων τὰ διαφανῆ τε καὶ καθαρὰ ἀνιχνεύοντές τε καὶ διασημαινόμενοι, ἐκ πηγῶν ἀρχαίων ἐξευρίσκομεν ἀφειμένα. ἀλλ' ἵνα μή τις ἡμᾶς ἑνί που ἐναντίῳ παραδείγματι βουκολοίη, τοῦτο μέν, εἰ δοκεῖ, ξυγχωρῶμεν, ὅτι χαλεπὸν μέν, φύσιν δὲ ἔχει καὶ τούτῳ τῷ ἐλλείμματι μολυνθέντα γενέσθαι ἐπήβολον ἀρετῆς· τὰ δὲ λοιπὰ ζητητέον σύμβολά τε καὶ γνωρίσματα, ἃ πᾶσα ἀνάγκη τοῦ φιλοσόφου ἐγκεχαράχθαι τῇ διανοίᾳ μᾶλλον,

ἢ τοῖς Πελοπίδαις τὸν ἐλεφάντινον ὦμον. τί δὴ μετὰ ταῦτα ὁ πάνσοφος Πλάτων ἐπίσημον ποιεῖ τῆς τῶν ψυχῶν διαγνωμείας; ἐγὼ ὑμῖν ἀναγνώσομαι ἐφεξῆς ἐκ τῶν ἐκείνου ῥημάτων, ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ ῥήτορες ἐκ τῶν τοῦ νόμου γραμμάτων. τοῦτο μὲν δὴ ὁμολογείσθω τῆς φιλοσόφου φύσεως περὶ ὅ,τι μαθήματος δέοι, οὔτοι πάντως, ἀλλ' ὃ ἂν ἐκείνην δηλοῖ τὴν οὐσίαν τὴν ἀεὶ οὖσαν καὶ μὴ πλανωμένην ὑπὸ φθορᾶς καὶ γενέσεως. ἀκούετε οὖν τοῦ νομοθέτου διαιρουμένου τὰ μαθήματα, ὧν ἐραστὰς χρεὼν εἶναι τοὺς φιλοσόφους, καὶ μὴ ξυγχωροῦντος συγχεῖν μηδὲ ξυμφέρειν ἅπαντα ὥσπερ εἰς Μύκονον μίαν. καὶ γὰρ δὴ καὶ τοῦτο ἐκεῖνος ἀπεφήνατο, ὅτι ἀδύνατον ἕνα πολλὰς καλῶς ἐργάζεσθαι τέχνας· οὐδὲ τὰ σκυτικὰ τὸν χαλκέα, ἢ τὰ χαλκευτικὰ τὸν σκυτοτόμον. ἀλλὰ καὶ τὴν οἰκίαν ἐκείνην ῥᾷστα ἀπαυδήσειν ἣν οὐκ ἐπήξατο οἰκοδόμος, ὑφάνται δέ τινες ἢ ἀμπελουργοὶ ξυλλεγέντες· καὶ τὸν χιτῶνα ἐκεῖνον πράγματα παρέξειν ταῖς ἀκεστρίαις, ὃν γυνὴ ἐξυφαίατο μὴ ἔμπειρος καὶ ἀμαθὴς ἱστουργίας. οὐδὲ μὴν τὸν κυβερνήτην, ναύτην τε ἅμα ἔσεσθαι καὶ κυβερνήτην· οὐδὲ τὸν ἰατρὸν, γυμναστήν τε καὶ ἰατρόν. ἀλλ' ἐπιστατεῖν μὲν ἀνάγκη καὶ ἐπιτάττειν τὸν μὲν τοῖς ἐρέταις, τὸν ἰατρὸν δὲ τοῖς παιδοτρίβαις, οὐκ εἶναι δὲ ἐρέτην τε καὶ παιδοτρίβην. ὥσπερ οἶμαι καὶ τοὺς φιλοσόφους ἐπιστατέον μὲν τοῖς διδασκάλοις τε καὶ διδάγμασιν, οἷς ῥήτορσί τε καὶ γραμματισταῖς, αὐτοὺς δὲ τὰ ῥητορικὰ ἢ γραμματιστικὰ οὐκ ἐργαστέον. πῶς γὰρ οὐχὶ πολλοῦ ἂν γέλωτος γέμοι, τὸν τῆς ἀκραιφνοῦς καὶ ἀσωμάτου οὐσίας μεταποιούμενον, καὶ περιφρονοῦντα τοῦ ἀνθρώπου, προσκαθῆσθαι ταῖς συλλαβαῖς, καὶ ἐκμελετᾶν διὰ βίου συγκοπάς τε ὀνομάτων καὶ ἀποθλίψεις, καὶ ῥήματα ἀποσμιλεύειν, καὶ μειράκια ἀποτυμπανίζειν, καὶ παιδαγωγοῖς ἀθλίοις χαλεπὸν εἶναι· καὶ ἐπὶ ταύτῃ τῇ ἐξουσίᾳ ὑψηλὸν ἐξαίρειν αὐτὸν, φρονηματισμοῦ ἐμπιπλάμενον. ὁ δὲ ἀληθῶς φιλόσοφος, οὗ τὰ πτερὰ θάλλει τῆς ψυχῆς, σχολῇ ἂν ἀνάσχοιτο βλέπειν εἰς παττάλους τε καὶ ἱμάντας.

quàm eburneum in Pelopidis humerum. Ecquod igitur ſecundùm iſta nobilitatis animorum indicium ſapientiſſimus ille Plato conſtituit? Ego illud vobis deinceps ipſiuſmet è verbis legam, vti in Iudiciis oratores ex legum tabulis. Atque hoc quidem (ait) de indole ad Philoſophiam apta concedatur, circa id ad quod diſciplina opus habeat, non omni ſcilicet, ſed quæ illam eſſentiam indicet, quæ perpetua eſt, nec ortus atque interitus viciſſitudine iactetur. Audite itaque Legislatorem eas diſciplinas definientem, quarum amore teneri Philoſophos oporteat, neque perturbare omnia ac miſcere permittentem velvt in eandem, quod aiunt, Myconum. Etenim hoc ille inſuper pronuntiauit, fieri non poſſe idem vt plures ſimul bene artes exerceat, quemadmodum ſutoriam ærarius faber, fabrilem ſutor: quin illam facillimè domum vitium facturam, quam non Architectus ædificauerit, ſed textores aliquot, aut vinitores in vnũ coacti: ac Tunicam illam ſartricibus negotium facturam, quam mulier ordiendæ telæ ignara atque imperita texuerit. Neque vero gubernatorem vnà & nautam & gubernatorem futurum, neque medicum, palęſtricum ſimul & medicum: Sed neceſſe quidem eſt præeſſe, atque imperare, illum remigibus, medicum palæſtræ magiſtris, non tamen vel Remigem ipſum eſſe vel Palæſtricum. Non ſecus arbitror ac Philoſophos pręeſſe quibuſdam conuenit & doctoribus, & doctrinis, velvt rhetoribus atque grammaticis, minimè tamen Rhetorica, aut Grammatica tractare illos oportet. Reuera enim oppidò ridiculum foret, eum qui ſinceram ac corporis expertem naturam indagare ſeſe profitetur, humanaque omnia deſpicatur, affixum eſſe ſyllabis, totoque vitæ tempore nominum ſyncopas & eliſiones meditari, aut verba ad vnguem excutere; aut adoleſcentes tundere, atque infelicibus pædagogis moleſtum eſſe, eámque ob poteſtatem immodicè ſeipſum efferre, faſtus arrogantiæque plenum. Sed qui verè Philoſophus eſt, cuius animi pennæ florentes ac vegetæ ſunt, ægré ad paxillos & lora reſpicere ſuſtineat,

Num enim creditis, ſi quis præſtare vtrumque poſſet, melius, inquam, atque deterius, ſibi vnquam vt in deteriore occuparetur, eſſe conceſſurum, idque meliori relicto vitæ ſuæ adſciturum? Quare ſi quem aliquando videritis, qui velvt Princeps Philoſophiæ, ac Corypheus ſe gerat, iis autem præſit, quæ paulo antè dixi, & affixus ſit, nec abſcedat vnquam, etiamſi Diomedea neceſſitas contigerit, ſcitote, Auditores, vos ab eo homine decipi, qui Agamemnonis perſonam agat, cum intus Mithæcus quidam, aut Theario ſit. At vos nequaquam id ei permittite, nec paucis ille voculis ſcitis atque elegantibus vobis imponat, quas nihil ad ſe pertinentes furtim ſubtrahens, & circumagens, atque interpolans, velvt Autolycus furta ſua, eadem vbique circumfert, exultans apud eos inſolentérque ſeſe venditans, qui verum dominum ignorant. Sed vos hunc in modum rogantes ab eo ſciſcitemini: Heus tu! quoniam Philoſophum te eſſe, idque in ſummo Philoſophiæ genere, profiteris; planè id quidem boni vellemus noſtræ Ciuitati abundanter ac copioſe ſuppetere: Sed quemadmodum ſi te medicinam profiteri videremus, non tamen temerè tibi domos noſtras committeremus, neque vxores, aut liberos, niſi antè planum nobis id feciſſes, pleroſque à te ſanos ex ægris factos; multos item ex mancis integros; necnon aliquot te medicamenta feciſſe, ac potiones ſolerter atque vtiliter confectas: Ad hæc nonnullos diſcipulos artis, & ſucceſſores: Ex iis enim illa quidem medicinæ opera, hæc indicia ſunt. Ex vtroque porro omnis ſcientia diiudicatur. Ita modò & nunc, optime vir, aliquod nobis egregium tuum facinus edicito, cuiuſmodi Philoſophi hominis pleraque eſſe ſolent. Quandonam oblatas pecunias contempſiſti, velvti Xenocrates ille quinquaginta Talenta ab Alexandro miſſa? Quandonam debitori æs tuum remiſiſti, vt olim Zeno Citticus? Quam contumeliam pertuliſti, qualem à Thraſymacho Socrates?

οἴεσθε γάρ, εἴ τις ἀμφότερα δύναιτο ποιεῖν, τό,τε ἄμεινον καὶ
τὸ φαυλότερον, ἐπὶ τῷ φαυλοτέρῳ ἂν ἑαυτὸν ἐθέλειν σπουδά-
ζειν, καὶ τοῦτο προσαρτήσασθαι τῷ αὐτοῦ βίῳ, τὸ βέλτιον κατα-
λιπόντα; ὅταν δέ τινα ἴδητε διακείμενον μὲν ὡς κορυφαῖόν τε καὶ
ἄκρον φιλοσοφίας, προεστηκότα δὲ οἷς ἄρτι εἶπον καὶ προσε-
δρεύοντα, καὶ μηδέποτε ἀφιστάμενον, μηδ' ἂν ἰδίως ἰδίᾳ αὖ
ἀνάγκη προσπέσῃ, εὖ ἴστε ὦ ἄνδρες, ὅτι ἐξαπατᾷ ὑμᾶς, καὶ
πρόσωπον Ἀγαμέμνονος ὑποκρίνεται, Μιθακός τις ὢν ἔνδο-
θεν ἢ Θεαρίων. ὑμεῖς οὖν αὐτῷ μὴ ξυγχαίρετε, μηδὲ φενακίζε-
σθε λογαρίοις ὀλίγοις κεκομψευμένοις, ἃ μηδὲν προσήκοντα
ὑποσπάσας καὶ περιχρώσας τε καὶ μεταμορφώσας, ὥσπερ ὁ
Αὐτόλυκος τὰ φώρια, τὰ αὐτὰ πολλαχοῦ ξυμπεριφέρει, κυ-
δρούμενός τε καὶ γαυρούμενος πρὸς τοὺς ἀγνοοῦντας αὐτῶν τὸν
ἀληθινὸν δεσπότην· ἀλλ' ὧδε αὐτὸν ἐρωτᾶτε πυνθανόμενοι, Ὦ
ἄνθρωπε, ἐπειδὴ φιλόσοφος εἶναι τὴν ἀκροτάτην φιλοσοφίαν
ποιῇ, πάνυ μὲν ἂν βουλοίμεθα καὶ τοῦτο ἡμῖν τὸ ἀγαθὸν ἄφθονον
ἐν τῇ πόλει κατεσκευάσθαι· ἀλλ' ὥσπερ εἴ σε ἰατρεύοντα εὑρῶ-
μεν, οὐκ ἂν δήπου σοι εἰκῆ τὰς οἰκίας ἐπετρέψαμεν, οὐδὲ τὰς
γυναῖκάς τε καὶ τὰ παιδία, εἰ μὴ πρότερον ἐπέδειξας ἡμῖν ὅτι
πολλοὺς μὲν ὑγιεῖς ἐκ νοσηρῶν ἀπειργάσω, πολλούς τε ἐξ ἀνα-
πήρων ἀρτίους· ἀπέδειξας δὲ καὶ φαρμάκια ἄττα συγκείμενα,
καὶ ποτὰ ἐσκευασμένα ἐμπείρως τε καὶ ἐπωφελῶς, καί τινας
δὴ καὶ μαθητὰς καὶ διαδόχους τῆς τέχνης· (τούτων γὰρ τὰ μὲν,
ἔργα ἰατρικῆς, τὰ δέ, δείγματα· κρίνεται δὲ ἐξ ἀμφοῖν πᾶσα
ἐπιστήμη) τοῦτον δὴ τὸν τρόπον καὶ νῦν, ὦ γενναῖε, λέγε πρῶ-
τον ἡμῖν ἔργον τι σαυτοῦ, οἷα πολλὰ ἔργα φιλοσόφου ἀνδρός.
πότε χρημάτων διδομένων κρείττων ἐφάνης, ὥσπερ Ξενοκρά-
της ἐκεῖνος τῶν πεντήκοντα παρ' Ἀλεξάνδρου ταλάντων; πό-
τε ἀφῆκας τῷ διαδικαζομένῳ, καθάπερ Ζήνων ὁ Κιτιεύς;
ποίας ἤνεγκας λοιδορίας, οἵας Σωκράτης ὑπὸ Θρασυμάχου;

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

πότε διεσώσω χάριτας ἐμμίσθους ἀρχόντων, ὥσπερ Θεόφραστος τὰς παρὰ τοῦ Φαληρέως; ἀλλὰ τούτων μὲν οὐδέν, ἡδονῶν δὲ ὑπερφρονεῖς, οὐδὲ ἑταιρίαν πόρνας, οὐδὲ ἐπαγείδων ἑάλως, οὐδὲ ἐποιήσω τοὺς αὐτοὺς υἱέας τε καὶ οἰκέτας· ἀλλ' οἷα πολλὰ μὲν νέων, πολλὰ δὲ παλαιῶν φιλοσόφων δόγματά ἐστι τῆς σοφίας, συγγράμματα οὕτω σοι πεποίηται σμικρὰ ἢ μεγάλα περὶ ἀρετῆς καὶ κακίας, ἢ περὶ φύσεως τῶν ὄντων, ἢ ὅπη τὸ ἀληθὲς διαφέρεσθαι καὶ τὸ ψεῦδος. ἢ τί δὴ πρὸς τῶν Μουσῶν; ἀλλὰ δὴ εἰ μὴ συγγράμματα, μαθητάς γε ἀπειργάσω τινάς, τέτταρας, ἢ τρεῖς, ἢ δύο, ἢ ἕνα, τὸν δεῖνα ὅς σε αἰτιᾶται τῆς αὐτοῦ φιλοσοφίας· εἰ ταῦτα ἅπαντα παρατεινόμενα ἀπορεῖν, ἤ τι αὐτῶν ἀποδεῖξαι, ἀλλὰ βατταρίζοι τε καὶ ὑλακτοίη, μηκέτι θαυμάζειν τε καὶ πιστεύειν ὡς ἄρα ὁ Διὸς Ἑρμῆς καταλιπὼν τὸν Δία τε καὶ τὸν οὐρανόν, σοφία μικρὰ περιθέμενος ἐν τῇ πόλει ἡμῖν περινοστεῖ, μηδ' αὖ μυρία ἐπὶ μυρίοις ὀνόματα εἴρῃ βιβλίων τε καὶ συγγραφέων. ταῦτα γὰρ οἶμαι ἔνεστι καὶ τοῖς γραμματείας τῶν φιλοσόφων ἐπισταμένοις μηδέν τι μᾶλλον τῶν λοιπῶν ἀνδραπόδων ἐπὶ σοφίᾳ διαφέρειν. ἐπεὶ καὶ εἴ τις φιλοσόφῳ χρόνον τινὰ ξυνοικήσας, γράφοντι συνετῶς καὶ ἀναγινώσκοντι προσκαθίζων, ὀλίγα ἐκ τῆς γραφῆς συνερανίσαιτο ῥήματα, καὶ ταῦτα συγκολλᾶν πειρῷτο ἀεὶ καὶ συρράπτειν πρὸς ἕκαστα, λέγειν μηδὲν ἐοικότα· οἷαι τῶν προσαιτούντων αἱ ἐφεστρίδες συμπεπερόνηνται ἐκ ῥακίων νεουργῶν τε ἅμα καὶ τετριμμένων. εἴ τις οὖν καὶ ἐπὶ τῇ συλλογῇ κορυβαντιᾷ καὶ ἐξέστηκεν, ἐλεγκτέον τε αὐτὸν τῆς πτωχείας τε καὶ παροινίας, καὶ ἐννοητέον ὅτι οὐ ταύτῃ τὸν πλούσιον γνωματευόμενον, εἰ δακτύλιον ἀπολυτήσῃ. ἐμφαίνεται γὰρ εὐθὺς ἡ πενία τῇ ἐπιτηδεύσει τε καὶ ἐπιδείξει τοῦ κτήματος, ὅτι τούτῳ τῷ ἀνθρώπῳ οἴκοι ἄρα ὑπάρχει οὐδὲν ἕτερον πολυτελέστερον ἀγαθόν. οὐ γὰρ φορτικῶς γε οὕτω δακτυλήθρῳ ἐκαλλωπίζετο. διὰ τί οὖν οὗτοι μὲν ἡμᾶς οὐκ ἀπατῶσιν;

Quando magiſtratuum beneficia mercedis nomine collata repudiaſti, ſicut Phalerei Theophraſtus? Sed eſto nihil horum præſtiteris; at voluptates aſpernaris, neque ſcorta coëmiſti, nec meretricem deperiſti, nec eoſdem & filios & ſeruos feciſti. Sed cuiuſmodi multa ſunt recentiorum, nec pauciora veterum Philoſophorum decreta ſapientiæ, num eodem modo paruę à te aut maiores lucubrationes conſcriptæ ſunt, de virtute & vitio, aut de Natura rerum, aut quomodo verum à falſo diſtinguatur? aut quid tandem, per Muſas, aliud? Atque vt nihil lucubrationum edideris, diſcipulos ſaltem aliquos finxiſti, quatuor, tréſve, aut vnum, iſtum ſcilicet, qui tibi Philoſophiæ cognitionem refert acceptam? Quod ſi hæc omnia propoſita, aut horum partem aliquam demonſtrare minimè poſſit, ſed nugari ac clamare pergat, deſinite hominem mirari, aut credere Iouis filium Mercurium Ioue ac cœlo relicto, exigua carne circunfuſum in vrbe vobis oberrare; non ſi infinita quidem voluminum aut ſcriptorum nomina ſigillatim percenſeat: Fieri enim, arbitror, poteſt, vt philoſophorum amanuenſes, illa ipſa ſcientes, nihilo tamen cæteris mancipiis ſapientiæ ſtudio antecellant. Quandoquidem & ſi quis in philoſophi contubernio aliquanto tempore verſatus, qui eidem ſcienter ſcribenti aut legenti aſſederit, pauca ex ſcriptis eius verba corrogauerit, eaque quibuſcumque rebus accommodare, atque aſſuere conetur, nullomodo conſentanea aut conſentientia dicet, cuiuſmodi mendicorum lacernæ ex pannis nouis ac detritis conſutæ ſunt. Igitur ſi quis ob ſimilem quandam nominum collectionem fanaticum agit, & mentis ſtatu deiicitur, mendicitatis ac temulentiæ conuincendus eſt: idque cogitandum, non eo demum nos diuitem aliquem dignoſcere ſi annulus occurrerit. Nam in ipſa ſtatim diuitiarum oſtentatione ac ſimulatione paupertas apparet, quod ei homini nulla ſit domi ſupellex pretioſior. Neque enim hic adeo inſolenter annulum oſtentaret. Cur ergo nemo illorum nobis imponit?

Sed neq; ſaltatorem vocamus eũ,qui ſtaticulos dare agiliter,& variè nequeat, neq; citharœdũ qui citharã pulſare neſciat: Sapientem vero eũ etiam qui minimè ſit,eſſe credimus? Opinor,quod pulſus & ſaltationes aurib. oculiſq; diſcernuntur, ſatiſq; hæc ſenſuum inſtrumenta ſunt ad illud dignoſcendũ quod ſuaue ſibi aut moleſtũ ſit: ſapientia vero per ſapientiam diiudicatur. Quare cũ pleriq; omnes aures quidem & oculos habeamus, ſapientiam non item, planè imperitiæ noſtræ id genus præſtigiæ inſidias ſtruũt. Cúmque in exquiſitiore loquẽdi ratione peregrinos eſſe nos atque hoſpites animaduertunt, voculas quaſdam obſoletas & diuturnitate temporis obſcuras colligentes aures noſtras diuerberant. Itaque abſurdam illam vocem, Ruſpatorem, & Defenſaculũ, & id genus terricula commemorant. Adeo vt auditores ipſi cohorreant, & terrore conſternentur, peneque vox illos deficiat, quemadmodum iis accidere dicunt, qui primi à lupo viſi fuerint. Quod ſi interrogare cœperis, altero, eoque difficiliori nomine ferieris: nullumque modum vnquam inuenies neque tu, neque iſte qui loquitur: Sed poſtquam haſce voces δήπουθεν, vtique, & κἄπειτα, exinde, & Dioſcoros ſæpius euoluerit, curſu inde ſe ſubducet, plurimum tuam illam inſcitiam ac tarditatem irridens. Vti igitur circa colores ii faciliùs decipiuntur, qui non adeo perſpicaci ſunt oculorum acie; ita circa eiuſmodi Sophiſtas, quibus ex diſciplina mentis oculus repurgatus nõ fuerit. Alioqui quid tandem per Iouem cauſæ eſſe poteſt, cur ſi quis in ciuitatem hanc veniens Rhetorẽ ſe profiteatur, nõ multis vobis annis opus ſit, quò accuratè perſpiciatis veréne eius artis peritus, an vanus nebulo ſit, atque impoſtor? Opinor eo fit, quòd multi in vobis in eo genere doctrinæ ſint experti, qui & ipſi inueniant facilè, & vobis cæteris perſuadeant. At Sapientiam neque ipſi poſſidemus, & qui eam poſſideat, ei diffidimus, atque ipſum quaſi quadam æmulatione gloriæ atque inuidia putamus eum aſpernari, ac contemnere, quem nos ob illam Sapientiæ ſpeciem, atque imaginem tantum non ſupra capita geſtamus.

Tantum

ἀλλ' οὐδὲ ὀρχηστὴν ὀνομάζομεν τὸν σχηματίζεσθαι ἀδυνατοῦντα ὀρθῶς καὶ ποικίλως, οὐδὲ κιθαριστὴν, τὸν οὐκ ἐπιστάμενον κιθαρίζειν· σοφὸν δὲ πειθόμεθα εἶναι καὶ τὸν μὴ ὄντα; ὅτι τὰ κρούματα μὲν, οἶμαι, καὶ τὰ ὀρχήματα ὦσί τε καὶ ὀφθαλμοῖς δοκιμάζεται, καὶ ἐξαρκεῖ αὐτοῖς τὰ ὄργανα ταῦτα τοῦ σφέτερον ἡδὺ καὶ λυπηρὸν διαγινώσκειν· σοφία δὲ κρίνεται ἐπὶ σοφίας. ἐπεὶ οὖν ἡμεῖς οἱ πολλοὶ ὦτα μὲν κεκτήμεθα καὶ ὀφθαλμοὺς, σοφίαν δὲ οὐχ οὕτως, πάνυ τῇ ἀπειρίᾳ τῇ ἡμετέρᾳ ἐπιτίθεται αὕτη ἡ ζητεία· καὶ αἰσθανομένη ξένως ἔχοντας ἡμᾶς τῆς σφωτέρας διαλέκτου, συσκευασάμενος ῥηματίσκια παμπάλαιά τε καὶ αἰνιγματώδη ὑπὸ χρόνου ἐκπαταγεῖ ἡμῖν τὰ ὦτα· τὸν ἄτοπον περιδινῶα ἔπεισι, καὶ τὰ μυωτήειον, καὶ τοιαῦτα ἄττα μορμολύκεια· ὥστε τοὺς ἀκούοντας φρίττειν τε καὶ ἀδημονεῖν, καὶ μικροῦ γίνεσθαι ἀναύδους, καθάπερ φασὶ τοὺς ὑπὸ λύκου προτέρους ὀφθέντας. εἰ δὲ δὴ καὶ ἐρέσθαι ἐπιχειρήσειας, μὴ συνεὶς ὅ,τι εἴρηκεν, ἑτέρῳ πεπλήξῃ ὀνόματι, δυσχελώτερον ὠνομασμένῳ. περανεῖς δὲ οὐδέποτε οὐδὲν, οὐδὲ αὐτὸς, οὐδὲ ὁ λέγων ἐκεῖνος· ἀλλ' εὖ μάλα ἀνακυκλήσας τοῦ δήπουθεν, καὶ τοῦ κἄπειτα, καὶ τοῦ Διοσκόρου, οἰχήσεται ἀποτρέχων, καταγελάσας σου πάνυ τῆς ἀμαθίας καὶ νωθείας. ὥσπερ οὖν περὶ τὰ χρώματα ἀπατῶνται ῥᾷον οἱ μὴ πάνυ ὀξὺ βλέποντες, οὕτω περὶ τοὺς σοφιστὰς οἶμαι τούτους, οἷς ἐκ παιδείας τὸ ὄμμα οὐ κεκάθαρται τῆς ψυχῆς. ἐπεὶ τί δήποτε πρὸς Διὸς, εἰ μέν τις ἀφίκοιτο εἰς τὴν πόλιν, ῥητορικὸς ποιούμενος εἶναι, οὐ πολλῶν ἡμῖν ἐνιαυτῶν προσδεήσει ὥστε καταμαθεῖν ἀκριβῶς εἴτε ἀληθεύοι τὴν τέχνην, εἴτε ἀπατηλός τε καὶ ἀλαζών; ὅτι, οἶμαι, εἰσὶ πολλοὶ παρ' ἡμῖν οἱ τούτων ἔμπειροι τῶν λόγων, οἱ αὐτοί τε ἐξευρίσκουσι ῥᾳδίως, καὶ ὑμᾶς πείθουσι τοὺς ἄλλους· σοφίαν δὲ αὐτοὶ μὲν οὔπω κεκτήμεθα, τῷ δὲ ἔχοντι αὐτὴν ἀπιστοῦμεν· καὶ οἰόμεθα ὑπὸ ζήλου τε καὶ βασκανίας σκυβαλίζειν τε καὶ διαπτύειν ὃν ἡμεῖς διὰ ταύτην τὴν φαντασίαν μονονοὺκ ἐπὶ ταῖς κεφαλαῖς περιφέρομεν,

πόῤῥω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς σοφὸς δήϊος τῷ ὁμοίῳ· ἀλλ' ἃ τῷ οὐ κατὰ νόμον μεμυημένῳ τὸν ναρθηκοφόρον Βάκχον ἡγεῖσθαι οὐ συγχωρεῖ τὰ μυστήρια. ἀλλ' αὖ δὴ ποιῶν ὁ λόγος μεταβέβηκεν ἐφ' ἕτερον τῶν γνωρισμάτων, μάλιστα καὶ τοῦτο ψυχὴν ἐξετάζειν, φιλόσοφόν τε καὶ μή. ἐπισκέψαι γὰρ ἡ κοινωνική τε καὶ ἥμερος πρὸς τοὺς παιδείας ἐπιθυμοῦντας, ἡ δυσκοινώνητος δὲ καὶ ἀγρία, χαλκέας καὶ τέκτονας. Εἰ δὲ βούλει, καὶ ποιητάς τε καὶ τοὺς ἄλλους δημιουργοὺς συγχαρῶμεν, ἐάν τις λέγῃ στασιάζειν τε καὶ ἐπιφθόνως λέγειν πρὸς ἀλλήλους. τὰ γὰρ ἆθλα αὐτοῖς τῶν τεχνῶν, τῶν μὲν, ἀργύριόν ἐστι, τῶν δὲ, ἔπαινος πρὸς τῷ ἀργυρίῳ· ὧν οὐκ ἐγχωρεῖ ἐξ ἴσου τὸν ἐλαττούμενον ἐπαυρίσκεσθαι. ἀνάγκη οὖν τῷ μεῖον ἔχοντι πρὸς τοὺς αὖ φερομένους τὸ πλέον ἀγανακτεῖν τε καὶ ἀνιᾶσθαι. ὅσοι δὲ πρός τι ἐναμιλλῶνται γνησίως τε καὶ ἀληθινῶς, καὶ ταύτην τρέφουσι τὴν ὠδῖνα ἐν τῇ ψυχῇ, οὗτοι ἀσπάζονται καὶ γανύσκονται καὶ ἐμπίπλανται χαρμονῆς, ὅσῳ ἂν λάβωσι πλείους κοινωνούς τε καὶ βοηθοὺς ἐπὶ τὴν θήραν τῶν παιδικῶν. ἐρῶσι γὰρ καὶ ἐν ταῖς ἄγραις, ἐπεὶ τῷ μὲν καταμόνας ἰχνηλατοῦντι ἐργῶδες ἐντυχεῖν τῷ θηρίῳ, τοῖς πλείοσι δὲ ὁμοῦ κυνηγέταις ῥᾷον κατάφωρος ἡ εὐνή. ἔστι δέ που καὶ ἐν τῷ κυνηγεσίῳ τῆς ἀληθείας πολλὰ δύσβατα καὶ ἐπίσκια, καὶ τῷ καθ' αὐτὸν μετιόντι δυσδιερεύνητα, ἐφ' ἃ ἀνάγκη πλείους ἄρα καλεῖν συνθηρευτάς τε καὶ συλλήπτορας· ἢ πάλαι ἐπὶ τὸν σῦν συνελέγησαν οἱ τότε ἄριστοι τῶν Ἑλλήνων, ὃς τὰ ἔργα τοῦ Αἰτωλῶν βασιλέως ἔφθειρέ τε καὶ ἐλωβᾶτο. καὶ δὴ τοῦ θηρίου μὲν ἁλόντος ἐγίνετο τοῖς θηρευταῖς περὶ τῶν ἀκρωτηρίων διαμάχη τε καὶ ἀμφισβήτησις, καὶ ἐντεῦθεν ὁ πόλεμος ἐξεῤῥάγη Ἀκαρνᾶσί τε καὶ Αἰτωλοῖς Ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι. ἐκφανέντος δὲ ἐν φιλοσοφίᾳ καὶ ἐκλάμψαντος τοῦ ἀληθοῦς, ἀναιμωτὶ πάντες ἀπολαύουσιν οἱ συλλαβόμενοι τοῦ ἔργου. διὰ τοῦτο ἠσπάζετο Ἀρίστων Κλεάνθην,

Tantum abeſt vt illud intelligamus: Sapientem neminem in ſui ſimilem maleuolo animo eſſe. Sed ei qui ex lege atque ritu initiatus non ſit Thyrſigerum Bacchum, præire ſacrorum myſteria prohibent. Atque opportunè admodum ad aliud ſapientis indicium oratio noſtra deflexit, quod ad animum explorandum, Philoſophus ſit nécne, præcipuum eſt. Illud enim attentè conſiderabis; ſitne ſocietatis amans, & in eos ſuauis ac facilis, qui diſciplinarum ſtudio tenentur, an è contrario inſociabilis, & agreſtis. Etenim ærarios fabros ac lignarios, atque etiam ſi ita lubet, Poëtas cæteroſque artifices concedamus, à ſe inuicem diſſidere, & inuidiosè in ſe mutuo inuehi. Quippe artium illis præmia, harum quidem pecunia eſt, illarum vero præter pecuniam laus, quibus peræquè qui inferior in iis ſit, perfrui minimè poteſt. Quare neceſſe eſt eum qui minus habeat, vt plurimum iis indignari moleſtéque ferre, qui felicem ſucceſſum obtinuerint. Contra qui verè ac ſincerè ad aliquid contendunt, idque in animo incitatum ſtudium parturiunt, hi libenter complectuntur ac geſtiunt, lætitiáque cumulantur, quo plures ad deliciarum ſuarum captationem ſocios & adiutores nacti fuerint. Siquidem iſtud etiam in venatione accidere cernunt, vt qui per ſe ſolus veſtiget, difficilè admodum in feram incidat; pluribus autem ſimul venatoribus cubile facilius deprehendatur. Inſunt autem in veritatis etiam venatu aſpera condenſáque multa, quæque ei ſint, qui per ſeipſum inquirat, indagatu difficilia; ad quæ plures ſanè venationis prædæque participes vocare oporteat: velut olim aduerſus aprum qui Ætoli Regis agrum populabatur, ac vaſtabat, flos eſt totius Græciæ collectus. Et quidem poſtquam præda potiti ſunt, inter venatores ortum de partibus iurgium eſt, atque contentio. Inde denique bellum inter Acarnanas & Ætolos exarſit, *Déque ſuis capite, & villoſe tegmine pellis.* In Philoſophia verò poſtquam patefacta & aperta veritas fuerit, ſine ſanguine fruuntur omnes, qui operæ ſocij & adiutores fuerunt. Propterea Ariſto Cleanthē adamabat,

cúmque eo diſcipulos communicabat; propterea Crantorem Crates; propterea Speuſippus Xenocratem Chalcedone arceſſebat. Lyco vero & Ariſto ille de Lycæo, ambo quidem Ariſtotelis doctrinæ dediti erant: Sed cùm Lyco tantam eruditionis famam ac gloriam adeptus eſſet, vt & hoſtes ipſi præ illius fama, Lyconis nauigiis in mari, tanquam ſacris abſtinerent, nequaquam tamen aduerſus Ariſtonem commouebatur, nec ei inuidebat, quamuis aſſiduitate diligentiáque fieret in dies prouectior; ſed per iocum etiam ac facetias aſſeuerabat, claudum, eum qui integris eſſet pedibus, præcurrere. Fuerat enim Ariſto caſu quodam altero crure captus. Ob eamque cauſam & nouem Muſæ cum ſint, ſecum inuicem & cum Apolline choros exercent, nullaque ex iis aduerſus cæteras commouetur, quòd ſola minimè ſapiens ſit, aut quòd ſola minimè à Poëtis imploretur. Ac neque Calliope citharam ſibi vendicat, nec Thalia tibias; neque lyram Terpſichore: ſed vnaquæque quod ſuum eſt, communem in chorum conferre ac contribuere amat: canuntque ſeſe inuicem excipientes (ait Poëta) non concentum interturbantes, neque inuidentes, aut occinentes. Non ita adulterini iſti falſique Philoſophi. Sed ſi quis amore doctrinæ captus, nihilque aliud quod agat, inſuper habens, in cubiculo ſe tantiſper, lectuloque ſuo, Ariſtotelis ac Theophraſti lectione paſcat, celerrimè iſtud ſentiunt, omnique in eos ciuitate commota Regios Præfectos interpellant; ſi etiamnum ſicarius iſte Solem intuetur, & parricida, ac veneficus: Atque hoc eſt accuſationis caput, quòd Categorias (inquit) aggreſſus eſt, & de eo quod in ſubiecto eſt, cum quodam hoſpite diſſeruit. Quòd ſi ſyllogiſmum etiam attigerit, aut de natura aliquid ſcripſerit, hoc ille ſeditionem appellat, & ex arce deijciendam Tyrannidem clamat. Atqui ſi veritatem & ſapientiam vſurpat aliquis; ad te vero reipſa veréque Plato, Socrates, aut Pythagoras pertinent, noli vellicare eum aut perdere, qui earumdem rerum amore teneatur.

καὶ τῶν ὁμιλητῶν ἐκοινώνει· διὰ τοῦτο Κράντορα Κράτης, διὰ τοῦτο Σπεύσιππος ἐκ Χαλκηδόνος μετεπέμπετο Ξενοκράτην. Λύκων δὲ καὶ Ἀρίστων ὁ ἐκ Λυκείου, ἄμφω μὲν περὶ τοὺς Ἀριστοτέλους λόγους εἰχέτην. ἐν δόξῃ δὲ ὢν ὁ Λύκων ἐπὶ παιδείᾳ τοσαύτῃ, ὥστε καὶ τοὺς πολεμίους, διὰ τὸ κλέος, ἐν τῇ θαλάττῃ καθάπερ ἱερῶν ἀπέχεσθαι τῶν Λύκωνος πλοίων, ὅμως οὐκ ἐδυσχέραινε πρὸς τὸν Ἀρίστωνα τοῦτον, οὐδὲ ἐκνίζετο ἐκ προεδρείας μᾶλλον ἐπιδιδόντα, ἀλλὰ συνωμολόγει μετὰ παιδιᾶς καὶ χαρίτων, ὅτι ὁ χωλὸς τὸν ἀρτίποδα παρατρέχει. συνέβη γὰρ τῷ Ἀρίστωνι καὶ πεπηρῶσθαι τὸ σκέλος. ταύτῃ τοι καὶ αἱ Μοῦσαι ἐννέα οὖσαι συγχορεύουσιν ἀλλήλαις καὶ τῷ Ἀπόλλωνι, καὶ οὐδεμία αὐτῶν ἀγανακτεῖ πρὸς τὰς ἄλλας, ὅτι μὴ μόνη σοφή ἐστι, μηδὲ αὐτῇ μόνῃ προσεύχονται οἱ ποιηταί· οὐδὲ μεταποιεῖται τῆς κιθάρας ἡ Καλλιόπη, οὐδὲ ἡ Θάλεια τῶν αὐλῶν, οὐδὲ τῆς λύρας ἡ Τερψιχόρη· ἀλλ' ἑκάστῃ τὸ αὑτῆς ἀγαπᾷ συμβάλλεσθαι εἰς τὸν χορὸν καὶ συνεισφέρειν, καὶ ᾄδουσιν, ἀμειβόμεναι ἀλλήλας, φησὶν ὁ ποιητής· οὐ κολούουσαι καὶ βασκαίνουσαι, καὶ ἀντᾴδουσαι. ἀλλ' οὐχὶ παράξενοι οὗτοι καὶ ψευδώνυμοι· ἀλλ' ἐάν τις ὑπὸ φιλολογίας, καὶ ἅμα οὐκ ἔχων ἕτερόν τι περιεργάζεσθαι, ἐν τῷ δωματίῳ τῷ αὐτοῦ καὶ τῷ κλινιδίῳ διαβουκολῆται Ἀριστοτέλει καὶ Θεοφράστῳ, ὀξέως τε ἐπύθοντο, καὶ ἐπαράμενοι πᾶσαν τὴν πόλιν, ἐπικαλοῦνται τοὺς βασιλέως ὀφθαλμούς, εἰ ἀναπνεῖ ἔτι καὶ εἰς τὸν ἥλιον ἀφορᾷ ὁ μιαιφόνος καὶ ἀλιτήριος καὶ πατραλοίας καὶ φαρμακεύς. καὶ ἡ μεγίστη κατηγορία, ὅτι ἐπέθετο, φησί, ταῖς κατηγορίαις, καὶ διηλέχθη περὶ τοῦ ἐν ὑποκειμένῳ πρός τινα ξένον. εἰ δὲ δὴ καὶ συλλογισμοῦ ἅψοιτο, καὶ περὶ φύσεώς τι συγγράψαι, τοῦτο ἐκείνῳ ἐπανάστασις τὸ χρῆμα, καὶ καθαιρετέον ἐξ ἀκροπόλεως τὴν τυραννίδα. ἀλλ' εἰ καὶ προσποιῇ τις τὴν ἀλήθειαν καὶ τὴν σοφίαν, καί σοι τῷ ὄντι προσήκει Πλάτωνος ἢ Σωκράτους ἢ Πυθαγόρου, μὴ κεντεῖν τε καὶ διαλύειν τὸν τὰ αὐτὰ ἀγαπῶντα,

ἀλλὰ κυδαίνειν τε καὶ ἐπαίρειν καὶ συνεξορμᾶν καὶ συνεξοτρύνειν. οὕτω γὰρ μάλιστα ἴοι καὶ οὐκ ἀμβλυώσοιτο οὐδὲ ἀπολήγοι τοῦ ἔρωτος, ὅταν ἔχῃ τὸν ἐπαινοῦντα καὶ ἐπιβοῶντα, καὶ πρὸς ὃν φιλοτιμήσηται ἐκ τῶν πόνων. νῦν δὲ ὑπὸ τῆς δεινότητος τῆς περιττῆς ἔοικας εὐλαβεῖσθαι μή τινα ἄλλον ἐπαινέσας, ἀφίστασθαι δόξης σαυτῷ τῆς σοφίας, καὶ μή τινα ἄλλον θαυμάσας, ὑφ' ἑτέρου αὐτὸν θαυμάζεσθαι παρασκευάσῃς· εἶτα παύσωνται οἱ ἄνθρωποι πρὸς σὲ μόνον ὁρῶντες, καὶ σὲ μόνον θαυμάζοντες. διὰ τοῦτο αἰεὶ μέν τινα ἀμαθῆ καταγέλαστον καὶ τοῦ παντὸς ἡμαρτηκότα, τούτῳ καὶ εὐμενὴς καὶ φιλάνθρωπος, καὶ ἄγασθαι οὐκ ὀκνεῖς τὴν σοφίαν ἰδίᾳ τε καὶ δημοσίᾳ· ὅταν δέ τινα θαυμάσωσι μὲν οἱ ἄνθρωποι, θαυμάσῃς δὲ αὐτὸς ἔνδον ἐν τῇ καρδίᾳ, τέτηκας τότε ἢ δεῖς μάλιστα καὶ τὸ νέφος κατὰ τοῦ προσώπου, καὶ τὸ βλέπειν ἐχθρῶς οὐ μόνον τὸν ἐπαινούμενον, ἀλλὰ καὶ τοὺς ἐπαινοῦντας. ὡς οὐδὲν ἄρα ἄλλο χαλεπώτερον τίκτει ψυχὴ νόσημα φθόνου τε καὶ βασκανίας· καὶ μᾶλλον ὥσπερ ὁ νοσῶν ὀξύτερον βλέπει μὴ τὰ πρὸς αὐτὸν μόνον καὶ τὰ ἐγγύς, ἀλλὰ καὶ τὰ πόρρω καὶ τὰ μακρὰν ἀφεστῶτα. ἐγὼ δὲ προσεῖχον Ἡσιόδῳ τῷ ποιητῇ, χυτρέα χυτρεῖ κοτέειν, καὶ ἱπποποιὸν ἱπποποιῷ· νῦν δὲ ἤδη τινὲς ὑπὸ θράσους μεταβαίνουσιν ἐκ τῶν τάξεων ἀναμὶξ δι' ἀγκύλων ἱππῶνται. τάττετε οὖν αὐτοὺς ἵνα περ καὶ ἐτάχθη τὴν ἐξ ἀρχῆς, καὶ μὴ συγχωρεῖτε ἐπιχειρεῖν γυμνούς τε καὶ χαμαιζήλους ἀναβεβηκόσι τε καὶ εὖ πεφραγμένοις. ἀλλ' εἴπερ ἄρα ἀκρατῶς ἐπιθυμοῦσι τῶν σεμνοτέρων ἀγωνισμάτων, καταλιπεῖν μὲν τὰ λαισήϊα καὶ τεκτιδέας καὶ τὴν γυμνησίαν, λαβεῖν δὲ ἀσπίδα ἀληθινήν, οἵαν Ὅμηρος τὴν Νέστορος λέγει, τὴν ἀκήρατον καὶ χρυσῆν καὶ τοῖς κανόσι συνηρμοσμένην· ἢ οἵαν Ἥφαιστος ἐχαλκεύσατο Ἀχιλλεῖ, ἐν ᾗ γῆ καὶ θάλασσα καὶ οὐρανός, ἥλιός τε ὁπόσος, καὶ σελήνη ἐξ ἐναντίας, τά τε λοιπὰ σύμπαντα ἄστρα, καὶ ἔτι τὰ ἀνθρώπεια πράγματα, οἱ πολεμοῦντες, οἱ γεωργοῦντες,

Sed gloria illum ac prędicatione potius efferas, ad idq; ſtimulos ei adijcias, ac cohorteris. Ita enim vel maximè progredietur; nec hebetior fiet, aut à cõcepto amore retardabitur, ſi collaudantem aliquẽ & acclamantem nactus fuerit, à quo ex laboribus ſuis quendam velut gloriæ fructum expectet. Nunc autem præ ſingulari calliditate cauere iſtud videris, ne ſi quem alium laudaueris, ſapientiæ tibi videaris poſſeſſione decedere; aut ſi quem alium mireris, eidem apud alterum quempiam admirationem concites; indéque deſinant homines in te vnum intueri, téq; vnum in oculis ferre. Propterea ſi quem forte ridiculum ſenſeris ac prorſus abhorrentem, ei benignum te & humanũ præbes, nec illius ſapientiã ſuſpicere priuatim ac publicè vereris. Sed cũ aliquis homines in ſui admirationẽ traxerit, ac tute ipſe ad illũ intus in animo obſtupueris, tũ demum ille acerbus atque inimicus animus, tum obducta vultui nubes, tum nõ modo eum qui laudatur, ſed & laudatores ipſos toruè atq; hoſtiliter intueris. Adeo nullus in animo morbus inuidia ac liuore moleſtior gignitur, eoque magis, quo qui eo laborat, acutiùs peruidet, non ea tantum quæ iuxta ſe, atque in proximo ſita ſunt, verum etiam quæ lõginqua ſunt, & magno à ſe interuallo ſeparata. Ego verò Heſiodum Poëtam audiebam, cùm diceret, figulum figulo, & Poëtam inuidere Poëtę. Nunc autem aliqui præ temeritate ab ſuis in alios ordines trãſeunt, promiſcuè inter iaculatores, Equites. Quare collocate ibi eos, vbi diſpoſiti ab initio fuerãt; ac ne iſtud illis cõcedite, vt nudi, & humi abiecti equis inſidentes atque egregiè tectos inuadant. Quod ſi ampliora & digniora certamina impotẽtius affectent, parmulas iſtas, & ex viuerræ pellibus contextas galeas, ac nugas relinquant, pro his verum clypeũ ſumant, qualem habuiſſe Neſtorẽ Homerus prodit, inuiolabilem ſcilicet, atque aureum, & virgulis ad retinendum aptum: ſiue qualẽ Vulcanus Achilli fabricauit, in quo inſculpta erat terra, mare, atque cœlũ, nec non & ſol quãtus quãtus eſt, & luna itẽ ac reliqua omnia ſidera, præterea humanæ quoq; res continebantur, velut bellum gerentes, arantes,

choreas ducentes, nuptias celebrantes, greges paſcentes, litigantes. Sed videte, quẽadmodum clypeum iſtũ gerere non cuiuis homini conceſſum ſit, ac ne eiuſmodi quidem ſit, quale eſt Corinthum nauigare: ſed Pelidæ dumtaxat, atque Æacidæ tribuatur, qui apud ſapientem Chironẽ ſit educatus. Quicumq; verò exul cum ſit, atq; imbecillior, armorum nihilominus præ ambitione periculũ facit, hic tametſi prima fronte ſeſe offerens, terrorem hoſtibus ac trepidationem iniiciat, & nonnulli in tumultu in ſe inuicem incurrant, tamen feruente conflictu, prælioque commiſſo deprehenditur, & alienis opibus ſpoliatur. Propter hæc igitur, pluráque alia incommoda, amolienda inuidia omnis ac declinanda eſt. Ac quicumque ea infectus reperietur, exturbanda illico ea peſtis erit, & à ſacris ille reiiciendus, vt potè qui vitiligine moleſtiorem in ſe morbum habeat. Quarta Philoſophi nota formáque veritas eſſe dicitur; vti ſponte ſua nullam omnino falſitatem admittat, ſed illam oderit, ac veritatem diligat. In quo quidem legislatoris prudentiam vehementer admiror, quibuſnã nimirum ſeptis ſapientiam circumſcribat, cùm in omnibus, veritatis ſtudium proponat. Sed hoc paulo altius repetito principio conſiderandum eſt. Ineſt igitur veritatis ac falſitatis plurimum cum in diſciplinis ac ſciẽtiis, tũ in pactis atq; conuentis. Quare qui omni penitus mẽdacio aditum occludit, nũ is vobis indulgere videatur, vt ex parte dumtaxat, in paribus ſcilicet & imparibus, veritatem quiſpiam obſeruet, aut in lateribus ac diametris; cæterum in emptionibus, & venditionibus, cæteriſque id genus commerciis fraus ac mendacium admittatur, ſociique fallantur, vt cum in tabulis aliquid nos Minis centum emiſſe ſcribamus, quinque ac viginti defraudemus? Atqui quæ in doctrinis admittitur falſitas, ſoli obeſt ei qui fallitur; in commerciis vero ſi quæ ineſt, iniuria inſuper alterius implicatur. Quid enim, per Deos, noſtra intereſt ſi quis ſibi ipſi imponat, quòd exempli gratia quæ in loco ſunt, non quæ quibuſdam inſunt, Ariſtoteles dicat? aut quod ex Platone in quartam vſque progeniẽ ſupplicia

à Deo

οἱ χερσεύοντες, οἱ γαμοῦντες, οἱ ποιμαίνοντες, οἱ δικαζόμενοι. ἀλλ' ὁρᾶτε ὅτι τηλικαύτην ἀσπίδα οὔτι παντὸς ἀνδρὸς ἐνεγκεῖν, οὐ μὴν οὐδὲ τὸ εἰς Κόρινθον πλεῦσαι, ἀλλὰ τοῦ Πηλείδου τε καὶ Αἰακίδου τοῦ τεθραμμένου παρὰ Χείρωνι τῷ σοφῷ. ὅστις δὲ φυγάς τε ὢν καὶ ἀσθενέστερος, τῶν ὅπλων ὅμως ὑπὸ φιλοτιμίας ἀποπειρᾶται, οὗτος τὸ μὲν πρῶτον παραφανεὶς διεπτόησέ τε καὶ διετάραξε τοὺς ἀντιπάλους, καί τινες ἀλλήλοις περιέπεσον ἐν τῷ ταράχῳ· ἀκμάσαντος δὲ τοῦ ἀγῶνος, καὶ καταστάσης τῆς μάχης, διηλέγχθη καὶ ἐγυμνώθη τῶν ἀλλοτρίων πραγμάτων. βασκανίαν μὲν δή, τούτων ἕνεκα καὶ ἔτι πλειόνων κακῶν, ἀποκλειστέον καὶ φυλακτέον· καὶ ὅσα ἂν εὑρίσκηται προσιοῦσα, τὴν χεῖρα ταύτην ἀπελαύνειν τε δεῖ, καὶ ἐκβάλλειν τοῦτον τῶν ἱερῶν, ὡς χαλεπώτερον λύκης τὸ νόσημα κεκτημένον. τέταρτον δὲ τύπον εἶναι φασὶν τὴν ἀψευδίαν, καὶ τὸ ἐχόντας εἶναι μηδὲν μηδαμῇ προσδέχεσθαι τὸ ψεῦδος, ἀλλὰ μισεῖν, τὴν δὲ ἀλήθειαν στέργειν. ἄγαμαι οὖν ἐγὼ καὶ ταύτῃ τὸν νομοθέτην, οἷα θριγκῷ περιβάλλει τὴν σοφίαν εἰς πάντα ἀλήθειαν. σκοπῶμεν δὲ μικρὸν ἀναλαβόντες· ἔστι που τἀληθὲς καὶ τὸ ψεῦδος πολὺ μὲν ἐν τοῖς μαθήμασι καὶ διδάγμασι, πολὺ δὲ ἐν συμβολαίοις καὶ συναλλάγμασιν. ὁ οὖν μηδενὶ μηδαμῇ τῷ ψεύδει πάροδον ἀφιείς, μῶν τι ὑμῖν δοκεῖ συγχωρεῖν μέρη μέν, ὥστε τὰ ἄρτια καὶ περιττὰ ἀληθεύειν, καὶ περὶ τὰς πλευράς γε οὖν καὶ τὰς διαμέτρους· περὶ δὲ ὠνὰς ἢ πράσεις καὶ τὰ λοιπὰ κοινωνήματα διαψεύδεσθαι, καὶ ἐξαπατᾷν τοὺς κοινωνοῦντας, καὶ γράφοντας ἐν τοῖς γραμματείοις ἑκατὸν μνῶν ὠνεῖσθαι, τὰς πέντε καὶ εἴκοσιν ἀποστερεῖν; καίτοι τὸ μὲν ἐν τοῖς μαθήμασι ψεῦδος, αὐτῷ μόνῳ βλαβερὸν τῷ ψευδομένῳ· τὸ δὲ ἐν ταῖς πράσεσι, καὶ ἡ κατ' ἄλλου ἀδικία. τί γὰρ ἡμῖν διαφέρει πρὸς τῶν θεῶν εἴ τις ἑαυτὸν ἐξαπατᾷ, ὅτι τὰ ἐν τόπῳ Ἀριστοτέλης οὐκ ἔν τισι λέγει, ἢ ὅτι Πλάτων εἰς τετάρτην γενεὰν διαβιβάζει

τὰς τιμωρίας, ἢ τινα ὅμοιον λῆρον ἄλλον. ταῦτα γὰρ οὐδὲν, ὦ μακάριοι, πρὸς ἡμᾶς, ἐὰν μὴ πέμπωμεν ἐκεῖ μαθησόμενα τὰ παιδία. ἀλλ' ἐὰν ἃ μήποτε ἤκουσεν ὀμνύοι λέγειν ἀκηκοὼς, καὶ ῥᾷον ἐπιορκεῖν Λυσάνδρου τοῦ Σπαρτιάτου, καὶ μηδέποτε ὁμοφωνοίη τῇ γλώττῃ πρὸς τὴν διάνοιαν. ταῦτα ἄρα τὰ ψεύδη βλαβερὰ φῶμεν τοῖς εἰς τὸ παιδαγωγεῖον ἀφικνουμένοις, ἢ πᾶσιν ὅσοις διὰ τὴν συνοίκησιν ἀναγκαῖον ἢ λόγου τινὸς τοῦ τοιᾶσδε ἢ ἔργου κοινωνεῖν. οὐδεμία γὰρ μεταθηρεία μᾶλλον δυσκοινώνητος ἀπιστίας; ἀλλ' αὕτη ἐστὶν ἡ κακία πρὸς ἣν μόνην καὶ φυλακῆς ἐξαποροῦμεν. καὶ γὰρ δὴ ὃ μόνον ἐπορισάμεθα φυλακτήριον, (λέγω δὲ τὸν ὅρκον καὶ τὴν ἐπίκλησιν τῶν θεῶν) τοῦτο αὐτὸ μάλιστα καταχρῆται εἰς τὸ ῥᾷον διαλανθάνειν. καὶ γελοῖον μὲν τὸ Στυγὸς ὕδωρ, γελοία δὲ ἡ Στὺξ ἐκείνη, λῆροι δὲ οἱ Ταρτάρειοι δαίμονες, λῆρος δὲ αὐτὸς ὁ Τάρταρος, ὅταν δέῃ τι ἄπιστον ἄνδρα κακῶς δράσαντα ἐξαρνήσασθαι. διὰ ταύτην οὖν τὴν [illegible]λίαν καὶ θηρίου γίνεται ἄνθρωπος δυσμεταχειριστότερόν τε καὶ ἀγριώτερον. ἀκούομεν γὰρ σχετλιαζόντων τῶν ποιητῶν ὅτι ὄφιν μὲν ἐν ὄρεσι καὶ λέοντα θηρητὴρ ἀΐων τε καὶ εἰσορόων ἀλέοιτο. γνωστὴ μὲν γὰρ τῶν τοιούτων βουλὴ, γνωστὸν δὲ νόημα. ἀνὴρ δὲ ἄλλα κέκευθεν ἐνὶ φρεσὶν, ἄλλα δὲ βάζει. μῦθοι μὲν τέλειοι καὶ μείλιχοι, ἐχθρὰ δὲ ἔργα ἐπιβουλεύουσι καὶ συνοικοῦσι καὶ περισαίνουσι. δεινὴ δὲ ἡ παρρησία, καὶ τὸ πρὸς πάντα ἰταμῶς ἔχειν, ὅσα μέσῃ τῇ ἀγορᾷ καὶ ὅσα ὑπὸ μάρτυσιν Ἕλλησί τε καὶ βαρβάροις ἔγραψέ τε καὶ ἐτεκτήνατο. τοῦτο μὲν δὴ τὸ κακόηθες ψεῦδος πάμπαν ἐξελατέον φιλοσόφου ψυχῆς. ἔστι δέ τι καὶ ἕτερον ψεῦδος, ὃ τοὺς μὲν ἄλλους οὐ πάνυ δή τι λυμαίνεται, αἶσχος δέ ἐστι τοῦ χρωμένου. γίνεται γὰρ οὐκ ἐν τῷ περὶ θατέρου τι λέγειν ἢ πράττειν, ἀλλ' ἐν τῷ περὶ ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ. διπλοῦν δὲ τοῦτο καὶ διειδές. ἢ γὰρ ἐν τῷ φαυλότερα καὶ ἐλάττω λέγειν τῶν προσόντων ἀληθινῶς, ἢ ἐν τῷ μείζω τε καὶ σεμνότερα. καλεῖται δὲ τὸ περὶ ἐνδεέστερον, εἰρωνεία· τὸ δὲ πλέον, ἀλαζονεία.

à Deo traducantur, aut eiuſmodi in aliis nugis? Hæc.n. ô boni viri: noſtra nihil referunt, niſi illis filios noſtros in diſciplinā tradamus. Sed ſi quæ nunquā audierit, audiſſe ſe cū iureiurando aſſerat, ac faciliùs etiā Lyſandro Spartiata peieret, nec lingua vnquam cum animo conſentiat, ea demū mendacia pernicioſa eſſe dicemus iis qui in ludum vētitant, an omnib. qui quidē quòd vna habitent, neceſſario cum iis vel ſermonis alicuius vel facti cōmunione cōiungūtur? Nulla ſiquidem magis ab hominū ſocietate abhorret malitia, quàm perfidia, & infidelitas. Quippe quæ vnicum vitium ſit aduerſus quod nullā cautionem ac prouiſionē comparare poſſimus. Quod enim ſolum pręſidium habemus, iuſiurandū dico, ac Deorum inuocationē, hoc ipſo maximè, vt faciliùs lateat, abutitur. Proinde ridicula apud eos Stygis aqua eſt, nec minus ridicula Styx ipſa: Tartarei dæmones pro nugis habentur, pro nugis etiā ipſe Tartarus, quoties perfido homini neceſſe eſt ſcelus aliquod commiſſum inficiari. Propter quam calliditatem ac verſutiā, homo beluis tractatu difficilior & agreſtior redditur. Hoc.n. eſt quod Poëtas cōquerētes audimus, quod

Serpentem in montibus atque Leonem
Venator viſum fugere, auditúmque, valebit.
Horum quippe animus, menſque haud obſcura pateſcit.
Aſt homo mente aliud verſat, quàm lingua profatur:
Blanda quidem vox eſt, ſed facta inimica probantur.

Inſidiantur, & vna habitāt, & adulantur. Mira porro audacia, præfractáq; ad ea omnia impudētia, quę medio etiā in foro, & corā Gręcis Barbariſque teſtib. cōfinxerit, & machinatus fuerit. Atq; hoc mēdacij genus malitioſum, atq; improbum à Philoſophi animo reiiciendū eſt. Eſt autem aliud quod cęteris quidē non adeo nocet, vtenti vero turpiſſimū eſt. Non.n. ineſt in eo quod de altero quis quid dicat, aut faciat, ſed de ſeipſo rebuſq; ſuis. Et ipſum duplex eſt, ac bipartitū. Nā aut in deterioribus ac minoribus de ſe prædicādis, quā re vera inſint, poſitū eſt, aut in maiorib. ac digniorib. Quorum alterū, quod defectu vitioſum eſt, ſimulatio; quod exceſſu malū eſt, arrogantia nuncupatur.

Sed illud quod infra rei veritatem eſt, ſcitum ac lepidum eſt, proptereáque eo Socrates in ſermone vtebatur, cum Sophiſtam quempiam faſtu tumidum atque inflatum irridere vellet. Tum enim quàm viles contemptibileſque ſint, magis ſentiunt, cùm eo qui ſe nihil ſimulet, imperitiores eſſe conuincuntur. Alterum vero, quod exceſſum habet, graue eſt, & moleſtum. Nec eſt auditu res adeo vlla intolerabilis vti ſui ipſius commendatio, præſertimque eruditionis nomine, de qua laudantibus aliis erubeſcere conuenit eos, qui verè illius compotes ſint. Etenim cum homine quæſtui dedito verſari eſt quidem ingratum, qui nihil aliud præterquam diuitias, aut cymbia, atque pocula, purpuram, aut ornamenta aurea collaudare velit. Sed & miles aliquis glorioſus tædium affert, cuiuſmodi induci in Comœdia ſolet. Sed nihil æquè faſtidium & nauſeam parit, atque admirando extollere impenſéque iactare ſolertiam ſuam, & acumen ingenij, docilitatemque, & eruditionis copiam, atque memoriam. Deinde tot ac tot numerare Ariſtotelis aut Platonis libros, idque & ſemper, & omni loco, ac tempore, ſiue ad lauandum tecum inuites, vel ad cœnam voces, vel de Aeſchylo percontetis, ſiue quæ inſula Simonidis Melici poëtæ patria fuerit. Nec iſtos abſque illa importunitate ſalutare licet, ſed ſtatim Dodonæum Cymbalum ſonat; duæ affirmationes, &, quòd non eo modo ſecunda figura colligit. Neque verò ſordidus ac munerum appetens tibi homo relinquendus eſt, nec lucri cupidus, & auarus: alioqui omnes animi cupiditates à doctrinis, velvti fluuius in planum ac depreſſum locum confluent. Sed quæcumque iuſtè à parentibus acceperint, horum curam adminiſtrationémque ſuſcipere eos oportet, quæ ad Philoſophiæ miniſterium poſſideant. Verum ipſos per ſe quærere opes minimè conuenit, neque in promptu poſitas illas, atque è foro ſcaturientes in ædes admittere. Neque enim ita comparatum eſt vt quæ illinc profluunt puros fontes cũ iuſtitia cõiunctos habeât,

τὸ μὲν δὴ ἔλλειπον τοῦ ἀληθοῦς κομψόν τέ ἐστι καὶ αἱμύλον, καὶ ἐνίοτε οὐκ ἄχρηστον τῷ φιλοσόφῳ. καὶ διὰ τοῦτο καὶ Σωκράτης παρελάμβανε τοῖς λόγοις, ὁπότε ἐδεῖτο ἐπισκῶψαί τινα σοφιστὴν τύφου μεστὸν καὶ γέμοντα, περὶ σωφροσύνης. μᾶλλον γὰρ αἰσθάνονται τῆς ἑαυτῶν οὐδενείας, ὅταν ἀμαθέστεροι διεξελέγχωνται τοῦ μηδὲν εἰδέναι προσποιουμένου. τὸ δὲ ἕτερον, τὸ ὑπερβάλλον, βαρύτι καὶ ἐπαχθές· καὶ οὐδὲν οὕτως ἄκουσμα φορτικὸν ὡς ὁ καθ' ἑαυτοῦ ἔπαινος, καὶ ταῦτα ἐπὶ παιδείᾳ, ἐφ' ᾗ καὶ ἄλλων ἐπαινούντων ἐρυθριᾶν χρεὼν τοὺς ἀληθινοὺς αὐτῆς ἐπηβόλους. χαλεπὸν μὲν γὰρ καὶ χρηματιστῇ συγγενέσθαι οὐδὲν ἐθέλοντι ἐπαινεῖν ἀλλ' ἢ τὸν πλοῦτον, καὶ τὰ κυμβία, καὶ τὰ ῥυτά, καὶ τὴν πορφύραν, καὶ τὰ χρυσία· ἀποκναίσειε δ' αὖ καὶ στρατιώτης ἀλαζὼν καὶ οἷος ἐν τῇ κωμῳδίᾳ· ἀλλ' οὐδὲν οὕτω πλήσμιον καὶ ἐμποιοῦν πολλὴν ναυτίαν ὡς τὸ ἄγασθαι καὶ ὑπεράγασθαι ἀγχίνοιάν τε ἑαυτοῦ καὶ ὀξύτητα καὶ εὐμάθειαν καὶ πολυμάθειαν καὶ μνήμην, βιβλία δὲ ἐξαριθμεῖσθαι τόσα καὶ τόσα τῶν Ἀριστοτέλους ἢ Πλάτωνος, ἀεί τι δὴ καὶ ἐφ' ἅπαντι, κἂν συλλουσόμενον παρακαλῇς, κἂν συνδειπνήσοντα ἄγῃς, κἂν ὑπὲρ Αἰσχύλου πυνθάνῃ, κἂν ποία νῆσος Σιμωνίδου τοῦ μελοποιοῦ. οὐδὲ προσειπεῖν τοὺς τυχόντας δίχα τῆς δυσχερείας ταύτης ὑπάρχει, ἀλλ' εὐθὺς ὑπηχεῖ τὸ Δωδωναῖον χαλκεῖον, αἱ δύο καταφάσεις, καὶ ὅτι οὐ συνάγει οὕτω τὸ δεύτερον σχῆμα. οὐ μὲν δὴ δωροδόκον σε ἐατέον τὸν ἄνδρα, οὐδὲ φιλοκερδῆ τε καὶ φιλοχρήματον· ἢ πᾶσαι αὐτοῦ αἱ τῆς ψυχῆς ἐπιθυμίαι ἀπὸ τῶν μαθημάτων ἐκεῖσε ἐποχετεύσονται, ὥσπερ ῥεῦμα ἐπὶ τὸν πρανέστερον τόπον. ἀλλ' ὅσα μὲν σὺν δίκῃ παραλάβοιεν ἐκ πατέρων, τούτων προορᾶσθαι καὶ ἐπιμελεῖσθαι χρεών, ὑπηρεσίαν φιλοσοφίας κτωμένους· αὐτοῖς δὲ πλοῦτον οὐκ ἐργαστέον, οὐδ' εἰς τὴν οἰκίαν παραδεκτέον τὸν ἕτοιμόν τε καὶ βρύοντα ἐκ τῆς ἀγορᾶς. οὐ γὰρ ἔχει φύσιν τοῦ ἔνθεν ῥέοντος καθαρὰς εἶναι τὰς πηγὰς καὶ δικαίας,

ἅτε οὐχ ὑπὸ σκαπάνης ἢ δικέλλης ὀρωρυγμένας, ἀλλ᾽ ἔκ τινων ζοφερῶν τε καὶ ὀλεθρίων πόρων διὰ σκότου τε καὶ ὑπονόμων συνειλεγμένας. Εἰ ἄρα τὸν νόμον τοῦτον διασώσομεν, οὐκ ἐπιτρέψομεν τοῖς φιλοσοφεῖν προσποιουμένοις δικῶν τε γίνεσθαι ἐργολάβοις, καὶ ἀποκλείσαντας τὰ Μουσεῖα προσκυλινδεῖσθαι τῷ βήματι, διαπληκτιζομένους καὶ λοιδορουμένους ῥήτορσιν ὁμοῦ καὶ στρατιώταις, οὐδὲ ὑπομένειν ὅσα καὶ οἷα ὑπομένουσιν οἱ ἐπὶ ταύταις ταῖς ἐργασίαις νυκτηγρετοῦντές τε καὶ διημερεύοντες ἐν ταῖς δίκαις, ἐνίοτε ἐν ταῖς εἰς τοὐπίσω ἀποπρατόμενοι τὸν μισθόν, ὅταν ἕλωνται οἱ μισθωσάμενοι τὰς εἰρηνικὰς συναλλαγάς. πολλοῦ δὲ δεῖ συγχωρήσομεν αὐτὰ τὰ Μουσεῖα δικαστήρια καθιστάναι, καὶ πρότερον ποιεῖν τοῦ δικαίου τὰ αἰδράκτορα τῶν Μυσῶν, καὶ ἀναφύρειν τοὺς μανθάνοντας τοῖς δικαζομένοις· οὐδὲ τὸν Περσικὸν νόμον αἰσχυνομένους, ὃς διεχώρισε τῆς ἀγοραίου τύρβης τὰς ἐλευθέρους διατριβάς. οὐκ ἐπιτρέψομεν δὲ οὔτε οἰκίαν οἰκοδομεῖσθαι εἰς ἣν οὔτε μεταλλέας ἐμισθώσαντο, οὔτε τέκτονας, οὔτε οἰκοδόμους. ἀλλὰ τά γ᾽ ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται, Χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος. οὐδὲ λιμοῦ ἄρχειν δημιουργούς, μηδὲ ζωγράφους εἰργνύναι, ὅτι μὴ δωτίνην τὰ φάρμακα ἐπαλείφουσιν. ἀφήσομεν δὲ οὔτε ἀγρὸν δωρεὰν λαβόντας παρὰ τῶν θείων διαμάχεσθαι τῷ δεδωκότι, οὐδὲ τὸν κύαθον ποιεῖν ἀμφορέα, περιτεμνομένους ἀεὶ τῶν πλησίον· καθάπερ δή ποτε λέγεται Καρχηδονίους, χωρίον ἰσομέτρητον βύρσῃ παρὰ Λιβύων αἰτησαμένους, εἰς λεπτὸν ἱμάντα κατατεμόντας τὴν βύρσαν, πολυπλασιάσαι τὴν δωρεάν. καὶ νῦν ἔτι Καρχηδόνιοι Βύρσαν τὸν τόπον ἐπονομάζουσιν, εἰρωνευόμενοι τῇ σμικρότητι τοῦ ὀνόματος πρὸς τὸ μέγεθος τοῦ χωρίου. Εἰ γὰρ ὦ φίλοι τὰ τοιαῦτα ἡμῖν ὁ φιλόσοφος σπουδῇ ἀγαπήσει, καὶ κατατενεῖται ὑπὲρ μιᾶς βώλου τοὺς γειτνιῶντας, πότε οἷός τε ἔσται εἰς ἅπασαν τὴν γῆν ἐνιδεῖν; πότε τὴν ὅλην περιαθρῆσαι;

vtpote quæ ligonibus & bidentibus effoſſæ non ſint, ſed ex tenebroſis quibuſdam, & peſtiferis meatibus, per caliginem ac cuniculos collectæ. Hanc nos legem ſi diligenter ſeruemus, non illis permittemus, qui ſeſe philoſophari ſimulant, vt litium redemptores ſint, aut vt Muſea claudentes circum tribunal volutentur, aut verberibus ac conuitiis cum Oratoribus ſimul ac militibus certent: neque vt ea ſuſtineant, quot & qualia ſuſtinent ij, qui ad eiuſmodi negotia procuranda noctu excitantur, diéſque in forenſibus cauſis conſumunt, ac nonnunquam de mercede ſtipulantur in poſterum danda, cùm illi ipſi, quibus operam ſuam locant, pacificè inter ſe compoſuerint. Tantum abeſt vt ex ipſiſmet Muſeis iudiciaria ijſdem fora facere permittamus, & in Muſarum adytis iuri dicundo Prætorium inſtituere, ac litigantes cum diſcipulis miſcere. Adeò vt ne Perſicæ quidem legis illos pigeat; quæ à forenſi tumultu ac ſtrepitu ingenuorum puerorum domicilia ſeiunxit. Sed neque per nos licebit ædes excitare, ad quas neque ferrarios fabros, neque lignarios, nec Architectos conduxerint.

Cuncta ſed abſque ſatu & duro naſcuntur aratro,
Aes, aurúmque ſimul, ferrique operoſa metalla.

Neque fame opifices enecare, aut pictores in vincula cõpingere, pro eo quòd gratis illinere pigmenta nolunt. Nihiloque magis ſinemus eos, poſtquã dono agrum ab quopiam acceperint, de limitibus cum eo, vnde datus ſit, contendere, neque aliquid ſemper de proximo corradentes amphorã è cyatho facere. Quemadmodũ olim ferũt Carthaginiẽſes, cum tantũdem ſpatij, quantum bubulo corio occupari poſſet, ab Afris impetraſſent, præſecto in exiguũ lorum corio multiplicatã donationẽ vſurpaſſe. Et hodiéq; Carthaginiẽſes Byrſam, id eſt, Coriũ, locũ illũ appellant, ex exiguitate nominis ad loci magnitudinẽ alludẽtes. Etenim ſi Philoſophus hæc atq; his ſimilia ex animo diligat: ſi pro gleba vna vicinos diuexet, quãdonã ad vniuerſã terrã oculos adiiciet? quãdonã totũ orbẽ contemplabitur?

quandonam vnà cum mari exiguum eſſe arbitrabitur? is inquam, qui pro tribus quatuorve iugeribus ingentibus moleſtiis alios afficit. Nam omnis illa ignauia anguſti & illiberalis animi eſt, nimiumq; teſtam illam corporis magnifacientis. His adiice ea, de quibus tanquam ſcitis ac vafris,& callidis,gloriari ſolent;velut pluris liceri cæteris, ac maiori pretio emere, moxque integra ſumma fraudare:auctionantes inexplicabilibus laqueis implicare, vt ne reliquum dependat. Quod ſi adeo ſordido & auaro homini diſcipulorum copia contigerit,quos paucis crinibus, velut piſces, ineſcauerit, erunt illi quidem piſcibus elinguiores, mercedem nihilominus taciturnitatis huius Præceptor exiget, iracundè fremens,& identidem Aegidem quatiens, ac ſtateres in hanc & illam partem ſæpius vertens, idque diligenter explorans ſintne adulterini, atque iniuſti ponderis: nonnunquam vero infelices pueros paxillis alligabit, qui præ inopia & orbitate mercedem ſoluere nequeant. Inde ab loro diſcedens ita diſputabit: Aurum omne,quod intra terram:ſupráq; terram eſt,non eſſe cum vna virtute comparandum. Nā quid tandem diuitiæ ſunt? Terrena ſcilicet res,& caduca. Atq; hęc iactabit in eorum forte adoleſcentum præſentia, quos in tormentis crudeliter diſtorſerit, propterea quod numo ſordium aliquid inerat. Nec illud intelliget: orationem quę moribus conſentanea non ſit,alienam eſſe,nec dicentis propriam. Quemadmodum Therſites Græcis dicebat,

Quemcumque adducam vinctum. Hic enim Achilli & Aiaci congruebat ſermo,quē gibboſus iſte nihil ad ſe pertinentem perperam vſurpabat,atq; ob id eiulatur generoſus iſte & magniloquus,& omniū fortiſſimus, atq; à Grę-corum ſapiētiſſimo vapulat,ne loquax,& curioſus,ac conuitiator,néve Principib. infenſus ſit, aut in concionib. tumultuetur. Atenim opportunè admodū Therſites in hanc orationem incurrit,mihique alteram in formam ac notam commodè ac leniter tranſeundi occaſionem prębuit. Maledicos.n. aut curioſos,nimiumque in quærendo diligentes, ne Philoſophorum quidē famulos eſſe permittemus:

ſed

ποτε σμικρὰν ὑπολαβεῖν σὺν τῇ θαλάττῃ τριῶν ἢ τεττάρων πόλεων, μερμέρεια κακὰ ἐργαζόμενον; πᾶσα γὰρ ἡ τοιαύτη ἀνανδρία σμικρᾶς τε καὶ ἀνελευθέρου ψυχῆς, καὶ σφόδρα τὸ ὄστρεον τοῦτο τιμώσης. καὶ δὴ καὶ ἐφ' ὅσοις καλλωπίζονται ὡς κομψοῖς καὶ δεινοῖς καὶ πανούργοις, πλειστηριάζειν τε καὶ ὑποφωνεῖσθαι, ἀποστερεῖν δὲ τοῦ συμπαθόντος, καταδεῖν τε ἀναφύκτοις ἄρκυσι τοὺς περατῆρας, τοῦ μὴ τὸ ἔλλειμμα ἀποτιμῶσαι. εἰ δὲ δὴ συμβαίη τῷ οὕτω φιλοχρηματῷ καὶ ὁμιλητὰς προσφοιτᾶν, θριξὶν ὀλίγαις καθάπερ ἰχθῦς δελεασθέντας, ἰχθύων μὲν ἔσονται ἀναυδότεροι, μισθὸν δὲ ὅμως εἰσπράξεται ὁ διδάσκαλος τῆς ἀφωνίας, διαβεβαιωμένος τε καὶ τὴν αἰγίδα πυκνὰ ἐπισείων, μεταστρέφων τοὺς στατῆρας ἔνθεν καὶ ἔνθεν, μὴ παράσημοί τε καὶ ἐνδεεῖς, καὶ παιδάρια δυστυχῆ προσπαταλεύων, ὑπὸ πενίας καὶ ὀρφανίας πολλάκις ἐξαπορούμενα τοῦ μισθοῦ· εἶτα ἀπὸ τοῦ ῥυτῆρος ἐξελθὼν διαλέξεται ὅτι πᾶς ὁ ἐπὶ γῆς καὶ ὑπὸ γῆν χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. καὶ τί γὰρ ὁ πλοῦτος; πρᾶγμα γήϊνον καὶ ἐπίκηρον. καὶ ταῦτα ἐρεῖ περιεστηκότων ἔτι τυχὸν μειρακίων, ἃ ἀνηλεῶς κατεχόρδευσεν ἐν ταῖς βασάνοις, ὅτι ῥύπου τι προσῆν τῷ νομίσματι, καὶ οὐκ εἴσεται ὅτι ὁ λόγος, ἂν μὴ τῷ τρόπῳ σύμφωνος ᾖ, ἀλλότριος γίνεται, καὶ οὐ τοῦ λέγοντος· ὥσπερ ὁ Θερσίτης ἔλεγε τοῖς Ἀχαιοῖς, Ὅν κεν ἐγὼ δήσας ἀγάγω. οὗτος γὰρ Ἀχιλλέως καὶ Αἴαντος ἦν, ὁ κυφὸς δὲ αὐτὸν οὐδὲν προσήκοντα ὑπεβάλετο. ταύτῃ τοι καὶ κλαυθμυρίζεται ὁ γυνάδας καὶ ὑψηλολόγος καὶ ἀριστεὺς, καὶ μαστιγοῖ αὐτὸν ὁ σοφώτατος τῶν Ἀχαιῶν, ἵνα μὴ λάλος καὶ περίεργος ᾖ καὶ ἐπεσβόλος, καὶ δυσμεναίνῃ τοῖς ἀρίστοις, καὶ θορυβῇ τὰς ἐκκλησίας. ἀλλὰ γὰρ ἐν καιρῷ ὁ Θερσίτης αὐτόματός ποθεν εἰσεῤῥύη τῷ λόγῳ, καὶ ἔδωκεν αὐτῷ ἀψοφητὶ μεταβῆναι εἰς ἕτερον τόπον. κακηγόρους γὰρ δὴ ἢ περιέργους καὶ πολυπράγμονας οὐδὲ τοὺς ἀκολούθους τῶν φιλοσόφων ἐάσομεν εἶναι,

ἀλλὰ πάντων μάλιστα ἀναγκάσομεν ἔνια τῶν Πλάτωνος καταμανθάνειν τε καὶ ἐπίστασθαι. οὐδὲ γὰρ εἰ κακῶς τι γέγονεν ἐν τῇ πόλει, ἤτοι τι κακόν ἐστιν ἐκ προγόνων γεγονός, ἢ πρὸς ἀνδρῶν, ἢ πρὸς γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. σοφὸς γὰρ ὢν Αἴσωπος ὁ μυθοποιός, ὅς ἔφη τοὺς ἀνθρώπους δύο πήρας ἕκαστον φέρειν, τὴν μὲν, ἔμπροσθεν, τὴν δὲ, ὄπισθεν· γέμειν δὲ κακῶν ἑκατέραν· ἀλλὰ τὴν μὲν ἔμπροσθεν, τῶν ἀλλοτρίων, τὴν δὲ ὄπισθεν, τῶν αὐτοῦ τοῦ φέροντος. καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ, οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται. ἐγὼ δὲ ἐβουλόμην περιτετράφθαί μοι τὰς πήρας, ἵνα τὰ ἐμαυτοῦ μόνον ὁρῴην, τὰ τῶν ἄλλων δὲ μὴ δυναίμην. οὐκ ἔστι γὰρ, φασὶ, γλυκερώτερον ἢ πάντ' εἰδέναι. καὶ ἐγὼ φημὶ τἀγαθά. οἷα δὲ λέγει ὁ μάγειρος ὁ κωμῳδικὸς, οὐδὲ ἔνια πάνυ εὐτελῆ πυνθανομένῳ, ἀλλ' ἀπέτριβε τοὺς δαιτυμόνας, ἐξαλλάττων τὰ ἡδύσματα. ἀλλ' οὐκ ἐνταῦθα Καρίωνος τὸ κακὸν τὸ μέγα, ὅτι μοχθηρὰ ἡ τέχνη αὐτοῦ καὶ ἀλλόκοτος, ἀλλ' ὅτι πονηρὸν ἀνθρώπιον ὢν, καὶ ἐπὶ οὐκ ἔργῳ εἰς τὰς οἰκίας περιερχόμενον, ἀλλ' ἵνα λαλήσῃ καὶ ψιθυρίσῃ καὶ διαβάλλῃ, καὶ ἐξενέγκῃ οὐχ ὅσα μάγειρον εἰκὸς μαστιγίαν, ὃς δικαίως ἐκρέματο, ἂν οὕτω τύχῃ, διὰ τὴν χρηστὴν φιλομάθειαν, ἐν τῇ συνειδ.· ἀλλὰ καὶ τὰ ἀπόρρητα τῆς οἰκίας, οὐδ' ὅσα ἀκήκοε μόνον, ἀλλὰ πολλὴ ἡ προσθήκη, καὶ ἡ τῶν κακῶν ἐποικοδόμησις. ἀλλ' ὦ μοχθηρὲ καὶ ἀπόπληκτε Καρίων, ἀκήκοας ὅτι ὁ δεῖνα λιβανωτοῖς τοῖς θεοῖς ἔθυσε. λέγε οὖν ὅτι λιβανωτοῦ. μόνον γὰρ τοῦτο ἀκήκοας, καὶ μὴ ὅτι παμμέλανας ταύρους, μηδὲ ὅτι κριοὺς ἐκτομίας. σὺ δὲ καὶ εἴδωλα καταλέγεις, ὅσα ἐκίνησε τὸν Πλάτωνα γοητεύσας. ἔπειτα ἂν μὲν ἀγαθὸν πύθῃ, στεγανὸς εἶ καὶ Ἀρεοπαγίτου σιωπηλότερος· ἐὰν δὲ τινος κακοῦ ἐπιλάβῃ, Ἰλιάδα ἐξ αὐτοῦ ποιεῖς καὶ Ὀδύσσειαν, πολλὰ οὔτ' αὐτὸς ἀκούσας, οὔτε παρακούσας,

ſed imprimis Platonicum illud addiſcere eos ac ſcire cogemus. Neque.n. ſi quid malè in ciuitate geſtū ſit, hoc eſt ſi quæpiam à maioribus,ſiue paterno,ſiue materno ex genere in vllos deriuata ſit infamia, noſſe illū conuenit,ſed è contrario magis hoc ei ignotū eſſe debet,quā, quod vulgo dicere ſolēt, quot in mari ſint aquæ cōgij.Sapiens.n.erat Æſopus ille fabularū ſcriptor,qui vnumquēque hominum manticas duas,alterā antè,ponè alteram geſtare dixit, vtrāque malorum plenā,ſed anteriorem quidē alienorum, poſteriorem eius qui gerit propriorum.Propterea homines ſuapte mala nō vident,aliena verò perſpicaciſſimè contuentur.Ego autē inuerti mihi māticas velim, vti mea dūtaxat videā,aliena cernere nullo modo poſſim. Nihil eſt.n. (vt aiunt) iucundius, quā noſſe omnia. At ego bona dixerim:cuiuſmodi autem ea ſunt, quæ Cocus illeComicus dicit,ne ei quidē qui ſciſcitabatur,noſſe expediebat.Verum conuiuas enecabat condimentorum adulteratione. Sed non in eo præcipuum inerat Carionis ſcelus quòd peſſima & abſurda illius ars eſſet,ſed quod homuncio eſſet nequā, atque in domos non operę gratia irreperet,ſed effutiēdi, atq; inſuſurrādi,detrahendiq; cauſa,ac vt ea efferret,nō quę verberonē cocum dicere veriſimile eſt,qui merito vel in corbe ſuſpendi,ſi ita contingeret, ob egregiam illam ſciendi cupiditatem debuerit;verum arcana familiæ, nec ea ſolū quę audierat,ſed ingens ad ea additamentum,& malorum quędā velvt extructio fiebat. Sed (ô nequam, & vecors Cario) audiſti certum hominem thure Diis ſacrificaſſe;thure igitur feciſſe dicito, hoc enim ſolum audiſti,non autem quod nigerrimos tauros, & arietes caſtratos mactauerit. Tu verò etiam idola ac ſimulacra percenſes, quę ab eo excitata ſunt, cum Plutonē incantaret: Deinde ſi boni quidpiā audieris,tectus es,& Areopagita taciturnior;ſi n malum aliquod arripueris,Iliadem ex eo, & Odyſſeam facis, quorū multa neque audiueris;neq; furtim ſublegeris,

ſed pepereris tutemet,ac contexueris. Et ei quidem, qui tibi iſtud dixerit,iraſceris,miſerum illum,ac Diis inuiſum appellans,& diffidere te ſimulas,& indignaris,& rei atrocitatẽ conquereris. Interim tamẽ incredibilia illa,& atrocia,& iracundiâ digna effers,& vehementer exaggeras, eáque tantùm non ſutoribus ac balneatoribus inculcas. Quod autẽ ad infelicẽ illum & diis inuiſum attinet,cui admodum ſuccenſes, & in quem omnino fremis,ſi quiſpiam roget, & nomen illius enixè abs te poſtulet, minus quã Priami matrem in lucem edideris.quod,opinor,idem ipſe fabularum inuentor & actor ſis: ſed quod in perſona tua certamen ſuſcipere nõ audeas,ad perſonas nomine carentes cõfugis,vt in Tragediis fieri ſolet,cũ nomina poëtæ non inueniũt. Adhæc ſæpe numero integrã attollens machinã, Deos & Dæmonas in fabulã introducis. Nunquid enim eiuſmodi per Iouem eſt illa de inſomniis calũnia? Atque,vt videtur,membrorum ſolutor domitorq; omnium ille ſomnus cæteros quidem maleficos ſopitos tenet; Detractori verò nequitiæ ac prauitatis occaſionẽ præbet. Quod ſi bonum aliquod ſomniũ, ac felicis ominis, ei ante oculos oblatum ſit, vanũ ac leue vtiq; erit, & per Eburneas portas miſsũ: maledicis dũtaxat,atq; inuidia plenis ſomniis Corneę patẽt. Vel potius ſomnia neque veniunt vlla,neq; volunt:ſed illi eò trahunt,& extorquent. Adeóq; manè detractorẽ aliquem mœſtũ,ac vultu contracto dicentem audies,ſe nocte ſuperiore à dæmonibus infeſtatũ,quòd cũ iſto ambulauerit,cũ ſcelerato, & execrabili homine epulatus ſit,qui hęc & illa perpetrauerit. Ac periculũ eſt ne in vniuerſam ciuitatẽ mali aliquid ex eo homine redũdet. Qui eiuſmodi ſit nũ vobis per verũ vnquã viſum aut ſomniũ poſſe videtur, improbis illis ac ſiniſtris morib. depoſitis, dextrã in partem transferri,vt vero cõcentu orationis ſuſcepto, Deorũ hominúmque vitam aliquãdo celebret? Qualia apud Homerũ Achilles canebat,cũ ſe è prælio ſubduxiſſet:

ἀλλ' αὐτὸς τεκὼν, καὶ αὐτὸς ὑφήνας. ἔπειτα ἄχθῃ δῆθεν πρὸς τὸν εἰπόντα, κακοδαίμονά τε καὶ θεοῖς ἐχθρὸν ὀνομάζων, καὶ ἀπιστεῖν προσποιῇ, καὶ ἀγανακτεῖς, καὶ σχετλιάζεις. ὅμως δὲ τὰ μὲν ἄπιστα καὶ σχέτλια καὶ ὀργῆς ἄξια λέγεις τε καὶ ἐκτραγῳδεῖς, καὶ ἐμπίμπλης αὐτῶν μονονουχὶ τοὺς νευρορράφους καὶ τοὺς βαλανέας· τὸν δὲ κακοδαίμονα ἐκεῖνον καὶ θεοῖς ἐχθρὸν, ᾧ πάνυ χαλεπαίνεις, καὶ πρὸς ὃν πάνυ ἀγανακτεῖς, ἐάν τις πυνθάνηται καὶ ἐκλιπαρῇ, ἧττον ἂν εἰς φῶς ἀπάγῃς ἢ τὴν μητέρα Πριάμου. ὅτι, οἶμαι, αὐτὸς ἐκεῖνος ὑπάρχεις αὐτὸς ὁ ποιητὴς καὶ ὑποκριτὴς τῶν δραμάτων· ὀκνῶν δὲ αὐτοπρόσωπος ἀγωνίζεσθαι, ἐπὶ τὰ ἀνώνυμα πρόσωπα καταφυγγάνεις, ὥσπερ ἐν ταῖς τραγῳδίαις ὅταν ὀνομάτων ἀπορῶσιν οἱ ποιηταί. πολλάκις δὲ ἑλὼν ἄρας τὴν μηχανὴν, θεούς τε καὶ δαίμονας τῷ δράματι ἐπεισάγεις. εἰ γὰρ οὐ τοιοῦτόν τι πρὸς Διὸς ἡ κατὰ τῶν ὀνειράτων συκοφαντία; καὶ, ὡς ἔοικεν, ὁ λυσιμελὴς ὕπνος καὶ ὁ πανδαμάτωρ τοὺς μὲν ἄλλους κακούργους κατακοιμίζει, τῷ κακηγόρῳ δὲ ἀφορμὴ γίνεται τῆς μοχθηρίας. καὶ εἰ μέν τι αὐτῷ χρηστὸν καὶ εὔφημον ὄναρ ἐπιστάίη τῇ κεφαλῇ, ἀμενηνόν τε ὄντως ἐστὶ, καὶ διὰ τῶν ἐλεφαντίνων ἥκει πυλῶν· τοῖς δὲ λοιδόροις τε καὶ βασκάνοις ἀναπεπταμέναι εἰσὶν αἱ πύλαι κεράτων. μᾶλλον δὲ οἱ μὲν ὄνειροι οὔτε ἥκουσιν οὔτε βούλονται, αὐτοὶ δὲ ἕλκουσι καὶ παράγουσι. καὶ ἀκούσῃ ἕωθεν ἀνδρὸς κακηγόρου σκυθρωποῦ τε καὶ συννεφοῦς, ὅτι πρᾶγμα εἶδεν ἐν τῇ νυκτὶ τῇ προτέρᾳ ὑπὸ τῶν δαιμόνων, ὅτι συνεβάδιζε τῷ δεῖνι, καὶ συνεστιάθη ἀνδρὶ ἐξαγίστῳ τε καὶ ἀλάστορι, καὶ τὰ καὶ τὰ ἐργαζομένῳ· καὶ δέος μὴ καὶ σύμπασα ἡ πόλις ἀπολαύσῃ τι κακὸν τοῦ ἀνθρώπου. ἆρα ὑμῖν ὁ τοιοῦτος ὕπαρ τε καὶ ὄναρ δοκῇ ἄν ποτε δυνηθῆναι, ἀφέμενος τοῦ σκαιοῦ τε καὶ ἐπαριστεροῦ τρόπου, ἐπὶ δεξιὰ ἀναβάλλεσθαι, καὶ λαβὼν ἁρμονίαν λόγων ἀληθινὴν, ὑμνῆσαι βίον θεῶν καὶ ἀνθρώπων, οἷα καὶ Ὁμήρῳ Ἀχιλλεὺς ᾄδει, ἡνίκα ἀπόμαχος ἦν·

ἢ μᾶλλον εἶα καὶ αὐτὸς Ὅμηρος; ἴστε γάρ που ὅτι Ὅμηρος πάντα ὅσα ὀνομάζει, καὶ ἐπαινεῖ, καὶ οὐδὲ τὰ πάνυ φαῦλα ἀπαξιοῖ τῆς ἀγαθῆς μαρτυρίας· ἀλλὰ καὶ τὰ παιδία αὐτῷ καλά, καὶ αἱ μάστιγες ἅπασαι φαειναί. ὑπεράγαται δὲ καὶ φυτὸν ἐν Δήλῳ πεφυτευμένον· καὶ οὐδὲ ὁ συβώτης αὐτῷ ὁ χρηστὸς ἄμοιρος ἐν τοῖς ἔπεσιν εὐφημίας, ἀλλὰ πειρᾶται πείθειν ἡμᾶς ὅτι ὁ συφορβὸς τῶν ὑῶν ὄρχαμος ἦν τῶν ἀνθρώπων. Θερσίτῃ δὲ ἄρα ἐλοιδορήσατο μόνῳ, ὅτι, οἶμαι, αὐτὸς ἐκεῖνος λοίδορός τε ἦν καὶ ὑβριστής, καὶ ἔπη πολλὰ ἄκοσμα ᾔδει, καὶ οὐκ ἐν τάξει αὖθις οὐδὲ ἐν κόσμῳ ἐλέγετο.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ αὐτοῦ πατέρα,

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

ΘΡΗΝΟΥΣ μὲν δὴ ᾄδειν καὶ ὀδυρμοὺς οὔτε ὑμεῖς ἐάσειν φατέ, καὶ οὐ ξυγχωρεῖ φιλοσοφία· ἀλλ' ὁπότε αἴσθοιτο βαπτιζόμενόν τε ὑπὸ τῆς ὀδύνης, καὶ εἰς δάκρυα καταφερόμενον, χαλεπαίνει τε καὶ ἀπειλεῖ δεινὰ ἄττα με ἐργάσεσθαι καὶ ἀνήκεστα, διαγράψειν μὲν εὐθὺς τοῦ πατρῴου κλήρου· ὅτι λέγω τῆς γῆς τε καὶ τῶν ἀγρῶν καὶ τῶν ποιμνίων, (ἀλλ' οὐκ ἐγὼ πάνυ γλίχομαι καὶ μεταποιοῦμαι, καὶ ἐπιχαίρω κληρονομεῖν μόνος τῶν ἀδελφῶν) ἐξαλείψειν δὲ τοῦ καταλόγου τῶν ζακόρων τῶν ἑαυτῆς. ἀνάγκη οὖν ἴσχειν μου τοὺς ὀφθαλμοὺς ὥσπερ σίδηρον ἢ κέρατα, καθάπερ ἐποίησεν Ὅμηρος τῷ Λαέρτου παιδὶ πεπηγυῖαι τὰ ὄμματα, τὸν οἶκτον ἐπικρυπτομένῳ τῆς γυναικός. καίτοι Ὀδυσσεὺς μὲν καρτερίας οὐχ ἱκανῆς ἔτι ἐδεῖτο,

vel qualia Homerus ipſe potius? Scitis enim quemadmodum Homerus omnia collaudet, quæcumque nominat, neque vel viliſſima quæque pręclaro teſtimonio defraudet: verùm & Pueri apud eum formoſi dicantur, & flagella omnia ſplendida; atque etiam arborem quandam in Delo inſula conſitam mirificè prædicet: vt ne ſubulcus quidem ille egregius ſua in verſibus prædicatione careat, ſed perſuadere nobis conetur, ſubulcum illum porcorum, hominum aliquando ducem extitiſſe. Vnum duntaxat Therſitem conuitiis affecit, quòd (vt arbitror) ille ipſe conuitiator ac contumelioſus eſſet, multaque inhoneſta verba noſſet, neque moderatè ijs, ac decenter vteretur.

IN PATRIS OBITVM ORATIO II.

LVCTVOSAS quidem in parentis obitu, ac lamentabiles voces edere, neque permiſſuros vos mihi dicitis, neque Philoſophia facere iſtud ſinit, quæ quoties me ægritudine ac dolore merſum, & in lacrymas erumpentem ſenſerit, ſuccenſet, & grauia quædam mihi atque acerba comminatur; nimirum me paternis bonis excluſuram ſeſe; non agris dico, aut poſſeſſionibus, vel gregibus (neque enim earum prorſus rerum cupiditate teneor, aut mihi vendico, nec ſolus ex fratribus hæres eſſe contendo) ſed me ex ſacerdotum ſuorum numero expuncturam aſſeuerat. Quare ſic meos oculos tanquam ferrum aut cornu ſiſtere neceſſe eſt: quemadmodum Laërtis filium Homerus facit oculos habuiſſe defixos, cum vxoris ſuæ commiſerationem diſſimularet. Quanquam Vlyſſi quidem non magno robore animi opus erat,

cùm non multũ poſtea ſecuro animo Penelope eſſet fruiturus. Tu verò ô parentum quondam, nunc verò Deorũ ſuauiſſime, quandónam tua rurſum conſuetudine potiemur? Si qua enim Philoſophiæ fides, quę te nuper felici illa profectione tranſuexit, inde rediens nobis renunciabit, quemadmodũ poſteaquã celerrimè naturæ vinculis exſolutus es, quæ quidem nõ ipſe fregeras, aut adhuc retinentia detraxeras, ſed remiſſa ſponte, & laxata fuerant, repentè ſublimis ſurſum ad æthera ſis cælúmque ſubuectus, iunctis equorum immortalium bigis, quos tanto iampridem tẽpore alere ac fouere inſtitueras; vtrumq; ad vnanimiter excurrendũ ſurſumque conuolandũ aſſuefaciẽs, vt ne alter quidem in ſublime iugum traheret, alter in inferiora deprimeret. Vnde neque tibi calcaribus aut fręno ad inſolentem & laſciuum equũ opus fuit, qui beneuolus, & in cõparem mitis ac ſedatus vnà tibi cũ eo currũ ſuſtulit: Moxque ſacra te Deorũ concio & bonorũ Geniorũ populus cũ laude, & occurſu, ac ſalutatione ſuſcepit: propterea quod cũ munus illud, cuius gratia tete ad terras miſerant, expleuiſſes, purus demum ac nulla labe infectus redieris: Neque vllã in te anteriori vel poſteriori parte infixã in animo, atque inſcriptã maculã Rhadamanthus aut Minos deprehẽdit. Ergo illi te prope Socratẽ & Platonẽ collocant, adhibito & diuino Ariſtotele, tuis olim delitiis, cuius cõſuetudine iã tum apud nos frui vt plurimũ enitebaris, neq; cùm tam procul iſtæ delitiæ abeſſent, ab earũ te familiaritate corpus diſſociare vnquam potuit. Profectò nũc ille te (ô diuinũ caput) præ cęteris honorat, & diligit, nec quid faciat præ gaudij magnitudine ſcit, ingẽtes tibi gratias habens, ob egregiã illã tuã tanquam Oraculorũ, ſic Ariſtotelis interpretandi rationẽ, quæ abs te lõgè illuſtrior glorioſiorq; ſuſcepta eſt, quàm à Bacide & Amphilyco Apollinis reſponſorũ explicatio; Ariſtotelis, inquã, ſapientiæq; eius, quã ille excogitatã ac perpolitã tenebris inuoluit, & obſcuritate

veſtiuit,

μέλλων οὐκ εἰς μακρὰν ἀπολαύσεσθαι τῆς Πηνελόπης συμπαρρησίᾳ. σὺ δὲ ὦ πάλαι μοι πατέρων, νῦν δὲ θεῶν ἀγανώτατε, πότε αὖθις σοι συνεσόμεθα; Εἰ γὰρ τί δεῖ φιλοσοφίᾳ πιστεύειν, ἥ σε διαπορθμεύσασα ἐναργῶς τὴν μακαρίαν πορείαν, ἐπιδημήκουσα ἐκεῖθεν ἡμῖν ἀπαγγέλλει ὅτι ὁπηνίκα ὡς τάχιστα τοῦ δεσμοῦ τῆς φύσεως ἀπελύθης, οὐκ ἀπορρήξας οὐδὲ ἀποσπάσας ἔτι κατέχοντος, ἀλλ' αὐτοῦ χαλάσαντος καὶ ἀνέντος, αὐτίκα ἤϊξας μετέωρος ἄνω πρός τε αἰθέρα καὶ οὐρανὸν, τὴν ξυνωρίδα τῶν ἀθανάτων ἵππων ζευξάμενος, οὓς ἐν χρόνῳ τοσῷδε ἅμα ἔτρεφες καὶ ἐπίπαλλες, συνεξορμᾶν ἐθίζων καὶ ἄνω ἵεσθαι ἀμφοτέρους, καὶ μὴ τὸν μὲν ὕψους ἕλκειν, τὸν δὲ κάτω βρίθειν τὸν ζυγόν. ὅθεν τὸ νῦν οὔτε κέντρων οὔτε χαλινῶν ἐδεήθης πρὸς τὸν ἀλαζόνα ἵππον καὶ ὑβριστὴν, ἀλλ' εὐμενής τε καὶ τῷ ὁμοζύγῳ πράως ἔχων συνδιῆρέ σοι τὸ ὄχημα· καί σε ἐδέξατο ἱερὰ θεῶν ἀγορὰ καὶ δῆμος ἀγαθῶν δαιμόνων, εὐφημοῦντές σε καὶ προσαπαντῶντες καὶ ἀσπαζόμενοι, ὅτι σφίσιν ἐκτελέσας τὸ χρέος οὗ σε ἕνεκα ἔστειλαν ἐπὶ γῆς, ἀκήρατος αὖθις καὶ ἅγιος ἐπιδημήκεις· καὶ οὔτε ἔμπροσθεν οὔτε ὄπισθεν μόλυσμα ἐξηῦρεν ὁ Ῥαδάμανθυς ἢ Μίνως ἐσφραγισμένον τὲ καὶ ἐγγεγραμμένον τῇ ψυχῇ· καθίζουσί τε παρὰ Σωκράτῃ καὶ Πλάτωνι, ἄγοντες καὶ τὰ σὰ παιδικὰ τὸν θεῖον Ἀριστοτέλην. καὶ ἐνθάδε ἐν τῇ μετοικήσει συνεῖναι τὰ πολλὰ ἐπεχείρεις, καὶ οὐκ ἐξήρκει τὸ σῶμα ἀποφέρεσθαι τὴν συνουσίαν οὕτω πόρρωθεν ὄντων τῶν παιδικῶν. εἴπου νῦν σε ἐκεῖνος, ὦ θεία κεφαλὴ, κυδαίνει τὲ ὑπὲρ τοὺς ἄλλους καὶ ἀγαπᾷ, καὶ οὐκ ἔχει ὅ,τι χρήσεται ὑπὸ χαρμονῆς, ἀποτιννύων τὰ χρειστήρια τῆς προφητείας ἣν προεφήτευσας Ἀριστοτέλους λαμπρότερον, ἢ Βάκις τὲ καὶ Ἀμφίλυκος τοῦ Λοξίου, καὶ τῆς σοφίας, ἣν ἐκεῖνος διεδρῶν τε καὶ διασκήσας ζόφῳ ἐκάλυψε, καὶ ἠμφίεσεν

ἀσαφείᾳ· φροντίσας μήτε βασκῆναι τοῖς ἀγαθοῖς, μήτε ῥίψαι εἰς τοὺς περιόδους, συγκωματεύων τοὺς ἐπαξίους, περιῄρει τε αὐτοῖς τὸν ζόφον, καὶ ἐγύμνου τὰ ἀγάλματα. ὥστε ὁ μὲν ἀρτὶ προσιὼν τοῖς ἀδύτοις, φρίκης τε ἐνεπίμπλατο καὶ ἰλίγγου, ἀδημονίᾳ τε εἴχετο καὶ ἀπορίᾳ συμπάσῃ· οὐδὲ ἴχνους λαβέσθαι οἷός τε ὤν, οὔτε ἀρχῆς ἧστινοσοῦν ἐπιδράξασθαι εἴσω φερούσης. ὁπότε δὲ ὁ προφήτης ἐκεῖνος, ἀναπετάσας τὰ προπύλαια τοῦ νεὼ, καὶ τοὺς χιτῶνας περιστείλας τοῦ ἀγάλματος, καλλιώσας τε αὐτὸ καὶ ἀποσμήξας πάντοθεν, ἐπεδείκνυ τῷ μυουμένῳ μαρμαῖρόν τε ἤδη καὶ αὐγῇ καταλαμπόμενον θεσπεσίᾳ, ἥ τε ὁμίχλη ἐκείνη καὶ τὸ νέφος ἀθρόον ὑπερρήγνυτο, καὶ ἐξεφαίνετο ὁ νοῦς ἐκ τοῦ βάθους, φέγγους ἀνάπλεως καὶ ἀγλαΐας, ἀντὶ τοῦ πρότερον σκότου· Ἀφροδίτη δὲ παρῆν δᾳδουχοῦσα, καὶ Χάριτες συνεθίγγανον τῆς τελετῆς. τὸ μὲν οὖν πρόσωπον καὶ τὸ σχῆμα ὅλον μονονοὺ δῆθεν ἐπῆν Ἀριστοτέλους τοῖς μυστηρίοις· ἄπαντα δὲ ὅμως συνανεῴγνυτο τῶν σοφῶν τὰ ἀνάκτορα, καὶ συνεπώπτευσας ἂν τὰ ἱερὰ καὶ ὅσα Πυθαγόρας ὁ Σάμιος ἐξ Αἰγύπτου ἐκόμισεν εἰς τὴν Ἑλλάδα, καὶ ὅσα ὕστερον ἐν τῇ ποικίλῃ στοᾷ Ζήνων ὁ Κιτιεύς. τὰ μὲν γὰρ Πλάτωνος τοῦ μεγάλου ἀγχίθυρά τε ἀεὶ ἀπεδείκνυε καὶ ἐν τῷ αὐτῷ περιβόλῳ· καὶ οὐδὲ μετημφιέννυτο τὴν στολὴν, μεταβαίνων εἰς τὴν ἀκαδημίαν ἐκ τοῦ λυκείου, ἀλλὰ πολλάκις Ἀριστοτέλει προθύσας, εἰς τὴν Πλάτωνος ἐλήλυθεν ἱερουργίαν, ἅμα μὲν γενναῖον προτέλειον, ἅμα δὲ θριγγόν τε καὶ φυλακτήριον. εὐβάτου γὰρ οὔσης ἔτι καὶ ἐπιδρόμου τοῖς σοφισταῖς, τειχίσαι τε Ἀριστοτέλει καὶ περιφράξασθαι καὶ πανταχόθεν ἀποκλεῖσαι ταῖς ἐπιβουλαῖς τῶν δογμάτων, τοὺς δὲ πολλοὺς ὑπὸ ὄκνου καὶ ῥαθυμίας ἀφεικότες τε ἐθέλειν καὶ ἀναλέφους διαγωνίζεσθαι. ὅθεν πολλάκις γενναία δόξα καὶ ἰσχυρὰ ὑπὸ ἀσθενοῦς καὶ φαύλης ὑποσκελιζομένη τε καὶ σφαλλομένη παρόντας ἀμύνειν, μὴ δύναται ἐπαμύνειν. πρὸς μὲν δὴ Πλάτωνα τὸν σοφὸν

veſtiuit, vt neque bonis eam inuidia ſubtraheret, nec in triuiis ac compitis conculcandam abijceret. Tu igitur dignos earum rerum ſcientia probans caliginem iis omnem detergebas, & ſimulacra denudabas. Adeo vt qui nuper ad penetralia ſeſe contulerat, horrore quodam & vertigine compleretur, hæſitans animo penitus, ac fluctuans, neque veſtigium vllum apprehendere poſſet, per quod in interiora penetraret. Vbi verò Antiſtes ille tẽpli veſtibulis patefactis, & contractis ſimulacri veſtibus, eóque perpolito, ac confricato vndique, mox idem emicans, ac cœleſti quadam luce perfuſum initiato præbuerat, repẽtè caligine omni ac nebula dehiſcente, ſenſus ex intimis ſe proferebat, pro ſuperioribus tenebris, fulgoris ac ſplendoris pleniſſimus. Aderat illico facem pręferens Venus, & Gratiæ initiationis participes erant. Ac facies quidem ipſa, formáque vniuerſa penè in Myſteriis verſabatur Ariſtotelis, nihilominus tamen cætera quoque ſapientum omnium adyta pandebantur. Vidiſſeſque ibidem ea ſacra quæ & Pythagoras Samius, ex Ægypto in Græciam aſportarat, & quæ poſtmodum in Varia Porticu ſunt à Cittico Zenone condita. Quæ enim à magno Platone deriuata ſunt, vicina ea eſſe Ariſtoteli declarabat, atque iiſdem templi ſeptis contineri. Nec cùm ab Lyceo in Academiam tranſiret, veſtem mutabat; ſed plerumque cum ab ſacris Ariſtoteli faciendis inchoaſſet, in Platonis ſacrificia deſinebat, quod vnà & ſacræ rei faciendæ primordium optimum, & munimentum, ac propugnaculum eſſe iudicabat. Nam cum acceſſu facilis, & Sophiſtarum excurſionibus eſſet expoſita, Ariſtotele muniendam, atque obuallandam aſſerebat, quo vndequaque dogmatum inſidiæ arcerentur, cùm plerique præ ignauia ac deſidia, nequaquam muniti ac delibuti ad certamen deſcendere audeant. Quo fit vt nonnunquam præclara aliqua robuſtáque ſententia ab imbecilla vilique ſubuerſa, ac conuulſa, ſe ipſam propugnare nequeat. Igitur Platoni

neque ipſe contradicebat,nec Ariſtotelem facilè repugnare arbitrabatur. Epicurum verò Neoclis filium, ſcitum alioqui & elegantem putabat: neque Atomorum vllam eſſe ſectionem: Nihilominus eundem aliquando introducens,quatenus ſolum ignorantibus exhiberet, quàm celerrimè è Catalogo dimittebat, vnguento in eius caput,vt potè voluptatis amatoris,effuſo. Sed ob ea ipſa quidē minus fortaſſe mirari oportebat. Nulla enim Philoſophiæ ſecta longius ab altera ſeparatur. Sed quēadmodum ſpatioſæ atque amplæ viæ diuortia ac diuerticula alia maiore, minore alia flexu circumeuntia; in eundem nihilominus terminum concurrunt. Verum quoties Homerum Poëtam induceret, & tāquam Ariſtotelis ac Platonis doctrinę authorem, ac principem hoſpitio exciperet, tunc Homeri voce omnino opus habuiſſes,quo ex eodem hunc in modum exclamares:

O quàm charus is eſt cunctis, quàm ſuauis amicus!

Nam ne à priſca quidem Scena, aut Theatro, velut prophanis omnino, aut à Philoſophia abhorrentibus, abſtinebat;ſed plerumque Euripides, & Sophocles, nec nō formoſa Sappho,& egregius ille Pindarus ſimul reſonabant,& Orgia pariter celebrabāt. Vnde neque vna dumtaxat lingua vtebatur,nec Philoſopho ſoli auditori accommodatus erat, ab Oratoribus verò aut Grammaticis percipi non poterat. Verum cæteros quidem,cùm ex Philoſophia aliquid expromere conarentur, difficiliùs quàm Perſicè loquentes, intelligeres; illum vero etiam vinitor, etiam ærarius faber audiēs,haberet ſanè quod domum ſecum reportaret. Quamobrē & cū Magiſtratu de iis quæ ad Magiſtratum pertinent, diſputabat,& cū politico homine,de adminiſtratione reipublicæ,cum Agricola itē de iis quæ ſunt cum agricolatione coniuncta. Cæterū Agriculturę is laudator erat,& amator acerrimus, eámque vnam Philoſopho dignam eſſe poſt labores relaxationē atque oblectationem cēſebat, præſertimq; iam grandæuo,& ætate cōfecto corpuſculo idoneam illā exercitationē,& temperatione plenam,

οὔτε αὐτός ποτε ἐστασίαζεν, οὔτε Ἀριστοτέλης ῥᾳδίως ᾤετο· Ἐπίκουρον δὲ τὸν Νεοκλέους κομψὸν μὲν ἡγεῖτο, καὶ τῶν ἀτόμων οὐκ εἶναι τομήν· εἰσελκυσμένος δὲ ἂν αὐτὸν πολλάκις ὅσον ἐπιδεῖξαι τοῖς ἀγνοοῦσιν, ὡς τάχιστα ἀπέπεμπεν ἐκ τοῦ καταλόγου, μύρον κατὰ τῆς κεφαλῆς καταχέας, ἅτε ἐραστοῦ τῆς ἡδονῆς. τούτοις μὲν δὴ οὐχ οὕτως ἄγασθαι ἦν. οὐδεμία γὰρ φιλοσοφία πόρρω ἀπῴκισται καὶ μακρὰν ἀποσκηνοῖ τῆς ἑτέρας, ἀλλ' οἷον εὐρείας ὁδοῦ καὶ μεγάλης σμικραὶ διασχίσεις τε καὶ ἀπονεύσεις αἱ μὲν πλεῖον, αἱ δὲ ἔλαττον παρεξελθοῦσαι, εἰς ταυτὸν ὅμως πέρας συνθέουσιν. ἀλλ' ὁπότε Ὅμηρον τὸν ποιητὴν εἰσεκάλει τε καὶ ἐξένιζεν ὡς προπάτορα καὶ ἀρχέγονον τῶν Ἀριστοτέλους καὶ Πλάτωνος λόγων, τότε αὖ ἀκριβῶς ἐδεήθης τῆς Ὁμήρου φωνῆς, ὥστε εἰπεῖν λαβὼν παρ' ἐκείνου,

Ὢ πόποι, ὡς ὅδε πᾶσι φίλος καὶ τίμιός ἐστιν.

Οὐδὲ γὰρ τῆς σκηνῆς ἀπείχετο τῆς ἀρχαίας οὐδὲ τοῦ θεάτρου, ὡς παντάπασι βεβήλων καὶ ἀλλοτρίων φιλοσοφίας· ἀλλὰ θαμὰ μὲν Εὐριπίδης καὶ Σοφοκλῆς, Σαπφώ τε ἡ καλὴ καὶ Πίνδαρος ὁ γενναῖος συνεπήχουν τε καὶ συνωργίαζον. ὅθεν οὐδὲ μονόγλωττος ἦν, οὐδὲ φιλοσόφῳ μόνῳ ἐπιτήδειος ἀκροατής, ῥήτορσι δὲ ἀσύνετος ἢ γραμματισταῖς· ἀλλὰ τῶν μὲν ἄλλων, ὁπότε πειρῷντο ἐκ τῆς φιλοσοφίας τι λέγειν; χαλεπώτερον ἦν συνιέναι ἢ τῆς Περσικῆς διαλέκτου· ἐκείνου δὲ καὶ ἀμπελουργὸς ἀκούων καὶ σιδηρεὺς, εἶχεν ὅ,τι οἴκαδε ἀποφέροι. καὶ οὕτω ἄρχοντι μὲν τὰ ἀρχικὰ διελέγετο, πολιτικῷ δὲ τὰ πολιτικὰ, γεωργῷ δὲ, ὁπόσα ἔχεται γεωργίας. γεωργίας μὲν δὴ καὶ σφόδρα ἦν ἐπαινέτης τε καὶ ἐραστὴς, καὶ τῷ φιλοσόφῳ ῥᾳστώνην ἐπὶ τοῖς πόνοις μόνην πρέπουσαν ἀπέφηνε τὴν γεωργίαν, καὶ μάλιστα γηρῶντι ἤδη καὶ ἐκλυομένῳ ὑπὸ χρόνου τῷ σώματι γυμνασίαν τε ἱκανὴν εἶναι, καὶ γέμουσαν σωφρο-

σταφύλης ἡδονήν. καὶ πολλάκις αὖ φοιτήσας παρὰ τὸν πρεσβύτην, κατέλαβες ἢ φυτεύοντα, ἢ περικαθαίροντα, ἢ μεταφέροντα, ἢ ὕδωρ διεξάγοντα ἐπὶ τοὺς ὀχετούς, ὥστε ἐπαρδεύειν τὰ φυόμενα· καὶ ὤρεξεν αὖ τί σοι τῶν ὡραίων, καὶ περιαγαγὼν τοὺς ὄρχατους, ἐπέδειξεν αὖ τῶν βοτρύων ὑπερφυὲς τὸ κάλλος καὶ τὸ μέγεθος, καὶ ἀνήγαγεν εἰς τὰς μητροπόλεις, ὥσπερ οἱ γενεαλόγοι, τῶν σταφυλῶν εἰς τὰς ἀποικίας. ἦν δὲ καὶ ἀγρὸς αὐτῷ, ὃν αὐτὸς ἐποιήσατο, πηγάς τε ὕδατος ἐξελκύσας, οὔπω πρότερον φαινομένας, καὶ τὰ πολλὰ ἐπιμεληθείς, ὥστε καλὸν εἶναι καὶ πρέπουσαν φιλοσόφῳ καταγωγήν. ἔστι ὁ ἀγρὸς καὶ πάνυ οὐδὲ Ἑλληνικὸν τοὔνομα. ὁ μὲν οὖν Ὀδυσσεὺς πρὸς τὸν ἑαυτοῦ πατέρα φησὶ τὰ μὲν φυτὰ αὐτῷ καὶ σφόδρα ἰσχνῶς τεθεραπεῦσθαι, αὐτὸν δὲ οὐκ ἔχειν ἀγαθὴν κομιδήν, ὅτι ῥάκια ἠμφίεσο, καὶ φαῦλα ὑπερέρραπτο ὑποδήματα. ἐγὼ δὲ ἐπίσταμαι τὸν ἐμὸν πατέρα ὅτι αὐτὸς περὶ τῶν φυτῶν ἐκαλλιουργεῖτο καὶ εὖ ἤσκητο, οὐκ ἐπειδὴ χιτῶνα ἠμφίεσο λεπτὸν καὶ εὐήτριον, ἀλλ' ὅτι μὴ τὴν ψυχὴν ἀκόσμητον εἶχε, μηδὲ ἔμπλεων ἀγροικίας. οὐ γὰρ αἱ ἄμπελοι μὲν αὐτῷ καὶ ὁ κῆπος ἥμεροί τε καὶ ἔγκαρποι ἦσαν, τυφλὴ δὲ ἡ διάνοια καὶ ἀγρία. ἀλλ' οὐδὲ τὴν Ἀλκινόου ὀπώραν ἐπιβλαστάνουσαν συνεχῶς, οὐδὲ τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων εἴκασας αὖ μικρῷ ἐκείνου ῥήματι καὶ νοήματι. καὶ γὰρ δὴ οὐ καλλονῆς ἐφρόντιζεν ἐν τῷ λόγῳ μόνης, ἀλλ' ὥσπερ ἔφασκεν ἐν τῇ περὶ τὴν γῆν ἐργασίᾳ τοὺς τὰ ἄλση μόνα φυτευομένους πλατάνων ἀμφιλαφῶν ἢ κυπαρίττων, πυρῶν δὲ καὶ ἀμπέλων ἐξαπορουμένους, πλέον στοχάζεσθαι τέρψεως ἢ τροφῆς· οὕτω δὲ καὶ ἐν τοῖς λόγοις τοὺς ἡδονὴν μόνην θηρεύοντας, καὶ ὅπως κηλήσουσι τοὺς ἀκροωμένους, ἐξ ὧν δὲ τρέφεται ψυχὴ καὶ ἀμείνων γίνεται ἑαυτῆς, οὔτε εἰδότας λέγειν, οὔτε πειρωμένους. τούτους δὲ οὐκέτι εἶναι φιλοσόφους, ὥσπερ οὐδὲ ἐκείνους γεωργούς, ἀλλὰ κόλακάς τε καὶ θῶπας καὶ ὀψοποιούς, καὶ ἀντὶ ἰατρῶν καὶ γυμναστῶν κομμωτάς. καὶ μὴν ὅσοι τοὺς μὲν λόγους αὐτοῖς συνείρουσιν

voluptatē eſſę dictitabat. Ac ſępe vbi ſenem adiſſes, aut ſerentē arbores deprehenderes, aut repurgantē, aut aliò transferentem, aut aquam rigandis plantulis in liras & ſulcos deriuantē: Quin etiam aliquid ex maturis fructibus protuliſſet, aut circū vitium ordines deducens, cum pulchritudine tū magnitudine viſendā vuarū copiam oſtendiſſet, nec nō perinde, vt Genealogi ſolēt, vuarum colonias, tanquā ad matrices Ciuitates reducebat. Erat illi ager, quē propria manu inſtituerat, corriuatis aquarū ſcatebris, quas nemo hactenus viderat, ac pleriſque aliis pręcipua cura inſtructis, vti Philoſopho nō indigna eſſet habitatio. Hic ager neque prorſus Græcā appellationē habuit. Ac Vlyſſes quidē Patri ſuo dicebat Plātas ab eo ſtudioſe admodū excultas eſſe, ipſum autē nō bono vti corporis cultu, quod ſuffarcinatus eſſet, & detrita atque aſſuta calceamenta geſtaret. Ego verò Parentē meū probè ſcio plantis ſuis elegātius inſtructum, & ornatū fuiſſe, non quod multitiam tunicam, eleganterque contextā indueret, ſed quod animam incōptam atque obſoletā non haberet. Non.n. ipſi vites quidē, ac horti mites, ac fructuoſi erant; animus autē cæcus & agreſtis. Verum neq; Alcinoi pomaria perpetua quadā ſucceſſione germinantia, neq; aurea Heſperidū mala vel cum exiguo illius verbo, ac monito conferres. Neque.n. ſolā in dicendo venuſtatem conſectabatur. Sed quēadmodum dicebat, eos qui in agricultura nihil pręter vmbroſarum platanorū, aut cupreſſorum nemora conſerunt, frumēto porro, ac vineis indigēt, voluptati magis quàm alimento ſtudere; Ita planè qui vnā in dicendo voluptatem perſequuntur, idque vnum quærunt, ſuos vt auditores demulceant, ea verò, quib. alitur animus, ac ſeipſo melior efficitur, eloqui neque norunt, neque conantur, illos verò negabat eſſe Philoſophos; vti neq; Agricolas alios, ſed adulatores nimirum, & aſſentatores, & conditores, ac pro medicis, aut exercitationis magiſtris, mangones duntaxat, atq; ornatores appellabat. Cæterū quicumq; præcepta quidē ſapientiæ oratione continuare,

ac memoriter quamlibet egregiè proferre poſſent, actiones verò ipſas, de quibus orationes inſtituuntur, negligerent, tales qui eſſent, eiuſmodi cuipiam ſimiles eſſe demonſtrabat: Velut ſi quis corporis ſanitatem deſiderans, medicamenta, & herbas colligat, quęcumque tritæ, atque inuicem permixtæ corporis incommoda propulſare poſſent: ad hęc ferramenta quoque medica magno cum ſtudio conficiat; poſſit item ea omnia commemorare, quę aut Hippocrates Cous, aut Eraſiſtratus, aut Diocles de ſanitate monimentis ſuis præcipiunt. Vbi verò corpus in ægritudinem aliquam inciderit, omnique illo apparatu vtendum fuerit: tum ille medicamenta iſta, ferramentáque, ac Hippocratem valere iubeat, & in lectulo tapetibus ac purpura conſtrato recumbens, ac Siculam ſibi menſam apponens, puella aliqua Corinthia, aut Ionico puero miniſtrante, largiore ſe potu ac cibis expleat. Neque enim illi quicquam hanc medicamentorum comparationem conducere: neque quiſquis ipſas Philoſophorum diſputationes animo complexus, probéque meditatus, eas actione comprobare noluerit, magis ad eum Philoſophiam attinere, quàm ad ſuperiorem illum, Medicinam. Similiter & Athletam illum ridiculum eſſe, qui Alteras ſuos oſtentans, & Gymnaſia numerans, molles nihilominus & ignauos humeros circumferret, & ceruicem præ luxu ac delitiis frangeret, poſtea in ſtadium ad certamen prodire nec poſſet, nec vellet, ſed in balneis, & puerilis palæſtræ certamine reſidens lauantibus luctas recenſeret. Eodem planè modo, & in Philoſophia non eſſe verborum oſtentationem faciendam, nec inde diſcernendum qui multum ſit in ſapientia progreſſus; Velut quod ſcienter bona diuidat, quod virtutem cęterorum omnium bonorum ſummum eſſe dicat, longéque aliis omnibus antecellere, cùm iis quæ corporis propria dicuntur, tum iis quibus extrinſecus fortuna dominatur; ſed ſi ita quoque ſentiat, itáque in propoſito ac voluntate habeat, & honeſtam actionem ei ſemper

καὶ ἀποστοματίζοιεν ἱκανῶς τοὺς ὑπὸ σοφίας παραγγελλομένους, τῶν δὲ ἔργων ἀμελοῖεν ὑπὲρ ὧν οἱ λόγοι· τούτους δὲ αὐτοὺς ὧδέ τινι ἐοικέναι ἐπεδείκνυεν, οἷον εἴ τις ὑγιαίνειν τὸ σῶμα αὐτοῦ ἐπιθυμῶν, φάρμακα μὲν συνάγοι, καὶ βοτάνας ὁπόσαι ἱκαναὶ πειθόμεναι καὶ μιγνύμεναι ἀλλήλαις βοηθεῖν τῇ τοῦ σώματος πονηρίᾳ, καὶ σιδήρια δὲ ἰατρικὰ φιλοτίμως κατασκευάζοιτο, ἔχοι δὲ λέγειν καὶ ὅσα Ιπποκράτης ὁ Κῷος καὶ ὅσα Ερασίστρατος καὶ ὅσα Διοκλῆς ἐν τοῖς συγγράμμασι παραγγέλλουσιν ὑπὲρ ὑγείας· ὁπότε δὲ αὐτοῦ τὸ σῶμα εἰς ἀρρωστίαν ὑπενεχθείη, καὶ πάσης ἐκείνης ἀπολαύειν δέοι τῆς παρασκευῆς, ὁ δὲ τὰ φάρμακα μὲν καὶ τὰ σιδήρια εἴασε, καὶ τὸν Ιπποκράτην, κατακλινεὶς δὲ ἐπὶ στιβάδος ἐστρωμένης τάπησι καὶ πορφύρᾳ, καὶ τράπεζαν παραθέμενος Σικελικήν, πίνει τε ἄδδην καὶ ὀρχεῖται, κόρης αὐτοῦ τινος Κορινθίας ἢ παιδὸς Ιωνικοῦ διακονουμένων. οὔτε γὰρ τούτῳ πλέον τι εἶναι τῆς κτήσεως ἕνεκεν τῶν φαρμάκων, οὔτε ὅστις τοὺς λόγους αὐτοὺς τῶν φιλοσόφων ἀναλαβὼν, καὶ ἱκανῶς ἐκμελετήσας, μὴ θέλοι ἔργῳ αὐτοὺς ἐκβεβαιοῦσθαι, οὐδὲ τούτῳ πλέον τι φιλοσοφίας μετεῖναι ἢ τῷ πρόσθεν ἐκείνῳ ἰατρικῆς. καὶ ἀθλητὴν δὲ ὁμοίως καταγέλαστον εἶναι, ὅστις ἐπιδεικνύμενος τοὺς ἀλτῆρας τε, καὶ ἐξαριθμούμενος τὰ γυμνάσια, τοὺς ὤμους τε αὐτοὺς περιφέροι μαλθακούς τε καὶ ἀγεννεῖς, καὶ τὸν αὐχένα λυγίζοιτο ὑπὸ τρυφῆς τε καὶ ἀκρασίας· κᾆτα εἰς τὸ στάδιον μὲν παριέναι ἀγωνιούμενος οὔτε δύναιτο οὔτε ἐθέλοι, καθήμενος δὲ ἐν βαλανείῳ καὶ ἐν ἀγωνίᾳ παιδικῆς παλαίστρας, πρὸς τοὺς λουομένους καταλέγοι τὰ παλαίσματα. τοῦτον οὖν τὸν τρόπον καὶ ἐπὶ φιλοσοφίας οὐχὶ λόγων χρεὼν ἐπίδειξιν ποιεῖσθαι, οὐδὲ ἐντεῦθεν ποθὲν τεκμαίρεσθαι ὅστις πόρρω ἥκει σοφίας, οἷον εἰ μετ' ἐπιστήμης διαιροῖτο τἀγαθά· καὶ φάσκοι τὴν ἀρετὴν μέγιστον εἶναι τῶν λοιπῶν, καὶ ὑπερφέρειν μακρῷ τὰ ἄλλα, τά τε τοῦ σώματος λεγόμενα, καὶ ὅσων ἔξωθεν τύχη βασιλεύει· ἀλλ' εἰ φρονοίη τὸν τρόπον τοῦτον, καὶ προαιροῖτο, καὶ τὴν ἀγαθὴν πρᾶξιν

ἀεὶ ἐπίπροσθεν ἄγοι τῆς χρήματα ἢ δόξαν φερούσης. ἄλλως δ᾽ ἔχοντα, τῇ μὲν γλώττῃ φιλοσοφήσειν, τῇ καρδίᾳ δὲ οὐδαμῶς. τούτων δὲ ἁπάντων παραδείγματα ἀπέφαινε Σωκράτην τὸν Ἀθηναῖον, ὃς οὔτε οἴκοι ὑπὸ Ξανθίππης λοιδορούμενος, οὔτε ὑπὸ Κριτίου, καὶ τῶν τριάκοντα τυράννων ἀπειλούντων, εἰ μὴ μεταβήσεται καὶ θεραπεύσοι τὴν καθεστῶσαν πολιτείαν, ἀποκτενεῖν τε καὶ ἐξελαύνειν, καὶ αἴκιστα ἐργάσεσθαι, ὅμως οὐκ ἔδεισέ ποτε, οὐδὲ ἐξεπλάγη, οὐδὲ κίνδυνον ἄλλον ἐνόμισεν οὕτω δεινόν τε καὶ φοβερὸν ὡς τὸ κακὸν ἀντ᾽ ἀγαθοῦ γενέσθαι, καὶ δυσσεβῆ ἀντ᾽ εὐσεβοῦς. διὰ τοῦτο οὔτε Λέοντα ἤγαγε τὸν Σαλαμίνιον, οὔτε ἐπιψηφίσαι κατεβιάσθη κατὰ τῶν ἀμφὶ Περικλέα καὶ Ἐρασινίδην καὶ Διομέδοντα στρατηγῶν. καίτοι οὕτω γε ὁ δῆμος αὐτὸς ἐπεκελεύετο, βοῶντες ἄνωθεν ἐκ τῆς ἐκκλησίας. ἀλλ᾽ οὐδ᾽ ὅτε κατεδίκασαν αὐτοῦ Ἀθηναῖοι, οὐδ᾽ ὅτε ἐν τῷ ξύλῳ ἦν, οὐδὲν ἀγεννὲς ἢ ταπεινὸν ἔπραξεν ἢ εἶπε πρὸς τοὺς ἑταίρους τοὺς εἰς τὸ δεσμωτήριον συνιόντας· ἀλλὰ περὶ ψυχῆς ἐφιλοσόφει, καὶ περὶ τῶν ἐν ᾅδου ἐξηγεῖτο, ὁπόσα μὲν ἀγαθὰ ἐκεῖ περιμένει, ὁπόσα δὲ κακίαν τιμωρήματα καὶ κολαστήρια. τοιγαροῦν οὐκ εἰς μακρὰν Ἀθηναῖοι μετέγνωσαν ἀμφὶ Σωκράτους, καὶ δίκην ἔπραξαν τὸν Μέλιτον τῆς δίκης ἐκείνης, καὶ ἔφυγεν Ἄνυτος ἐκ τοῦ ἄστεος, καὶ αὐτὸν κατέλευσαν διὰ Σωκράτην οἱ Ἡρακλεῶται οἱ ἐν τῷ Πόντῳ, καὶ νῦν δείκνυται ἔτι τοῦ αὐτόθι σῆμα ἐν τῷ προαστείῳ, οὐ μακρὰν θαλάττης, οὗ περιέβαλον τὸν Ἄνυτον οἱ Ἡρακλεῶται. τοιαῦτα δὲ ἀπέφαινε καὶ τὰ ἑαυτοῦ καὶ ἄντικρυς παραπλήσια τοῖς Σωκρατικοῖς, καὶ ταῦτα πάντα ὑπομένειν τε καὶ ἀνέχεσθαι ῥᾳδίως, ὅτι δεῖ φιλοσοφίαν οὐ λόγῳ ἀλλ᾽ ἔργῳ ἐλέσθαι. δίκαια μὲν δὴ καὶ οἱ πάλαι ἔπραξαν ἄνθρωποι ἐφ᾽ Ἡρακλεῖ τῷ Διὸς καὶ Ἀλκμήνης, ἀποθεώσαντές τε αὐτόν, καὶ ἱερὰ ἰδίᾳ κατασκευάσαντες,

ei ſemper anteponat, quæ pecunias, aut gloriam atq; honorem conciliet: qui aliter ſeſe haberet, eum putabat lingua tenus Philoſophaturum, corde verò nihil minus quã hoc eſſe facturum. Horum omnium exempla proponebat, Socratem imprimis Athenienſem, qui neque domi à Xanthippa conuitiis exercitus, nec à Critia, & triginta Tyrannis, niſi ſentẽtiam mutaret, & pręſenti ſeſe reipubl. ſtatui accommodaret, mortem, atque exilium, & extrema omnia minitantibus, pertimuit tamen vnquam, aut perterritus eſt, nec vllum aliud periculum exiſtimauit tam acerbum, & formidoloſum, quàm malum ex bono, impium ex pio, & ſceleratum fieri. Ob id neque Leontem Salaminium duxit, neque vlla vi vnquam adigi potuit, vt Periclem, & Eraſinidem, & Diomedontem, alióſque Imperatores ſua ſententia condemnaret; quamquam adeo populus illum è ſuperiore loco in concione vociferans hortaretur. Sed ne tunc quidem, cum ab Athenienſibus damnatus eſt, nec cum in neruo detineretur, quicquam infracti atque abiecti animi fecit, aut dixit, apud eos ſocios qui in carcerem conuenerant. Verum de animo philoſophabatur, déque iis quę apud inferos ſunt, diſputabat; quanta videlicet illic bona (virtuti) præſtolarentur; quanti vitiis cruciatus, atque ſupplicia. Quamobrem non multo poſt Athenienſes eorum quæ in Socratem commiſerant, pœnituit: & à Melito pœnæ accuſationis ipſius repetitæ, & ex vrbe Anytus ceſſit, & poſtremo eundem propter Socratem Heracleotæ qui in Ponto habitant, lapidibus obruerunt, hodiéque Anyti ſepulchrum in ſuburbano illic oſtenditur, non longe à mari, vbi ab Heracleotis Anytus eſt ſepulchro conditus. Talem ſeſe actionéſque ſuas omnes Pater meus comparabat, vt Socraticarum germanæ prorſus eſſent, ac ſimiles, eáque omnia ſuſtinere ac pati non difficulter inſiſtebat, quod Philoſophiam non verbis profiteri, ſed factis oporteat. Non iniuria id quidem ab antiquis hominib. in Hercule Iouis & Alcmenæ filio factum eſt, vt & illum in Deorũ numerum referrẽt, & priuata ei tẽpla ędificarent,

& ſacra inſtituerent,non modo quæ Herois,ſed quæ Dæmonis inſuper,imo quæ Dei in honorem celebrari meritò poſſent;propterea quod Hercules virtutis in ſe exemplum expreſſerit,& vniuerſam terram obiens, eam à crudeliſſimis tyrannis, & immanibus belluis, repurgauerit. Ego verò ita exiſtimo,vitium & apris omnibus eſſe vehementius, & leonibus violẽtius,& multiformi cane audacius,& pluribus,quàm Hydra,capitibus prędirum.Quare æquum iis eſſe,qui hoc monſtrum expugnarint,& imbecillitatem illius oſtenderint,publicè templa erigi, & Sacerdotes conſtitui. Conſentaneum enim eſt eos quoque diuinam aliquam ſortem eſſe conſecutos, poſteaquam corpore exſoluti ſunt,fauſtos,auerruncos, hominum cuſtodiam habentes.Sic mihi ſanè Dij videntur,cum rurſus demonſtrare, atque in memoriam reducere hominibus vellent, quodnam ad faſtigium humani animi virtus peruenire poſſet,vti Herculem quōdam, & deinceps Socratem,ſic tete modo,ô Pater,longo poſtmodum interuallo produxiſſe,& in terram procreaſſe. Verum tu quidē beatus ac felix ad beatos ac felices,à quibus miſſus fueras, redijſti. Nos vero mediis in fluctibus, atque Ates in prato dereliquiſti;nec alium habemus, qui ſurſum aſpirantibus nobis, atque emergere tandem è luto ac cœno cupientibus,dextram porrigat. Quare de cætero tua nobis erunt veſtigia conſectāda,ſi forte noſtra illis imponere aliquando poſſimus. Quanquam ſæpenumero,velvt Aquilæ pullos ſuos, ita tentare me ſolebas, ecquid oculis veritatis ſplendorem ferre ac ſuſtinere poſſem. Nec raro optima ſpe cumulatum remittebas,atque ob id exultabas,& gaudio perfundebaris, quòd fixo, ac conſtanti ſolis contuitu verum tibi ac ſincerum genus comprobarem. Non igitur oculos tum quidem diducere oportuit,nunc verò conniuendum eſt, ſed de ſtudio illo in me parentis, ac ſentẽtia, contendendum eſt,vt non patris dumtaxat, ſed & à Philoſopho profecta videatur eſſe.Sed ades ipſe filio,eique è cœleſti ſede opitulare, atque huic (ô beatiſſime) ſupplicanti vires ac robur ad hoc certamen inſtilla.

καὶ θυσίας θύοντες οὐ μόνον ὅσας ἥρωϊ θύειν καλὸν ἦν, ἀλλὰ ὅσας δαίμονι ἤδη, ἀλλὰ καὶ ὅσας θεῷ· ὅτι Ἡρακλῆς παράδειγμα ἐγένετο ἀρετῆς, καὶ τὴν γῆν ἅπασαν ἐπιφοιτήσας, τυράννων τε ὠμότητα καὶ θηρίων ἐκάθηρεν ἀλλοκότων. δοκῶ δέ ὡς σφοδρότερον μὲν κάπρων κακία, βιαιότερον δὲ λεόντων, ἰταμώτερον δὲ πολυμόρφου κυνός, πολυκεφαλώτερον δὲ ὕδρας· ἄξιον δέ ἐστι καὶ τοῖς τοῦτο τὸ θηρίον καταμαχεσαμένοις τε καὶ ἀσθενὲς ἀποδείξασι, τεμένη τε ἱδρύεσθαι δημοσίᾳ, καὶ ἱερέας καθίστασθαι. εἰσὶ γὰρ δὴ καὶ τούτους οὐκ ἀπεικὸς ἔν τινι θείᾳ μοίρᾳ, τοῦ σώματος ἀπαλλαγέντας, ἐσθλούς, ἀλεξικάκους, φύλακας μερόπων ἀνθρώπων. καί μοι δοκοῦσιν οἱ θεοί, βουληθέντες αὖθις ἐνδείξασθαι καὶ ὑπομνῆσαι τοὺς ἀνθρώπους ἐς ὅσον ἀφικνεῖται ἀρετὴ ψυχῆς ἀνθρωπίνης, ὥσπερ τὸ παλαιὸν Ἡρακλέα, καὶ αὖθις Σωκράτη, οὕτω νῦν σε, ὦ πάτερ, διὰ μακροῦ χρόνου παραγαγεῖν καὶ φῦναι ἐπὶ γῆν. ἀλλὰ σὺ μὲν ὄλβιός τε καὶ εὐδαίμων πρὸς ὀλβίους τε ἀνέδραμες καὶ εὐδαίμονας τοὺς καταπέμψαντας· ἡμᾶς δὲ ἀπέλιπες ἐν τῷ κλύδωνι καὶ τῷ χειμῶνι τῆς ἄτης, οὐδὲ ἔχομεν ὅστις χεῖρα ἄλλος ὀρέξει ἀνακύπτειν τε πειρωμένοις καὶ ἐξαναδῦναι ποτὲ τῆς ἰλύος καὶ τοῦ βορβόρου. δεῖ δὴ λοιπὸν τὰ ἴχνη τὰ σὰ διώκειν, εἰ δὴ ἐκείνοις ποτὲ ἐμβιβάσαι καὶ τὰ ἡμέτερα δυνηθείημεν. καίτοι συχνά γέ μου ἀπεπειρῶ, καθάπερ οἱ ἀετοὶ τῶν νεοττῶν, εἰ δύναταί μοι στέγειν τὰ ὄμματα καὶ ἀνέχεσθαι τὴν αὐγὴν τῆς ἀληθείας· καὶ πολλάκις ἀπέπεμπες ἐλπίδος γεμίσας ἀγαθῆς· καὶ ἐγαύνυσο καὶ ἐγεγήθεις ὅτι σοι γνησίους ἤλεγχον τὰς γονάς, πρὸς τὸν ἥλιον ἀσκαρδαμύττων. οὐ δὴ οὖν τότε μὲν ἐχρῆν ἀνοίγειν τὼ ὀφθαλμώ, νῦν δὲ καταμύειν· ἀλλὰ καὶ ὑπὲρ τῆς σπουδῆς ἢ ψήφου ἀγωνιστέον, ὡς μὴ παντάπασι πατρὸς φαίνοιτο, ἀλλὰ φιλοσόφου. ἐπαμύνοις δὲ αὐτὸς ἄνωθεν τῷ παιδί, καὶ ἐνστάξαις ὦ μάκαρ προσευχομένῳ ἀλκήν τε καὶ ἀνδρίαν εἰς τὸν ἀγῶνα.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ φιλίας.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

ΤΙ δή ποτε, ὦ μακάριοι, ἂν μέν τις ὑμῖν διηγῆται περὶ τῶν Τρώων καὶ Ἀχαιῶν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἢ περὶ τῆς Ξέρξου στρατείας, ἣν ἤλασεν ὑπὲρ Ἑλλησπόντου κατὰ τῆς Ἑλλάδος, ἢ περὶ τῆς Ἑλλάδος αὐτῆς, ὁπόσα ἀνέτλη πρὸς ἑαυτὴν στασιάζουσα, ἐκ τούτων μὲν ἥδεσθε τῶν λόγων καὶ κατέχεσθε κηλούμενοι, καὶ τοὺς υἱεῖς ἀξιοῦτε μανθάνειν, ἀρξαμένους ἀπὸ τῆς μήνιδος τῆς Ἀχιλλέως, ὡς ταύτην οὖσαν ἱκανὴν παιδεύειν, καὶ διὰ τοῦτο σοφωτέρους ἐσομένους, ἐὰν ἐπίστανται πολέων τε καὶ ἰδιωτῶν πολέμους τε καὶ ἔχθρας καὶ τὰς ἀπ' αὐτῶν συμφοράς· τῶν δὲ ὑπὲρ φιλίας λόγων καὶ ὁπόσα ἀνθρώποις ὀνίνησιν, οὐδὲν πώποτε ἐφροντίσατε, οὔτε αὐτοὶ βουλόμενοι μαθεῖν, οὔτε τοῖς παισὶν ὑμῶν παρακελευόμενοι; καίτοι ἔριν μὲν ἀπολέσθαι ἐκ τῶν ἀνθρώπων αὐτὸς εὔχεται ὁ τῆς ἔριδος ποιητής· ἄνευ δὲ φιλίας οὐδεὶς ἂν ἕλοιτο ζῆν, ἔχων τὰ λοιπὰ ἀγαθά. ὅστις μὲν οὖν δὴ ὀλίγου ἄξιον τὸ πρᾶγμα νομίζει, ἴστω σφόδρα ὀλίγου ἄξιος ὤν· ὅτῳ δὲ εὐπετὲς εἶναι δοκεῖ, τοῦ Θεόγνιδος ἀκουσάτω, Παύρους εὑρήσεις Πολυπαίδη ἄνδρας ἑταίρους, Πιστοὺς ἐν χαλεποῖς πράγμασι γινομένους. τί οὖν ἐστιν ὃ ῥαθυμεῖτε περὶ τὸν λόγον; ἢ ὑμεῖς μὲν οὐ ῥαθυμεῖτε, (φιλήκοοι γάρ ἐστε, καὶ πάνυ ἀκούετε προθύμως ὅ,τι ἄν τις λέγῃ) λέγουσι δὲ οὐ ταῦτα οἱ λέγοντες· ἀλλ' οἱ μὲν ἐπαινοῦσιν ὑμᾶς συνάγοντες, οἱ δὲ ἐμμελετῶσι τὴν δεινότητα, οἱ δὲ ᾄδουσι καὶ προσᾴδουσι, γλυκεῖάν τε καὶ μαλακὴν καταχέοντες ὑμῶν ἁρμονίαν,

DE AMICITIA.

ORATIO III.

QVID cauſæ tandem eſſe putem (Auditores optimi) cur ſi quis apud vos de Troianis ac Græcis diſputet, déque eorum inter ſe bello, aut de Xerxis vltra Helleſpontum aduerſus Græcos expeditione ſuſcepta, aut ipſamet denique Græcia ſermonem inſtituat; exponat quæ & quanta ſit ex inteſtinis diſcordiis perpeſſa: eiuſmodi vos orationes oblectent, ac delinitos teneant, eáque initio ab Achillis ira facto, à liberis veſtris addiſci velitis? quaſi ira demum illa ad eos informandos idonea ſit, aut propterea ſapientiores futuri ſint, quod Ciuitatum inter ſe, ac Priuatorum hominum bella, atque inimicitias, ſubſecutáſque indidem clades, ac calamitates nouerint: de amicitia verò, déque eius in humanum genus emolumentis ac commodis nihil vnquam intelligere ſtudueritis, ac neque diſcere ipſi, nec liberos veſtros ad diſcendum incitare volueritis? Atqui lites perire ex hominū genere funditus optat ipſe litium artifex Poëta: ſine amicitia verò nullus eſt qui vitam eligat, tametſi reliquis omnibus commodis abundet. Quare qui rem iſtam vilem, ac parui faciendam putat, vilem ſeſe eſſe, ac parui faciendum intelligat. Qui verò facilem ac procliuem arbitratur, Theognidem audiat:

Paucos inuenies, Polypade hoc tempore amicos,
Rebus in aduerſis qui coluère fidem.

Ecquid igitur circa id orationis genus pigri eſtis, ac deſides? Niſi forte potius vos minimè quidem ad eas orationes pigramini (audiendi enim cupidi eſtis, omnéque illud perlibēter auditis, quod à quopiam dicatur) ſed nihil minus quàm eiuſmodi argumenta ab Oratoribus tractãtur. Verum alij quidem congregatos vos collaudant, ac prædicant, alij dicendi facultatem exercent, canunt alij, atq; accinunt, ſuauiq; vos ac molli concentione perfundunt.

Cæterum orationibus ijs, quibus vitã melius homines inſtituãt, non multũ mihi abundare videmini. nec veſtro ſanè vitio, ſed eorũ, qui ſe Philoſophos profitentur, qui ſibi ſatis eſſe iſtud exiſtimant, ſi in angulo ſolum apud Adoleſcentes inſuſurrent: mediam interea Ciuitatẽ, iuxta illam Calliclis exprobrationẽ, forúmque ſubterfugiant, in quo illuſtres eſſe homines Poëta dixit. Quamobrem illos ibi, vbi manere volunt, ſanè relinquamus, nobis autẽ producendæ in lucem eiuſmodi ſunt orationes, itaque cõſuefaciendæ, vt & multitudinẽ tolerare poſſint, & tumultũ, ac ſtrepitum, & conſidentis populi clamorẽ vocémque perferre. Planè .n. ſi bene mereri de ſingulis poſſunt, de pluribus vnà etiam poterunt. Siquidem ciborũ fortaſſe ſimiles nõ ſunt, qui cũ vni vel alteri ſufficere poſſint, plurium tamen conuiuarũ famem explere nequeãt: ſed radiorum potius magni illius Dei, qui infinitos oculos nihilo ſecius quã duos ſuo ſplendore colluſtrãt. Sed eò vnde progreſſi aberrauimus, conuertenda eſt oratio. Eſt itaq; equorũ ſtudioſo expetenda imprimis illius artis cognitio, qua bonos equos à deteriorib. poſſit dignoſcere. Nec minus auri cupido vtile eſt lapidem eum cõparare, quo probari aurum poteſt. Quin etiam meliores ille boues emet, qui Boum virtutem bonitatémque perſpexerit: idémque in nauigio nauigandi peritus, & in canibus venator efficiet. Ego vero cæteris quidem in rebus rudis ſum, atque imperitus, nec eas, aut multum cupiam, aut ſciã ipſe diſcernere: ſed vnius cumprimis poſſeſſionis amore teneor, veræ nimirum ac ſynceræ Amicitiæ; quam quidem multo mihi magis contingere velim, quàm aut Niſæum equum, aut Celticum canem, aut Darij regis aurum, aut Cretenſem taurum, aut Achillis denique clypeum, quem Homerus vniuerſum cœlum continere finxit, ſolémque, ac lunam, & è regione ſolis, mare, atque terram, arantéſque inſuper, & vxores ducentes, litigantes, ac bellum inter ſe gerentes. Verum adeo erat illa amicitia vilior poſſeſſio, vt in Achille nihilo magis cõceptus ille de Patrocli nece mœror conquieſceret, cùm ad eum mater clypeum attulit.

Quinetiam

λόγοις δὲ δι' οὓς ἂν ἄνθρωποι ἄμεινον ζῷσιν, οὐ σφόδρα εὐπορεῖν μοι δοκεῖτε, οὐχ ὑμετέρᾳ κάκῃ, τῶν δὲ λεγομένων φιλοσόφων, οἳ σφίσιν ἀποχρῆν ὑπειλήφασιν ἐν γωνίᾳ μόνῃ πρὸς τὰ μειράκια ψιθυρίζειν, φεύγειν δὲ τὰ μέσα τῆς πόλεως, κατὰ τὸν Καλλικλέους ὀνειδισμὸν, καὶ τὰς ἀγορὰς, ἐν αἷς φησιν ὁ ποιητὴς ἀριπρεπέας τελέθειν τοὺς ἄνδρας. τούτοις μὲν οὖν ἐατέον ἐνταυθοῖ μένειν οὗπερ μένειν ἐθέλουσι· ἡμῖν δὲ προσακτέον εἰς τὸ φῶς τοὺς λόγους, καὶ συνεθιστέον αὐτοὺς ὄχλον τε ἀνέχεσθαι, καὶ θόρυβον ὑπομένειν καὶ δήμου φωνὴν συγκαθημένου. πάντως εἰ καθ' ἕνα εὖ ποιεῖν ἱκανοὶ, καὶ πολλοὺς ἅμα δυνήσονται. οὐ γὰρ τοῖς σιτίοις ἴσως ἐοίκασιν, ὅσα ἑνὶ μὲν καὶ δυοῖν αὐτάρκη, πλείοσι δὲ οὐκέτ' ἂν χορέσειαν δαιτυμόνας· ἀλλὰ ταῖς ἀκτῖσι μᾶλλον τοῦ μεγάλου θεοῦ, αἳ τοῖν δυοῖν ὀφθαλμοῖν τοὺς μυρίους οὐχ ἧττον καταλάμπουσιν. ἀλλ' ἐπιστρεπτέον τὸν λόγον οὗ παράγοντες αὐτὸν, ἀπεπλανήθημεν. καλὸν μὲν δὴ καὶ Φιλίππῳ τέχνην γινώσκειν ᾗ διαγνώσεται τοὺς καλοὺς ἵππους τῶν φαυλοτέρων, καλὸν δὲ καὶ φιλοχρύσῳ τὴν λίθον πεπᾶσθαι ᾗ βασανίζουσι τὸν χρυσόν· κτήσαιτο δ' ἂν καὶ βοῦς ἀμείνους ὁ βοῶν ἀρετὴν ἐπεσκεμμένος, καὶ πλοῖον ὁ ναυτικὸς, καὶ κύνας ὁ κυνηγέτης. ἐγὼ δὲ τὰ μὲν ἄλλα εἰμὶ φαῦλος καὶ ἄτεχνος, καὶ οὔτε ἀγαπῶ σφόδρα οὔτε ἐπίσταμαι κρίνειν· ἑνὸς δέ εἰμι κτήματος ἐραστὴς, φιλίας ἀληθινῆς καὶ ἀδόλου· καὶ τοῦτο ἂν ἑλοίμην ὑπάρξαι μοι μᾶλλον ἢ Νισαῖον ἵππον, καὶ κύνα Κελτὴν, καὶ τὸ Δαρείου χρυσίον, καὶ τὸν ἐν Κρήτῃ ταῦρον, καὶ τὴν Αχιλλέως ἀσπίδα, ἣν ἐποίησεν Ομηρος ἐν τῷ οὐρανῷ φέρουσαν ὅλον τὸν οὐρανὸν, ἥλιόν τε καὶ σελήνην, ἀντικρὺ δὲ ἡλίου θάλασσάν τε καὶ γῆν, καὶ γεωργοῦντας, καὶ γαμοῦντας, καὶ δικαζομένους, καὶ πολεμοῦντας. ἀλλ' οὕτως ἦν ἄρα φιλίας τὸ κτῆμα ἐκείνου φαυλότερον, ὡς ὅγε Αχιλλεὺς οὐδ' ὁτιοῦν ῥᾷον ἐλύετο τῆς ἐπὶ Πατρόκλῳ λύπης, ἡνίκα ἐκόμισεν ἡ μήτηρ αὐτῷ τὴν ἀσπίδα·

ἀλλὰ καὶ παρεθήκατο ἑτέραν ἀσπίδα τοιαύτην, ἵνα ὁ φίλος μὴ αἰτῷτο, καὶ πάλιν ἐκτήσατο τοιαύτην ἑτέραν, ἵνα ὁ φίλος μὴ ἀτιμότερος γένοιτο. ἅτε γοῦν ἐρωτικῶς ἔχων τοῦ κτήματος, συνελεξάμην ἐμαυτῷ πολλὰ ἄττα βασανιστήρια, καὶ μεταλλῶ εἴ τινα δὴ καταμάθοιμι συνεπιθυμοῦντά μοι τῶν αὐτῶν παιδικῶν. σὲ δὲ ὦ τοῦ χοροῦ τοῦδε κορυφαῖε, οὕτως ὁρῶ τὸν αὐτόν μοι πόθον σπουδάζοντα, ὥστε εἰ μὴ φιλία τὸ ποθούμενον, ἐζηλοτύπησα ἄν σε καθάπερ τοὺς ἀντερῶντας. νῦν δὲ γυναικὸς μὲν ὡραίας ἤδη τινὲς ἐπιθυμοῦντες, αἵματι τὸν ἔρωτα ἔκριναν· καὶ τιμῆς πέρι μαχόμενοι πρὸς ἀλλήλους οὐ παύονται οἱ φιλότιμοι. τὸν πολυάρατον πλοῦτον τί ἂν καὶ λέγοιμεν ὁποίων ἀγωνοθέτης πολέμων ἐστί; μόνοι δὲ οἱ φιλίας ἐρῶντες οὐ μάχονται ἀλλήλοις περὶ τοῦ κτήματος, ἀλλ' εὐθὺς ἐν ἀλλήλοις ἐξευρίσκουσι τὰ παιδικά. τὸ ἔργον εὐτυχὲς μὲν δὴ ὅτῳ καὶ ἰδιώτῃ ὑπῆρξε γενέσθαι ἐπηβόλῳ τοῦδε τοῦ κτήματος, εὐτυχέστερον δὲ ὅτῳ πολλαῖς μὲν πόλεις πολλὴν δὲ χώραν ἐπιτροπεύοντι. ὃν γὰρ πολλὰ μὲν ἀκούειν δεῖ, πολλὰ δὲ ὁρᾶν, πολλῶν δὲ ἅμα ἐπιμελεῖσθαι, τούτῳ σφόδρα ὀλίγα τὰ δύο ὦτα, καὶ τὼ δύο ὀφθαλμώ, καὶ τὸ σῶμα ἓν ὄν, καὶ μία ἐνοῦσα ἡ ψυχή· εἰ δὲ φιλίαν πλουτοίη, καὶ ὄψεται θαμὰ καὶ ἀκούσεται τὴν οὐ πλησίον, καὶ εἴσεται τὰ πόρρω, καθάπερ οἱ μάντεις, καὶ πλείοσιν ἅμα παρέσται, καθάπερ οἱ θεοί. πῶς οὖν δή τις τόγε τοιοῦτον ἀγαθὸν εὕροιτ' ἄν, καὶ εὑρὼν θηρεύσαι, καὶ θηρεύσας ἐγκρατὴς ἔσοιτο; ἆρα οὐχ ἡμᾶς δεῖ, καθάπερ τοὺς κυνηγέτας, πρῶτον ἁπάντων πεπαιδεῦσθαι τὰ ἴχνη τῆς ἄγρας, καὶ τὰ σύμβολα καὶ τὰ σημεῖα γινώσκειν ἀκριβῶς καὶ ἐπιλέγεσθαι, δι' ὧν καὶ αὐτοὶ μὴ λησόμεθα, καθάπερ, οἶμαι, οἱ τὰ θηρία ἰχνηλατοῦντες, κρημνὸν ἀντὶ χρηστῆς ἄγρας ἐπί τινα ἄτομον ἐξενεχθέντες; καὶ γὰρ δὴ καὶ ἐν τῇδε τῇ θηρείᾳ πολλὰ καὶ ποικίλα θηρία εὐδαίμονα φιλίαν μιμεῖται, μάλιστα δὲ τὸ πάντων ἐπιβουλότατόν τε καὶ ἀγριώτατον,

Quinetiã alterũ eiuſmodi clypeum dedit, ne amicus eius triſtaretur,& rursũ alterũ eiuſmodi cõparauit, ne amicus eſſet inhonoratior. Quamobrem ego, vt potè iſtius poſſeſſionis amator acerrimus, quã plurimas mihi probationes cõquiſiui, idq; diligenter inueſtigare ſoleo, ſi quẽ earumdem delitiarũ amore captum cõperiã. Te verò (ô cõuentus huius atq; chori princeps) ita video eodem mecũ deſiderio flagrantem, vt niſi id ipſum quod cõmuniter cupimus, amicitia foret, tibi, quod in riuales fieri ſolet, æmularer. Iam vero qui formoſam aliquã mulierẽ amarent, plerique amorem ſuum ſanguine diremerunt, de honoribus item perpetuas in ſe inuicẽ contentiones atq; pugnas ambitioſi ſuſcipiũt. De diuitiis verò adeo ab omnib. exoptatis quid attinet dicere, quę & quanta miſcere inter homines bella, atque excitare ſoleãt? Soli autem ij, qui amicitię amore tenentur, de poſſeſſione inuicem non pugnant, ſed ſubinde ſuas in ſeſe mutuo delitias atque amores inueniunt. Cúmque vel priuato homini, qui huius poſſeſſionis cõpos factus ſit, plurimũ ex eo lucro fœlicitatis acceſſerit, multo tamen plus ei acceſſerit, cui & multis ciuitatibus & ampliſſimæ regioni imperanti cõtigerit. Cui enim audienda multa ſunt, & vidẽda multa, multorúmq; ſimul capeſſenda cura eſt; huic paucæ admodum aures duæ fuerint, aut oculi duo, vnũq; corpus, & vnus animus. Sin amicitiæ ſibi opes quæſierit, videbit perſæpe, audiétque minimè etiã in propinquo poſita, & longinqua vatũ ac diuinorum inſtar cognoſcet, ac pluribus, quemadmodum Dij faciunt, ſimul intereſſe poterit. Quanam igitur ratione tantum boni quiſpiam inueſtigare, inueſtigatum captare, captatum obtinere tandem poſſit? Nonne perinde vt venatores, primum omnium nos oportet prædæ veſtigia didiciſſe, ſignáque atq; indicia accuratè noſſe, ac recognoſcere, per quæ minimè imprudentes, quod ferarũ indagatoribus nonnũquam accidit pro felici illa præda, ad pręruptũ aliquem locum ac præcipitem deferamur? Etenim in hac venatione multæ ac variæ feræ, beatam amicitiã ſimulãt, pręſertimque omnium inſidioſiſſima illa, ac ferociſſima,

quæ ab huius temporis hominibus ſimulatio appellatur. Tam callidè autem ac malitioſè imitatur, vt vel ad cubile ipſum perſæpe venias, veſtigiorum conſideratione deceptus: Neque vero ſatis eſt vt vnà cum illa gradiatur, ſed & vocem prorſus ſimilem, & ad illecebram comparatum ſermonis lenocinium exaudias. Sanè vnumquodq; eorũ, quæ in hominum vita ſunt, bonorum, periculo ſemper aliquo tectum, atque obuolutum videtur, nullũque eſt contrarij penitus expers, ac ſincerum: Nec abſurdè quidam Scenicus Poëta dixit, nullum in vita bonum eſſe quod

Radice ab vna, qualis arbor, prodeat:
Sed ſemper illi, quod malum eſt, adnaſcitur.

Atque hoc eſt quod multis perniciem atq; exitiũ affert, qui meliora à deterioribus ſeligere ac ſeparare facilè nequeunt. Igitur ego iuxta atque vos Homericã illã Mineruã precemur, vt ab oculis denſiſſimã caliginẽ remoueat, quò nullo negotio, non Deũ in prælio, ab homine, ſed veram ac ſinceram amicitiam à ficta ſimulatáque diſcernamus. Dicendum itaque quot & quanta indicia ſint eius, quem cõciliari, atque in amorem recipi oporteat: nam & cum Minerua manum mouere Mineruæ oratio præcipit. Imprimis itaque hic quem exploramus, in ſuorum charitatem propenſus eſto, & propinquorum amantiſſimus, naturáq; inſitos eiuſmodi ſtimulos habeat, qui conglutinationẽ animorum, ac conciliationem efficiant. Quod ſi me delirare quiſpiã in primo ſtatim diſputationis aditu dixerit, qui ante experimentũ iubeã ea cognoſcere, quę nõniſi experimẽto facto aperta eſſe poſsũt; velim is intelligat, nihil ad hoc diuinatione opus fore. Nemo enim noſtrum, vt poëtæ dicunt, *De quercu eſt antiqua, ſaxóque creatus.*

Sed vnicuiq; & Pater eſt, & mater, & frater, & fortaſſe cõſanguineus. Quare cũ id ſcire voles, quẽadmodũ ſeſe erga te amicũ geſturus ille ſit, vide imprimis, quomodo ſe erga patrẽ geſſerit, aut matrẽ, aut quemadmodũ erga fratrem ſeſe gerat, aut in vxorem ſit affectus. Nam ſi benignus ſit in omnes, ac beneuolus, ſperare etiam in te meliora cõuenit: ſin moroſus atq; infenſus ſit, lõgè abs te fugiendus eſt.

ὃ καλεῖται ὑπὸ τῶν νῦν ἀνθρώπων ὑπόκρισις. τοσαύτη δὲ αὐτῆς ἡ πρὸς τὴν μίμησιν κακουργία, ὥστε καὶ μέχρις εὐνῆς ἔλθοις ἂν πολλάκις, τοῖς ἴχνεσιν ἀπατώμενος· τῇ δὲ οὐκ ἀρκεῖ βαίνειν ὁμοῦ μόνον, ἀλλὰ καὶ φωνῆς ἂν ἀκούσαις παραπλησίας, καὶ φθέγματος εἰς ἀπάτην γεγοητευμένου. ἔοικε τῶν ἀνθρωπίνων ἀγαθῶν ὄντως ἕκαστον εἶναι κινδύνῳ κεκαλυμμένον, μηδέν τε ἄκρατον τοῦ ἐναντίου· καὶ λέγει τις ὀρθῶς ἄγαν τῶν τοῦ γέλωτος ποιητῶν, ὅτι Μηδέν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον, ὥσπερ δένδρον, ἐκ ῥίζης μιᾶς, Ἀεὶ δὲ αὐτῷ παραπέφυκε καὶ κακόν. τοῦτο οὖν ἐστιν ὃ σφάλλει τοὺς πολλούς, οὐκ ἔχοντας εὐκόλως ἐκλέγειν τὰ ἀμείνω τῶν φαυλοτέρων. δεώμεθα οὖν ἐγώ τε καὶ ὑμεῖς τῆς Ὁμηρικῆς Ἀθηνᾶς, ἐάν πως ἡμῶν ἀποσκεδάσῃ τὴν πολλὴν ἀχλὺν τῶν ὀμμάτων, ὄφρ' εὖ διαγινώσκοιμεν οὐ θεοὺς ἐν ταῖς μάχαις καὶ ἄνδρα, ἀλλὰ φιλίαν ἀληθῆ καὶ πεπλασμένην. λεκτέον οὖν ὅσα τέ ἐστι καὶ ὁποῖα ἄττα γνωρίσματα τοῦ μέλλοντος ἐγκριθήσεσθαι. καὶ γὰρ δὴ καὶ σὺν Ἀθηνᾷ καὶ χεῖρα κινεῖν ὁ τῆς Ἀθηνᾶς λόγος φησί. πρῶτον μὲν οὖν ὁ δοκιμαζόμενος ἔστω φιλόστοργός τε καὶ φιλοίκειος ὅτι μάλιστα, καὶ φύσει τόδε τὸ κέντρον ἔχων ὡς παραίτιον τῆς ξυγκολλήσεως. εἰ οὖν φαίη μέ τις ληρεῖν ἐξ αὐτῶν τῶν παροιμιῶν, κελευόντων πρὸ πείρας γινώσκειν ἃ μετὰ πεῖραν οἷόν τε μόνης, εὖ τοι γινωσκέτω μὴ δεήσεσθαι μαντικῆς. οὐδεὶς γὰρ ἡμῶν, κατὰ τοὺς ποιητάς, Ἀπὸ δρυός ἐστι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης· ἀλλ' ἑκάστῳ καὶ πατὴρ καὶ μήτηρ ἐστὶ καὶ ἀδελφός, ἴσως καὶ συγγενής. ὅταν οὖν ἐθέλῃς γινώσκειν ὅπως σοι χρήσεται φίλῳ ἄνθρωπος οὗτος, γινώσκειν πρῶτον ὅπως ἐχρήσατο τῷ πατρί, ἢ ὅπως τῇ μητρί, ἢ ὅπως τἀδελφῷ χρῆται, ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα. εἰ μὲν γὰρ τούτοις πρᾶός τε εἴη καὶ εὔνους, ἐλπίζειν χρὴ καὶ πρὸς ἑαυτὸν τὰ ἀμείνω· εἰ δὲ χαλεπὸς καὶ δυσμενής, σοὶ πόρρωθεν ἂν εἴη φευκτός.

ὁ γὰρ πρὸς τὰ ἔνδον πονηρὸς οὐκ ἂν γένοιτο πρὸς τὰ ἔξω χρηστός. μετὰ δὲ ταῦτα σκεπτέον εἰ μὴ παντελῶς ἄφορος εὐεργεσίας. ὥσπερ γὰρ τῆς γῆς ἡ μὲν ἄκαρπος, ἡ δὲ πιστὴ τὰς ἀμοιβὰς ἀποδοῦναι τῷ τὸ σπέρμα καταβαλόντι, οὕτω καὶ τῶν ψυχῶν αἱ μὲν ἄγονοι χαρίτων καὶ λήσμονες, καὶ πρὸς φιλίαν ἀχρεῖοι, ταῖς δὲ ἐπανθεῖ τὸ πρόθυμον εἰς τὴν ἔκτισιν. οὐ γὰρ πάντως τὸ ἔργον ἀπαιτητέον, ἀλλὰ τὴν γνώμην μόνον ἐξεταστέον, καὶ εἰ τοσαῦτα ἐκτίνουσιν ὅσα δύνανται· δύνανται δὲ πάντως ἐπαινεῖν τε καὶ μνημονεύειν. οὐδὲν γὰρ ὅλως φιλίαν οὔτε συνδεῖ μᾶλλον εὐεργεσίας, οὔτε διαλλεισιν ἀχαριστίας. καὶ διὰ τοῦτο ὁ Περσικὸς νόμος δίκας εἰσπράττεται ἀχαριστίας, ὅτι μάλιστα ἐμποιεῖ μῖσος ὅπη ἂν ᾖ. οὗ δὲ μηδεὶς κολάζει νόμος, ἐνταῦθά περ αὐτῆς μισοῦσι μὲν ἀλλήλους, οὐ δικάζονται δὲ, ἀλλὰ κρύπτουσι τὸ ἔχθος. σκεπτέον δὲ καὶ ὅπως ἔχει τὸ θρέμμα πρὸς ἡδονάς τε καὶ πόνους πολλούς. καὶ εἰ μὴ σφόδρα τοὺς μὲν ἀποφυγγάνει, ταῖς δὲ ἁλίσκεται. πολλοὺς μὲν γὰρ αἱρεῖσθαι πόνους, πολλὰς δὲ ὑπερβαίνειν ἡδονὰς ἐν τοῖς ὑπὲρ φιλίας ἀγῶσιν ἀνάγκη. διὰ τί ποτε ἄλλο γνώριμος ὁ τοῦ Στροφίου, ἢ ὅτι τὰς σὺν Ὀρέστῃ ταλαιπωρίας τῆς οἴκοι βασιλείας περὶ πλείονος ἐποιήσατο; καὶ μήν που καὶ τόδε δεῖ σκοπεῖν, εἰ βάσκανος, εἰ φθόνου κρείττων. ἢ προσδοκᾷς τινα ἱκανῶς ἂν στέρξαι φίλον, ὃς τοῦτο τὸ νόσημα ἐντὸς ἔχει, ὃ πέφυκε τοῖς μὲν ἔγγιστα πολεμεῖν, τῶν δὲ μηδὲν προσηκόντων ἀπέχεσθαι; οὐ μὴν οὐδὲ τόδε παραλείψεις, ὡς ἐγῷμαι, ὅταν κρίνειν μέλλῃς φύσιν φιλικήν τε καὶ μή, μή σε λάθῃ μετέχουσα ἀνελευθερίας. ἐναντιώτατον γάρ που σμικρολογία ψυχῇ μελλούσῃ φιλίας ἀληθινῆς ἐπορέξασθαι. ὁρῶμεν γάρ που τοὺς καλουμένους φίλους, ὅτι τέως μὲν τὰς δεξιάς τε ἀλλήλοις συμβάλλουσι, καὶ συμπεριπατοῦσι, καὶ συνδιάγουσιν·

Qui enim domi nequam eſt,foris nũquam bonus eſſe poterit. Poſt hæc conſiderandũ illud eſt,vtrũ penitus gratiæ omnis expers ac ſterilis ſit. Nã quemadmodũ ſolum aliud infructuoſum,aliud ei qui ſemina mãdauerit,fideliter reſpondet:ſic amicorũ alij gratiarũ minimè feraces ſunt, & obliuioſi, & ad amicitiã inutiles;alij ad referendũ beneficiũ propenſionẽ quandã & voluntatem præ ſe ferũt. Neque.n.omnino opus ipſũ exigendũ eſt,ſed voluntas duntaxat inquirenda,ac ſi tantũ quantũ poſſunt,referant, intuendũ eſt. Poſſunt autẽ laudare ſaltẽ, ac memori mente proſequi. Nihil eſt.n.planè quod amicitiã,aut grata beneficij recordatione faciliùs adſtringat,aut ingrati animi vitio diſſoluat. Propterea Perſicis legibus ingrati animi cõſtituta pœna eſt,quòd vbicũque ſit,maximè odium atque inimicitiã ingeneret. Vbi vero nulla lex eſt,quę id puniat, ibi ex eodẽ vitio,mutuo ſeſe odio proſequuntur, nec litigant tamen,ſed occultas ſimultates exercent. Quin illud attendendũ eſt,quomodo ea,quã captamus,præda ad voluptates & multos labores ſeſe habeat:atq; vtrũ hos quidẽ magnopere detrectet, illis vero capiatur. Siquidẽ multos ſuſcipere labores,& multas voluptates omittere,in ſuſceptis pro amicitia certaminib. neceſſe eſt. Quid.n.tandẽ cauſæ eſt, cur adeo illuſtris ſit ac celebris Strophij filius Pylades,niſi quod cũ Oreſte variis ærũnis ac calamitatib. conflictari quã domi regnare maluerit? Atq; hoc inſuper in eo conſiderandũ eſt,ſit ne inuidus, an omni inuidentiæ ſuperior. Nũ tu .n. cenſes quẽquam ſatis in amicum beneuolũ vnquã futurum, qui inteſtinũ illum morbũ habeat, qui proximis quibuſq; inferre bellũ ſolet,ab alienis,nihilque ad ſe pertinentibus abſtinere? Neq; vero hoc,opinor, prætermittes,cũ vtilẽ & accommodatã ad amicitiã indolem à cõtraria diſcernes,ne te adhæreſcẽs ei aliqua auaritiæ labes atq; illiberalitas lateat. Sũt enim animo verã ac ſinceram amicitiã apprehendere cupiẽti ſordes imprimis contrariæ. Quippe eos ipſos videmus,qui amici dicuntur, quẽadmodum antea quidem dextras ſibi inuicem iungãt, ſimul deambulent,mutuáq; viuendi cõſuetudine vtãtur;

ſed vbi paucos numos fortuna aliqua in mediũ iniecerit, catulorũ more proſilientes,ſe inuicem mordeant,ac dilaniẽt. Quid ille qui mitis alioqui,& gratus, ſed & ab omni auaritia inuidẽtiaq; alienus eſt?an ſi gloriolæ cupidus ſit, & omnib.in reb. ſuperior eſſe pertinaciſſimè ſtudeat, ad cõmunionẽ vnquã ac ſocietatẽ eſſe poſſit idoneus? Quis porro ambitionẽ neſcit æqualitatẽ amicitiæ non admodũ ferre poſſe? Quare ſuperbũ & arrogantẽ hominẽ, qui nimiũ æquam in omnib.libertatẽ,iúſque ſuum perſequitur, nũquam in amicitiã adſciſcamus,ſed neq; concitatũ ad rixam aut iracundiã. Quomodo.n.ad familiaritatẽ idoneus eſt furioſus,atque amens? Atqui ego ſic ſtatuo, Iram furorem breuem eſſe. Iã vero poſt hæc diligenter intuendum erit,ſitne in eorũ aliquod prŏpenſus, quę honeſtatis parũ habeant,atque dignitatis:puta aleam,citharœdicam, aut tibiã. Quicũque enim in aliquid eiuſmodi, affectu ac cupiditate procliuis eſt, huic ad meliora nunquam amicitiæ validæ ac ſtabiles eſſe poſſunt, fluminis inſtar in decliue corriuatæ. Num igitur hominem ita repurgatum inuenire difficile eſt?aut etiam auro rarior virtus eſt,beneque cũ eo agatur,cui vel vnus eiuſmodi ad diſcernendũ oblatus ſit? Itaque neque multas,neque infinitas amicitias colet, qui deligendi peritus extiterit. Neceſſe enim eſt ei qui in paucis tuendis conſtans ac ſtabilis non fuerit,vt neq; pluribus bene vti poſſit. Etenim plures homines iiſdem rebus neque delectari,neq; moleſtè ferre poſſunt, ac ne eadem quidem vti fortunæ conditione; ſed huic quidem iſtud, aliud alteri iucundum eſt,& moleſtum;atque huic felicitatẽ & proſperitatẽ aliquando concedit Deus, alteri non item. Quamobrẽ dicat ille nobis,qui multitudinẽ in amicitia cõſectatur,quando ex illa ſuorũ amicorum copia iiſdem reb. gaudere alios,alios dolere cõtigerit,quibuſcum afficietur? cúmque hic mœrere ſecum illum, lętari alter, ac gaudere volet,ad vtrum ſeſe illorum conferet? An non neceſſe erit eum dum aliis defert,in eorum quorũ honori detraxerit,offenſionem incurrere? Homeri verò dictũ illud multo congruẽtiùs de amicis quàm de manubiis dici poteſt

ἐπειδὰν δὲ ὀλίγα κέρματα μεταξὺ τύχῃ τις βάλῃ, ὥσπερ τὰ κυνάρια μεταβαλλόμενοι δάκνουσί τε ἀλλήλους καὶ σπαράττουσι. τί οὖν ὁ πρᾷος καὶ εὔοργος, μηδὲ φιλοχρήματος, μηδὲ βάσκανος; ἆρα εἰ φιλόδοξος εἴη καὶ πάνυ τοῦ πρωτεύειν ἐξηρτημένος, ἔσθ' ὅπου ἂν εὐκοινώνητος γένοιτο; καὶ τίς οὐκ οἶδεν ὅτι τὴν ἐκ φιλίας ἰσότητα οὐ σφόδρα ἀνέχεται φιλοτιμία; ὑπερόπτην δὴ καὶ ἀλαζόνα πολλὴν ἰσηγορίαν ζητοῦντι μήτε ἐγκρίνωμεν, οὐ μὴν οὐδὲ ἀκρόχολον ἢ ὀργίλον. πῶς γὰρ ἐπιτήδειος εἰς συνήθειαν ὁ μεμηνώς; ἐγὼ δὲ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι. τόδε τοίνυν μετὰ ταῦτα σκεπτέον εἰ μὴ σφόδρα ἐφ' ἕν τι νένευκε τῶν οὐ πάνυ τι χρηστῶν, κυβείαν, ἢ θεταλαὶ, ἢ κιθαριστικὴν, ἢ αὐλούς. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἕν τι τοιοῦτον αἱ ἐπιθυμίαι πᾶσαι ῥέπουσι, τούτῳ δὲ οὐκ ἂν εἰς τ' ἀμείνω γίγνοιντο φιλίαι ἰσχυραὶ, ὥσπερ ῥεῦμα ἐπὶ τὸ πρανέστερον ἀποτετραμμέναι. ἆρ' οὖν οὐκ εὐπετὲς ἐξευρεῖν ἄνδρα οὕτω κεκαθαρμένον, ἢ καὶ χρυσοῦ σπανιώτερον ἀρετὴ, καὶ ἀγαπητὸν ὅτῳ καὶ εἷς που τοιόσδε εἰς τὴν κρίσιν ἀφίκοιτο. οὐκ ἄρα πολύφιλος οὐδὲ μυριόφιλος ἔσται ὁ τῆς ἐκλογῆς ἐπιστήμων; καὶ γὰρ αὖ ἀναγκαῖον αὐτῷ μὴ ἐπ' ὀλίγων ἱσταμένῳ, μηδὲ τοῖς πλείοσιν ἔχειν ὅ,τι χρήσαιτο. σκέψαι γάρ. πολλοὺς ἀνθρώπους οὔτε χαίρειν τοῖς αὐτοῖς οὔτε ἀνιᾶσθαι δυνατὸν, οὔτε μὴν τύχῃ ὁμοίᾳ κεχρῆσθαι, ἀλλὰ τῷ μὲν ἄλλο τι, τῷ δὲ ἄλλο τι ἡδύ τε ἔφυ καὶ ἀλγεινόν· καὶ τῷ μὲν εὖ ποτὲ, τῷ δὲ οὐχ οὕτως ὁ δαίμων χρῆται. λεγέτω οὖν ἡμῖν ἐκεῖνος ὁ τὸ πλῆθος ἐν φιλίᾳ τιμῶν, ὅταν τῶν πολλῶν αὐτοῦ φίλων τοῖς αὐτοῖς οἱ μὲν χαίρωσιν, οἱ δὲ ἄχθωνται, ποτέροις συνδιαχείσεται· καὶ ὅταν ὁ μὲν συναλγεῖν αὐτὸν, ὁ δὲ συνεορτάζειν ἐθέλῃ, εἰς πότερον αὐτοῖν βαδιεῖται. ἆρ' οὐκ ἀναγκαῖον αὐτῷ, τιμῶντι τοὺς ἑτέρους, τοῖς ἀτιμουμένοις ἀπεχθέσθαι; τὸ δὲ τοῦ Ομήρου πολὺ ἂν ἀραρώτερον ἐπὶ τῶν φίλων λέγειν ἢ τοῖς

λαφύροις, ὅτι τοῖς φρονίμοις ὄντως ὀλίγον τὸ φίλον. ἀλλ' ἐπειδὴ χαλεπὰ τὰ καλά, καὶ οὔτε αὐτοὶ κακίας ἄπειροι, οὔτε οὓς κρίνομεν, οὐ πάντως ἀποκριτέον ἂν εἴη τὸν ὁντιναοῦν καὶ σμικρὸν κῆρα φέροντα ἐν τῇ ψυχῇ· ἀλλὰ ζητητέον μόνον ἐπὶ τῶν τοιούτων εἰ μή τινι παραπλησίῳ μοχθηρίας εἴδει περιπεπτώκαμεν. ἀρετὴ μὲν γὰρ πρὸς αὐτὴν ἅπασα σύμφωνος, κακία δὲ οὔτε πρὸς ἀρετὴν εὐμενής, οὔτε δυσάρεστος ἑαυτῇ. ὅθεν οὔτε ὀξύθυμος ὀξυθύμῳ γένοιτ' ἂν φίλος, οὔτε νωθεῖ νωθής, οὔτε αὐθάδης αὐθάδει· διαμιχθέντα δὲ ταῦτα φέροι ἂν ἄλληλα μετρίως καὶ συγκιρνῷτο. ὑβριστῇ μὲν γὰρ ἀνάλγητος προσαρμόσει, μεγαλαύχῳ δὲ μικροπρεπής, ὑπερόπτῃ δὲ καταπεπληγμένος, ὁ δὲ νωθέστερος τῷ κεκινημένῳ πλέον· ἐνέγκοι δ' ἂν καὶ φειδωλὸν ὁ περὶ τὰς δαπάνας ἐκκεχυμένος, καὶ πρὸς φιλόδοξον εὔμικτος ὁ σφόδρα τοῦ λαθεῖν ἐραστής· τοιαίδε μέντοι καὶ τῶν πρόσθεν, ὁπόσαι μνήμης εὐκλεοῦς ἔτυχον, ἐφ' ὧν μόνιμοι αἱ συζεύξεις. Χαβρίου γὰρ καὶ Ἰφικράτους φιλίαν ᾄδουσιν· ἦν δὲ ὁ μὲν αὐτοῖν σαύτομός τε καὶ δραστήριος, δυσκίνητος δὲ ὁ Χαβρίας. ὥστε ὁ μὲν χαλινοῦ δεόμενος, ὁ δὲ κέντρου, εἰς δέον ἀλλήλοις συνηρμοσάτην. Ὅμηρος δὲ ἄρα οὐ πολέμους ποιῆσαι μόνον, ἀλλὰ καὶ φιλίας ἠπίστατο. Ἀχιλλεῖ γὰρ Πάτροκλον ἐποίησε φίλον, τῷ μεγαλαύχῳ τὸν μείλιχον· Σθένελόν τε αὖ καὶ Διομήδη, τὸν μὲν ἀνεξίκακον, τὸν δέ, οὐ στέργοντα ὕβριν. ποῦ δῆτα ἄμφω ταῦτα μαρτυρεῖ τοῖν ἀνδροῖν; ὅπου πεποίηκε τὸν βασιλέα τῶν Ἀχαιῶν διέποντα τὸ στρατόπεδον μετὰ τὴν τοῦ Ζελείτου τοξείαν. ὀνειδισθέντες γὰρ ὑπ' αὐτοῦ κατ' ὀργήν, ὁ μὲν οὐκ ἀνέχεται, ὁ δὲ ἡσυχάζει. ταῦτα μὲν δὴ καὶ τὰ τοιαῦτα, ὡς ἔοικεν, ἐκκριτέον τε καὶ ἀποκριτέον τῷ τῆς ἐκλέξεως ἐπιστήμονι. θηρεύσονται δὲ ἡμῖν οὗτοι καὶ ἁλώσονται τίνα τρόπον; οὐ γὰρ ἀφετέον ἐξευρεθέντας τοὺς ἄνδρας, ἀλλὰ κύκλῳ περιθρεκτέον αὐτοὺς μετὰ πλείονος προθυμίας ἢ τοὺς θάμνους οἱ κυνηγέται.

poteſt: ſapientibus reuera exiguum gratum eſſe. Verum quandoquidem quæ honeſta, difficilia ſunt, neq; aut ipſi vitio caremus, aut ij in quos inquirimus, non omnino repudiãdus erit is, qui quamcuq; vel etiam exiguã in animo labẽ habeat, ſed eiuſmodi in reb. vnũ hoc quærendũ, num in ſimile quoddã nequitiæ genus prolapſi fuerimus. Virtus enim ſecũ omnis cõſentiens ac cõſentanea eſt, vitium neque virtuti placidum, nec ſibi ipſi iucundũ eſt: vnde neque iracundus iracundo amicus eſſe poteſt, nec ignauus ignauo, nec cõtumax cõtumaci. Quę ſi inter ſe miſta fuerint, vtcũq; ſeſe inuicẽ tolerent, atque tẽperẽtur: Cũ procaci enim ac petulãti ſtupidus cõueniet, cũ glorioſo, qui anguſti atque abiecti animi eſt, cũ ſuperbo, pauidus atque attonitus; cum acriori, & concitatiori, qui tardus ac languidus eſt. Sed & auarum ferre poterit is, qui in ſumptus profuſus eſt, & cum gloriolæ cupido miſceri facilè poteſt, qui plurimum in tenebris deliteſcere ſtudet. Tales ſuperiorum temporum amicitiæ fuere, quę quidẽ celebri hominum fama prædicatæ ſunt, in quib. ſtabiles ac perpetuę conſociationes extiterunt. Nã Chabriæ & Iphicratis amicitiam celebrant, horũ vero celeri alter erat atque acri indole præditus; tardior Chabrias, neque ita natura cõmotus, vt cum ille fræno, hic ſtimulo indigeret, præclarè ſecũ inuicem copulati fuerint. Sed Homerus ſanè non modo belli inſtituendi, verum etiam amicitiæ peritiſſimus fuit. Achilli enim amicum Patroclum, arrogãti ſcilicet lenem ac facilem tribuit. Sthenelum rurſus & Diomedẽ coniungit, quorum ille iniuriarum patiens, hic omnino eſſet impatiẽs. Vbinã ergo vtrũque de duob. illis viris teſtatur? Ibi ſcilicet, vbi Achiuorum Regẽ inducit poſt Zeleïtæ ſagittationem exercitum inſtruentẽ. Nã cũ vterq; probris ab eo per iracundiã eſſet affectus, hic quidẽ minimè iniuriã ſuſtinet, alter ſedato ac trãquillo animo patitur. Hęc igitur & his ſimilia ſeligẽda ac ſeparãda ſunt, ei qui delectus faciẽdi nõ imperitus eſt. Cæterũ qua tandẽ ratione venari illos ac capere poſſumus? Non .n. poſtquã homines inueſtigauerimus, dimittẽdi nobis erũt, ſed circũ eos lõgè erit alacrius diſcurrendũ, quã circa fruteta venatores ſoleant.

Quippe cicur illa,& manſueta fera eſt,nec de carnib. dũtaxat certamen nobis,atq; contẽtio,ſed de vitæ vniuerſæ ſocietate propoſitũ eſt.Igitur quænam illis retia circumdabimus?aut quã eſcam proponemus,quę neq; deguſtãtibus obſit,nec ſubdolã & fallacem voluptatem adferat,ſed citra detrimentum adhæreſcat,& cum vtilitate etiam deliniat? Etenim feras atq; piſces aliis quibuſdam illecebris propoſitis piſcatores ac venatores capiũt; ſolũ autem hoc animal amicus,ipſomet venatore,tanquam eſca, capitur. Propterea honeſtũ eum eſſe ac bonũ conuenit, vt poſteaquã illum præda deguſtauerit,adhæreſcat, nec facilè ſeſe amplius expedire poſſit.Quod quidẽ delectũ ipſum ſponte ſua quodãmodo, citraq; negotiũ vllũ in prõptu faciet. Nã qui ita morib.affecto ſeſe vltro geſtientẽ atq; exultãtem obtulerit,is ipſe eſt,quem iamdudum requirebamus: quiſquis autem virtutẽ aut non admiratur, aut detrectat, ille quidẽ vt ſtupidus atque hebes fugiẽdus, hic tanquam deprauatus odio proſequẽdus.Vnumquẽque vero hamorũ,qui ad eam venationem neceſſarij ſunt,cuiuſmodi eſſe oporteat,deinceps explicabimus.Igitur imprimis è lõginquo velvt ad equuleos,ad eũ accedendũ eſt, ita vt paulatim cicurẽ ac manſuetum reddamus,iã tum à leuiorib. atque viliſſimis reb. initio,vti videbitur,facto, vt ſi benignè aſpiciamus,ſi appoſitè cum eo ſcitèque ſermonẽ miſceamus,ſi aſſideamus,ſi cũ eo ambulemus,ſi cõgreſſum illius, & aſpectũ iucundum nobis eſſe ſignificemus. Quinetiam in foro locus ille conſectandus erit,in quo crebro cum eo verſari liceat,vt & in conuiuiis, in balneis,in ſpectaculis, expeditione,in itinere faciendo aliiſque id genus vitæ cõmunionib.Hæc enim quamuis nõ admodum magna eſſe dixerimus,tamen exiguæ res maximarum eſſe ſolẽt initia. Quod ſi ego certos homines non vererer, qui meã illam in minutiſſimis perſequendis diligentiã deriderẽt, etiam his quę hactenus dixi viliorẽs captandi rationes vobis exponerẽ. Iã vero ſi iſtud dixero,dextrã iniicere, & eius quẽ captamus manũ prehẽdere, aut digitũ premere futuræ amicitiæ aculeum quendam,ac ſtimulum immittere, ride-

ἥμερόν τε γὰρ καὶ οὐκ ἄγριον τὸ θηρίον· ἥτε σπουδὴ ἡμῖν οὐ κρεαδίων ἕνεκεν, ἀλλὰ βίου ξύμπαντος κοινωνίας. ποίας δῆτα αὖθις ἄρκυς περιστησόμεθα; ἢ ποῖον περιθήσομεν δέλεαρ, ὃ μήτε πημανεῖ γευσαμένους, μήτε ὕπουλον καὶ δολερὰν ἕξει τὴν ἡδονὴν, ἀλλὰ προσέξεται ἀβλαβῶς καὶ συντελέσει ξὺν ὠφελείᾳ; θηρία μὲν γὰρ καὶ ἰχθῦς ἄλλα ἄττα δελεάσματα προδεδεικνυότες αἱροῦσιν οἵ τε ἁλιευταὶ καὶ οἱ κυνηγέται· μόνον δὲ τοῦτο τὸ ζῶον ὁ φίλος αὐτῷ δελεάζεται τῷ θηρεύοντι. διὸ χρὴ καλόν τε εἶναι καὶ ἀγαθὸν, ὥστε αὐτοῦ γευσαμένου τὴν ἄγραν ἐνέχεσθαί τε καὶ μηκέτι εὐπετῶς ἀπολύεσθαι. τοῦτο δὲ αὐτὸ καὶ τὴν ἐκλογὴν αὐτόματον περιποιήσει. ὁ μὲν γὰρ προσιὼν καὶ γαννύμενος τοιῷδε ὄντι, ἐκεῖνος ἐστὶν ὃν πάλαι ἐπεζητοῦμεν· ὁ δὲ ἤτοι μὴ θαυμάζων τὴν ἀρετὴν, ἢ ἀποφεύγων, ὁ μὲν ὡς ἀναίσθητος, φευκτός· ὁ δὲ, ὡς πονηρὸς, μισητέος. τὰ δὲ καθ' ἕκαστα ἄγκιστρα τῆς θήρας ὁποῖα ἄττα ἐστὶ, λέγωμεν ἐφεξῆς. προσιτέον δὴ πρῶτον αὐτῷ πόῤῥωθεν, ὥσπερ δὴ τοῖς πώλοις ἠρέμα, χειροήθη ποιοῦντας, ἀπὸ τῶν σμικρῶν καὶ φαυλοτάτων ὡς ἂν δόξειεν ἀρχομένους, οἷον τοῦ προσορᾶν εὐμενῶς, καὶ διαλέγεσθαι ἐπιδεξίως, καὶ συμπαρακαθέζεσθαι, καὶ συμπαραβαδίζειν, καὶ δῆλον γίνεσθαι ὅτι ἥδοιτο ὁρωμένῳ. μεταδιωκτέον δὲ καὶ ἐν ἀγορᾷ τόπον οὗ τὰ πολλὰ ἐκείνῳ συνεσόμεθα, καὶ ἐν συμποσίοις, καὶ ἐν βαλανείοις, καὶ κατὰ θεωρίαν, ἢ κατὰ στρατείας, ἢ ἐν ὁδῷ πορείαις, ἢ ἐν πᾶσιν ἄλλαις κοινωνίαις. ταῦτα γὰρ οὐ μεγάλα μὲν φαῖμεν ἂν, ἀρχαὶ δὲ ὅμως ἀεὶ τὰ ἐλάχιστα τῶν μεγίστων. εἰ μὴ ἐδεδοίκειν ἐγὼ τοὺς καταγελασομένους ἐπὶ τῇ λεπτολογίᾳ, εἶπον ἂν ὑμῖν καὶ φαυλότερα θήρατρα τῶν εἰρημένων· νῦν δὲ ἐὰν λέγω ὅτι καὶ τὸ δεξιὰν ἐμβαλεῖν, καὶ τὸ πιέσαι τοῦ θηρευομένου τὴν χεῖρα, καὶ τὸ θλίψαι τῶν δακτύλων, ἐνίησί τι κέντρον μελλούσης φιλίας. ἀλλὰ

καταγελάσονται γάρ, εὖ οἶδα, καὶ σμικρολόγον ἐροῦσιν· ἐγὼ δὲ ὁρῶν τοὺς πατέρας, ὅτι ἡνίκα ἂν σφόδρα ἀσπάζωνται τὰ παιδάρια, τύπτειν αὐτὰ καὶ δάκνειν ἐξ ἀπλήστου πάθους προσάγονται. ἔοικε γὰρ δὴ πάνυ τὸ τοιοῦτον σημεῖον εἶναι διανοίας ὠθιζομένης ἑνωθῆναι τῇ τοῦ στεργομένου ψυχῇ, διὰ δὲ ἀμηχανίαν τοῦ ξυγκολληθῆναι καθ' ἑαυτὸν ἐπὶ τὸ σῶμα καταλυττώσης· ὥστε διὰ τούτου γε ἐθέλειν ἐμφῦναι. δραστικώτατόν γε μὴν πρὸς θήραν φίλου φάρμακον ἡγητέον τὸν ἔπαινον, εἰ καὶ σφόδρα ὕποπτον αὐτὸν οἱ κόλακες πεποιήκασιν, ὡς καὶ τοὔλαιον οἱ μυροποιοί. ἐπιβουλῇ γὰρ τῶν πέλας οὗτοι μὲν τοὔλαιον, οἱ δὲ πέλας τὸν ἔπαινον διαφθείρουσιν. ὅθεν αὐτῷ ξὺν μέτρῳ, καθάπερ τῷ οἴνῳ, χρηστέον, οὔτε ἐκεῖσε ὑπερβαίνοντα τοὺς σωφροσύνης ὅρους, οὔτε ἐνταῦθα, τῆς ἀληθείας. ἥκιστα δὲ παρόντα ἐπαινετέον. μόνον γὰρ δὴ τοῦτο φαρμάκων ἐρρωμενέστερόν τε ἅπτεταί τε καὶ ἐνδύεται, ὅταν μὴ αὐτῷ προσφέρηται τῷ φαρμασσομένῳ τηνικάδε, καὶ αὐτὸ ὥσπερ ὕποπτόν τε καὶ ἐπίβουλον ἀπωθοῦνται οἱ ἄνθρωποι. οὐδὲν οὖν, οἶμαι, τῶν τοξευόντων διαφέρουσιν οἱ ἐπαινοῦντες. ἐντονώτερα γὰρ καὶ τούτων τὰ βέλη πόρρωθεν ἀφιέντων, ἢ σφόδρα ἐγγύθεν· προσακτέον δὲ οὐκ αὐτῷ μόνῳ τῷ θηρευομένῳ τὰς μηχανάς, ἀλλὰ κἀκείνοις οἳ προσαλόντες ἐπιβατὸν ἡμῖν ἔργον ποιήσουσι. παῖδάς τε οὖν αὐτῷ καὶ ἀδελφοὺς καὶ γονέας εὖ ποιοῦντάς γε καὶ ἀσπαζομένους. Εἰ γὰρ δή, κατὰ τὴν παροιμίαν, καὶ τὸν εὐνοοῦντα καὶ κύων σαίνει, πόσῳ δὴ μᾶλλον εὖ πάσχοντες ἄνθρωποι ἥμεροί τε καὶ τιθασοὶ γίνονται πρὸς τὸν εὖ ἐργαζόμενον; ἐπεὶ καὶ μέγας ὁ ἀγών, τό, τε θηρευόμενον οὐ λαγωός, οὐδὲ σῦς, οὐδὲ ἔλαφος, ἀλλὰ τὸ πάντων ζῴων εὐκολώτατόν τε καὶ ἡμερώτατον. μιμεῖσθαι οὖν πρὸς τὴν ἄγραν αὐτοῦ τοὺς κούφους θηρευτάς. καθάπερ οὖν ἐκεῖνοι φάττιά τε καὶ τρυγόνια τιθασεύοντες, διὰ τούτων τὰ ὁμόφυλα γοητεύουσι, καὶ ἑκόντα ὑπάγονται εἰς τὸν ἰξὸν ἢ τοὺς βρόχους· ὧδε ἄρα δεῖ καὶ ἡμῖν τῶν ἤδη προσηλωκότων φίλων τοὺς οὔπω τεθηρευμένους.

bunt me, probè ſcio, atque anguſtè ieiunéque diſputare me nimiū dicent. Ego vero patres ipſos video, cum puerulos vehemētius cōplectuntur, præ immoderato affectu eò redigi, vt eos verberent identidem ac mordeant. Videtur enim iſtud omne quoddam mētis indicium eſſe, quæ cum eius qui amatur anima coniungi, ac copulari magno cum impetu geſtiat; pro eo vero quòd cum ea conglutinari per ſe nequeat, in corpus ipſum deferatur. Porro ad amicum captandum efficaciſſimum remedium exiſtimanda laus eſt, quanquam ſuſpectam eam admodum aſſentatores reddidere, velut Seplaſiarij oleum. Vtrique enim ſimilium rerum admiſtione, hi quidem oleum, adulatores laudem corrūpunt. Ideo hac cum moderatione vtendum eſt, vt neque illic temperantiæ limites trāſgrediamur, neque hic veritatis. Minimè vero præſens quiſpiā laudandus eſt, hoc enim vnum remedij genus validius aggreditur, & in interiora ſubit, cum ei cui medemur tunc tēporis non adhibetur: idque ipſum tanquā ſuſpectum ac ſubdolū vulgo homines reſpuūt. Quamobrem nihil, opinor, à ſagittariis laudatores diſſidēt. Validiora quippe horū tela ſunt, cum eminus quàm cum minimo è ſpatio emiſſa ſunt. Cęterum non ad eum ſolum, quem venamur, admouendæ machinę ſunt, ſed illos inſuper, qui ſi antè capti fuerint faciliorem nobis ſuſcepti operis aditum efficient. Hoc igitur ita aggredi par eſt, vt & liberos ipſos, & fratres, & parentes nobis demereamur, & officioſè complectamur: Nam ſi, vt eſt in vetere prouerbio, ei qui benevolus eſt, etiam canis adulatur, quāto magis homines beneficio aliquo deuincti tractabiles ac manſuetos ſe ſe bene merenti exhibent? Hoc autē dico, propterea quod ingēs adeo certamen eſt, eaque quā captamus præda, nō Lepus, non Aper, aut Ceruus eſt, ſed omniū faciliimum ac mitiſſimū animal. Quare in eius venatione expeditos venatores imitabimur, vt quēadmodū illi Palūbes & Turtures cicurantes, per has cōgeneres auiculas illiciunt, ſpōtéque inductas in viſcū aut laqueos impellunt; ita & nos per eos qui antè capti fuerint, nōdum captatos amicos aggrediamur. Neque .n. columbarū qui-

dem domeſticæ peregrinas non nunquam multas pelliciunt. Sed de his hactenus. Deinceps vero dicendum nobis eſt, quomodo quęſita præda cuſtodienda, ac retinenda ſit. Quod enim ex pręda lucrum, ſi poſtquam ipſius cōpotes fuerimus, retinere nequeamus? Itaque diligenter conſeruanda nobis eſt, fine aliquo iam tum ab initio, ac ſcopo propoſito, quo quidem vſi maximè id quod volumus, aſſequamur. Eſt autem is communis amborũ vtilitas, velvt in familia, & Ciuitate, aliiſque vitæ ſocietatib. Quarum nulla penitus ſalua eſſe poteſt, niſi in ſingulos eorum quæ geruntur fructus, atque vtilitas redundet, & ad vnum illud caput omnia referantur. Præterea omnia in quæ cura diligētiáque impēditur, meliora vtilioráque & ipſa ſibi, & iis qui poſſident, effici ſolēt. Nā & equus melior, & bos, & canis redditur, ſi illum equiſo, alterum colonus, hunc venator diligenter curet, ac foueat. Contra incuria non Equum ſolum, canémve, ſed & clypeum ac lyram, & falcem corrumpit: ſic amicitiam eius tuēdæ cura optimo in ſtatu cōponit, negligentia caducā & vietam efficit. Caue enim exiſtimes, domum quidem adminiſtranti tibi, ne ea quàm celerrimè diſſoluatur, aſſidua cura, ac diligenti prouiſione opus eſſe; Amicum vero, ſi quē forte comparaueris, nullam qua conſeruetur diligentiam requirere. Tunc ergo vel ædiculam aliquam curam deſiderare tuam non ſines, ſi qua eius pars aut ingraueſcente hyeme, aut incumbente vento, aut ingenti pluuia conuulſa ſit: Amicum temerè, ac vtvt ſe habeat, relinques, ſiue dolore, aut ægritudine teneatur, ſiue alius quiſpiam infelix caſus acciderit? Atqui paries, qui labefactetur, ac corruat, nullam tibi ruina ipſa grauiorem moleſtiam adferat: nec cæterorum vtēſilium aut poſſeſſionum quicquā plus pernicie ipſa detrimentóque ſuo negligenti homini dāni conſciſcat: Amicitia vero contempta non ſolum deperit, ſed etiam in inimicitiam tranſit, è qua maxima hominum generi incommoda accidunt, ſi qua vnquam accidunt. Poſtea vero cum honeſto probóque viro decertandum erit, qualem paulo antè tibi repurgatum deſcripſimus.

οὐ γὰρ δὴ τῶν περιστερῶν μὲν αἱ ἐθάδες πολλάκις τινὰς καὶ ξένας ἐπάγονται. εἶεν. ὃ δὲ μετὰ τοῦτο λεκτέον ἡμῖν φυλακῆς πέρι καὶ ξυντηρήσεως τῶν θηρευθέντων. τί γὰρ ἂν εἴη κέρδος τῆς ἄγρας, εἰ κρατήσαντες αὐτῆς μὴ κατάσχοιμεν; φυλακτέα δὴ εὐθὺς ἐξ ἀρχῆς προθεμένοις σκοπὸν ᾧ ἂν χρώμενοι μάλιστα ἐπιτυγχάνοιμεν. ἔστι δὲ οὗτος ὃ κοινῇ συμφέρει, καθάπερ ἐν οἰκίᾳ καὶ ἐν πόλει καὶ ἐν ταῖς ἄλλαις κοινωνίαις. οὐδὲν γὰρ δὴ τούτων σώζοιτ' ἂν μὴ μετεχόντων ἑκάστου πάντως τῶν πραττομένων, εἰς ἓν τοῦτο κεφάλαιον ἀναφέροντες. καὶ μὲν δὴ ἅπαντα ἐπιμελείας μὲν ἀπολαύοντα ἀμείνονά τε καὶ ὠφελιμώτερα γίνεται αὐτά τε αὐτοῖς καὶ τοῖς πεπαμμένοις. ἀμείνων μὲν ἵππος, ἀμείνων δὲ βοῦς, ἀμείνων δὲ κύων, εἰ τὸν μὲν ἱπποκόμος, τὸν δὲ γεωργὸς θεραπεύει, τὸν δὲ κυνηγέτης. ἀκομιστία δὲ οὐχ ἵππον μόνον καὶ κύνα, ἀλλὰ καὶ ἀσπίδα καὶ λύραν καὶ δρέπανον διόλλυσι. οὕτω δὴ καὶ φιλίαν ἐπιμέλεια μὲν εὖ διατίθησι, ῥαθυμία δὲ ἀκροσφαλῆ καὶ σαθρὰν ἀπεργάζεται. μὴ γὰρ δὴ οἴου, εἰ μὲν οἰκίαν οἰκονομήσαις, δεῖσθαι αὐτὴν τῆς συνεχοῦς θεραπείας, εἰ μὴ μέλλει τάχιστα διαρρυήσεσθαι· εἰ δὲ φίλον σεαυτῷ κατασκευάσαις, τοῦτον οὐ χρήζειν συντηρούσης ἐπιμελείας. ἀλλ' ἄρα τὸ μὲν δωμάτιον οὐκ ἐάσεις ἀτημελές, εἴ τι αὐτοῦ κινηθείη ἢ χειμῶνος ἐπιβρίσαντος, ἢ πνεύματος ἐπιγινομένου, ἢ ὕδατος λάβρου καταρραγέντος· τὸν φίλον δὲ ἀφήσεις εἰκῇ, λύπης ἢ νόσου καταλαβούσης, ἢ τινος ἄλλης ξυμφορᾶς οὐκ εὐδαίμονος; καίτοι γε ὁ μὲν τοῖχος διαρρυεὶς οὐδὲν ἄν σε πλέον λυπήσειε τοῦ διερρυηκέναι, οὐδὲ τῶν ἄλλων ὀργάνων ἢ κτημάτων οὐδὲν αὐτοῦ τοῦ διολέσθαι χαλεπώτερον ἐργάσαιτο ἄν τι τὸν ῥαθυμήσαντα. φιλία δὲ παροφθεῖσα οὐ διαφθείρεται μόνον, ἀλλὰ καὶ γίγνεται ἔχθρα, ἐξ ἧς μάλιστα τὰ κακὰ τοῖς ἀνθρώποις συμβαίνει, ὅταν συμβαίνῃ. πολεμήσεις δὲ τῷ μετὰ ταῦτα ἀνδρὶ καλῷ τε καὶ ἀγαθῷ καὶ ὅν σοι μικρῷ πρόσθεν ἐξεκαθήραμεν-

ὥστε σοὶ πανταχόθεν ἀπορριπτέον τὸν ὄκνον, καὶ κοινωνητέον πόνων τε καὶ ἀγρυπνιῶν, κινδύνων τε αὖ καὶ δαπάνης καὶ ἀτιμίας, οὐ κληθέντι μόνον, ἀναμένοντι εἰς τὴν κοινωνίαν, ἀλλ' αὐτομάτῳ θέοντι, καὶ προμαντευομένῳ τοῦ καιροῦ πολλάκις, καὶ πειρωμένῳ πρὸς ἑκάστην χρείαν τοῦ φίλου τὸ πρόσωπον οἰκεῖον μεταλαμβάνειν, ἐν ἀρρωστίᾳ μὲν, ἰατροῦ, ἐν δίκαις δὲ, συνηγόρου, συμβούλου δὲ ἁπανταχοῦ καὶ συνεργοῦ ἐπὶ τῇ γνώμῃ. πολλοῦ δὲ ὄντος τοῦ κατὰ τὸν βίον ἀνίσου τε καὶ ἀνωμάλου, καὶ τῆς ἀκριβοῦς ὁμοιότητος οὐδὲ πάμπαν διειργομένης, οὔπω λέγω κατὰ τὰ πρόσωπα· οὐδὲ γὰρ δέομαι ταύτης νῦν τῆς ποικιλίας· ἀλλὰ κατὰ τὴν ἔξωθεν τύχην πλούτου τε καὶ πενίας, ἐπιφανείας τε αὖ καὶ ἀδοξίας. τούτου γὰρ ἀνάγκη μὲν οὐδὲ τοῖς πάνυ φίλοις ἴσην ἑκάστου μοῖραν μεταλαγχάνειν.) φιλία δὲ τὰ πολλὰ τὸ πλέον ὑπεροψίαν κατὰ τοῦ ἐλάττονος ἐντίκτει. ὅθεν εἴ σε ἄγει προσωτέρω τούτων ἡ τύχη, συμπεριενεκτέον σοι καὶ τὸν φίλον· ἀπολειφθέντα γὰρ οὐ ῥᾳδίως ὄψει τοῖς αὐτοῖς ὀφθαλμοῖς. Εἰ δὲ σὺ μὲν ἐφέλκοιο, τὸν δὲ αὖ ἀνάγκη τις ἀντισπῴη, θαμὰ ἐπιστρέφεσθαι πρὸς τὸ καὶ βλέμμα ὅμοιον τηρεῖν. εἰ γάρ σε λάθῃ παραδῦσα ἀλαζονεία, πάντα ἐκεῖνα ὀξέως τὰ δεσμὰ διαλύσει, μετέωρον ἄρασα. συμβαίνει γὰρ, ὥσπερ πλάστιγγος ἐπὶ θάτερα κουφισθείσης, τὴν ἰσορροπίαν τοῦ ζυγοῦ μὴ διαμένειν. ὁ μὲν οὖν τραγικὸς ποιητὴς καὶ τὸν ἀγνῶτα μὲν, ἀγαθὸν δὲ, ἐπαινεῖ, καὶ φίλον ἡγεῖται· ἐγὼ δὲ καὶ τοῦτο μὲν τὸ ἔπος ὡς πάνυ κομψὸν ἐκδέχομαι, παραινέσαιμι δ' ἂν τοῖς φιλίαν τηρεῖν βουλομένοις, τὴν συνήθειαν εἰς δύναμιν ἐπιπλέκειν, καὶ τὸ συνδιατρίβειν ἀλλήλοις πολλοῦ ἄξιον εἰς τὸν σύνδεσμον ἡγεῖσθαι. εἰ γὰρ τὸ πᾶν εἰς ἅπαντα ἡ μελέτη, καὶ φιλίας μελέτην νομιστέον τὴν συνουσίαν.

Ita vndequaque deponenda ignauia eſt,& in laborum vigiliarúmque communionem veniendum, nec non periculorum,ſumptuum,atque infamię,non vt expectet dum ad earum calamitatum ſocietatem vocetur, ſed vt ſponte accurrat,& ante tempus ipſum ſæpenumero præſagiat,atque etiam conetur ad ſingulas amici neceſſitates accommodatam ſibi perſonam imponere, puta in aduerſa valetudine,medici:in litibus,patroni:vbique cõſiliarij,& poſt conſilium,adiutoris, & ſocij. Sed cum inæqualitas varietáſque maxima in vita reperiatur,nec inter vllos perfecta omni ex parte ſimilitudo inſit:non iam de ea diſputo, quæ in vultibus hominum cernitur, neque enim mihi in præſentiarum ea diuerſitate opus eſt, ſed in externa fortunæ conditione, diuitiarum ſcilicet ac paupertatis, claritatis item & obſcuritatis: eiuſmodi enim rerum ne ij quidem, qui penitus inter ſe deuincti ſunt, ſingularum ex æquo participes eſſe poſſunt,in amicitia vero plerumque quod excedit, contemptum inferioris ingenerat. Quare cùm te ad earum rerum proceſſum incrementúmque fortuna prouexerit, vna tecum amicus promouendus erit: ſi enim infra te reliqueris, non facilè iiſdem eum oculis reſpicies. Quod ſi dum illum attrahere niteris, aliqua ex aduerſo neceſſitas retrahat, frequenter ad eum conuertendus aſpectus erit, vt in eodem ſemper vultu perſiſtas. Nam ſi clam tibi ſuperbia arrogantiáque obrepſerit,ea te ſublimẽ attollens omnia hæc vincula celerrime diſſoluet. Tum enim accidit vt tanquam altera ex parte lance ſublata, librationis in trutina æqualitas minimè permaneat. Ac tragicus quidem Poëta etiam ignotum ſibi hominem, ſed bonum, collaudat, & amicum arbitratur. Ego vero tametſi hoc dictũ vtpotè omnino elegãs,probo,tamẽ eos, qui amicitiã conſeruare ſtudent,vehementer hortor, vti, quoad fieri poteſt,conſuetudinẽ ac familiaritatẽ adiiciãt, itáque habeant,ad animorũ conſociationẽ mutuum cõuictum mirum in modũ cõducere. Nam cũ omnib.in rebus præcipua ſit in exercitatione meditationéq; vis poſita, tũ cõſuetudo ipſa amicitiæ meditatio quædã exiſtimãda eſt.

Contentio porro omnis, rixáque penitus excludenda, ac tanquam inimicitiarum ſeminarium omni ope cauenda eſt. Non enim inter aduerſarios in certando, ſed certaminis ſocios, amicitia verſatur. Idcirco non iiſdem diſciplinis aut fortunis clareſcere conſentaneum eſt eos qui cõmunionẽ hanc amicitiæ ſartam tectam conſeruaturi ſint. Periculoſa enim res eſt ſimilitudo, facileque dum earumdem laudum amorem occultè in animis inſerit, ad certamen & contentionẽ impellit. Quãobrem ſi te fortuna vel Oratorẽ cum Oratore conciliauerit, vel cũ Medico Medicum, vel Grãmaticum cum Grammatico, noli cũ amico contentioſe certare, ſed cũ Heſiodo ipſo potius: nec te illũ deteriorẽ conuincito, ſed Poëtam potius à veritate aberraſſe demõſtres. Proinde maiori ei fama atque exiſtimatione cedas, & in ſecundo ſemper honoris gradu cõſiſtas, licèt prior tibi potiori iúre debeatur. Atque ſi hoc te modo geſſeris, nihil erit amplius quòd iſtos verſus admiremur, ſed hoc eorũ ſcriptori dicemus. Heus tu, egregie, & abs te ipſo edocte Poëta; non artium ſimilitudo ipſa, ſed mores hominum inuidiam ac contentionem efficiunt. Si enim moderati ac faciles ſint, parum illos eiuſdem commune artis incitabit; ſin minus, tam peritia quã impioritia minimè ad ſocietatem coniunctionémque animorum idonea eiuſmodi hominibus accidet. Iam quoniam nihil omnino delinquere extra ſortem humanæ eſt conditionémque naturæ (non enim illis è Porticu ſapientibus fidem habeo, tales vnquam oriri inter homines poſſe, quales illi ſomniant ſapientes, ac bonos viros, nec inter homines amplius numerandos, ſed Epigramma illud fortaſſe verius eſt, quod Athenis publico in ſepulcro inſcriptum legitur, quódque feliciter omnia exequi diis ſolis tãquam præcipuum attribuit) dicendum idcirco de iis peccatis eſt quę in amicitiam incurrunt, quemadmodum aut prohibenda, ne accidant, aut ſi acciderint, curanda ac propulſanda ſunt. Nam cum amicus nuſquam omnino cum adulatore conſentiat, tum in eo quã lõgiſſimè diſtat, quòd hic omnia collaudet; ille errare te labiq; temere nõ permittat.

φιλονεικίας γε μὴν καὶ τὸ δύσερι καὶ πᾶσαν ἐκποδὼν μεταστατέον, οἷα σπέρματα ἔχθρας εὐλαβουμένους. οὐ γὰρ ἐν ἀνταγωνισταῖς, ἀλλ' ἐν συναγωνισταῖς ἡ φιλία. τῷ τοι οὐδὲ ταῖς αὐταῖς ἐπιστήμαις ἢ τύχαις ἐνευδοκιμεῖν εἰκὸς πως ἀσφαλῶς τὴν κοινωνίαν φυλάξοντας. σφαλερὰ γὰρ ἡ ὁμοιότης, ἔρωτα ἐντιθεῖσα τῶν αὐτῶν ἐπαίνων ἠρέμα, αἴτι παρεξάγειν εἰς ἅμιλλαν. εἰ δ' οὖν σε δαίμων ξυνέζευξεν ἢ ῥήτορα ὄντα ῥήτορι, ἢ ἰατρὸν ἰατρῷ, ἢ γραμματιστὴν γραμματιστῇ, μήτοι πρὸς τὸν φίλον φιλονεικεῖν, ἀλλὰ μᾶλλον πρὸς τὸν Ἡσίοδον· μηδὲ ἐκεῖνον χείρω σεαυτοῦ διελέγχειν, ἀλλὰ τὸν ποιητὴν μᾶλλον ἀπολειφθέντα τῆς ἀληθείας, ἀεὶ μὲν παραχωροῦντα τῆς πλείονος δόξης, εἰ ἄρα τι καὶ σοφώτερον ἐπίσταιο, ἀεὶ δὲ ἐν χώρᾳ δευτέρᾳ τῆς τιμῆς ἱστάμενον, εἰ ἄρα σοι καὶ μᾶλλον ἢ πρόσθε προσήκει. καὶ εἰ ταῦτα οὕτως πράξεις, οὐκέτι ἐκεῖνα τὰ ἔπη θαυμασόμεθα, ἀλλ' ἐροῦμεν πρὸς τὸν πατέρα τῶν στίχων ὅτι, ὦ θαυμάσιε καὶ αὐτοδίδακτε ποιητά, οὐχ ἡ τῶν τεχνῶν ὁμοιότης τὸν κότον ποιεῖ καὶ τὴν ἔριν, ἀλλ' ὁ τρόπος τῶν ἀνθρώπων. ἂν μὲν γὰρ κόσμιοι καὶ εὔκολοι ὦσι, καὶ ἡ τέχνη μετρίως αὐτοὺς παρακινήσει· εἰ δὲ μή, καὶ τέχνη καὶ ἀτεχνία χαλεπὴ κοινωνεῖ τοῖς τοιούτοις ξυμβαίνει. ἐπεὶ δὲ τὸ μηδὲν ἁμαρτάνειν ἔξω τῆς φύσεως κεῖται τῆς ἀνθρωπίνης, (οὐ γὰρ πείθομαι ἐγὼ τοῖς ἐκ τῆς ποικίλης φῦναί ποτε ἐν ἀνθρώποις οἵους τινὰς ἐκεῖνοι πλάττουσι σοφούς τε καὶ σπουδαίους, οὐκέτι ἀνθρώπους· ἀλλὰ τάχα δὴ τὸ ἐπίγραμμα ἀληθέστερον ὃ Ἀθήνησιν ἐπιγέγραπται ἐν τῷ τάφῳ τῷ δημοσίῳ· καὶ γὰρ τοῖς θεοῖς μόνοις τὸ πάντα κατορθοῦν ἀπονέμει) λεκτέον δὴ καὶ περὶ τῶν ἐν φιλίᾳ γιγνομένων ἁμαρτημάτων, ὅπως τε αὐτὰ χρὴ κολούειν, καὶ ὅπως ἰᾶσθαι εἰ ξυμβαίνοι. ὁ γὰρ δὴ φίλος τοῦ κόλακος οὐδὲν μὲν οὐδαμῆ ἐγγύς, ταύτῃ δὲ μάλιστα πορρωτάτω ὅτι ὁ μὲν ἅπαντα ἐπαινεῖ, ὁ δὲ οὐκ ἂν σφαλλομένῳ σοι συγχωρήσειε.

τῷ μὲν γὰρ πρόκειται κερδαίνειν ἢ γαστρίζεσθαι ἐκ τοῦ ἔργου, καὶ οὐ σὲ τεθαύμακεν, ἀλλὰ τὰ χρήματά σου ἢ τὴν δυναστείαν. οὔκουν οὐδὲ αὐτῷ μέλει ὅπως ἂν ἔχῃς. μέλει μὲν οὖν ὅπως ἂν μὴ ἄριστα ἔχῃς, ἵνα αὐτὸς ὡς ῥᾷστα ἐργάζοιτο. ὁ δὲ φίλος σοι μόνῳ παρέχει τὸν νοῦν, καὶ σοῦ μόνου ἥλω, καὶ βούλοιτο ἄν γε μηδὲν κακὸν ἔχειν. ἀφαιρετέον οὖν τὰ νοσήματα ἠρέμα, καὶ ὡς μὴ σφόδρα λυποῦντας, μηδὲ ἐνδιδόντας. ἀλλ' ὥσπερ οἱ ἰατροὶ τὸ μὲν σιδήρειον πολλάκις ἐῶσι, προστιθέμενοι δὲ φάρμακα ἄττα οὐ ξὺν ἀλγηδόνι τὸ πάθος ἰῶνται. οὕτω καί σοι τὸν φίλον θεραπευτέον. ἔχεις δὲ καὶ σὺ φαρμάκοις ἀντὶ καύσεων καὶ τομῶν εἰς τὴν ἰατρείαν κεχρῆσθαι. τὰ δὲ φάρμακα ταῦτα λόγοι εἰσὶ μεστοὶ εὐνοίας καὶ παῤῥησίας, οὐχ οἱ γλυκεῖς καὶ πρὸς χάριν, (οὗτοι μὲν γὰρ τρέφουσι καὶ ἄρδουσι τὸ νόσημα) ἀλλ' οἱ στρυφνοὶ καὶ ἀληθινοὶ καὶ μεστοὶ παῤῥησίας οὐκ ὀνειδίζουσι, (πάμπολυ γὰρ διαφέρει νουθεσία μὲν λοιδορίας, ἐπίπληξις δὲ ὀνείδους, οὐ τῇ διανοίᾳ μόνῃ τοῦ λέγοντος, ἀλλὰ καὶ αὐτῷ τῷ λόγῳ εὐνοίας καὶ παῤῥησίας) νουθετοῦντες, οὐ λοιδορούμενοι, καὶ ἐπανορθοῦντες, οὐκ ὀνειδίζοντες. φυλακτέον δὴ ἐν τῷ τοιῷδε μὴ ἀκράτους προσάγειν τοὺς δάκνοντας λόγους, ἀλλὰ προσπλέκοντα αὐτοῖς ἠπίου τινὸς καὶ προσηνοῦς, οἷον μέλιτος πικρῷ μὲν ὠφελίμῳ δὲ πόματι. ὁ τοιοῦτος οὐκ ἐάσει δι' ἀηδίαν τό,τε φάρμακον ἀποῤῥίπτειν, καὶ τὸν ἰατρὸν ἀποκλείειν. ἰατρὸν δὲ ἐγὼ κακίας λέγω τοιαῦτά τε καὶ οὕτως εὑρίσκειν τὰ ἐπίκουρα τῶν νόσων, ὥστε ἐρεθίζειν τὰ ἀῤῥωστήματα. οὔκουν οὐδὲ ἐκεῖνον ἐπαινῶ τὸν ἄπαντα ἐπινοοῦντα τῷ κάμνοντι σιτία τε καὶ ποτὰ τὰ αὔξοντα καὶ ποικίλλοντα τὴν νόσον, οἰνοχόον ἢ τραπεζοποιὸν ἀντὶ θεραπευτοῦ γιγνόμενον. οὐκ ἄρα οὐδὲ ἐν φιλίᾳ τὸ σφόδρα. ἑκατέρα γὰρ ταῖν ἀλλοσέ ποι ἐκφέρει ἢ ὅποι δεῖ καταλῦσαι. ἡ μὲν γὰρ ἐπὶ κολακείαν ἄγει, τῆς δὲ ἑτέρας ἔχθρα ἡ τελευτή.

Huic enim lucrum ex officio, ſaturitáſque propoſita eſt: nec te colit, ac ſuſpicit, ſed opes potentiámque tuã. Quare neque ei cura eſt, quàm bene te habeas, quin potius ne quàm optimè te habeas, vt facillimè ſuum ex te compendium faciat. Amicus contra te vnum intuetur, tibique addictus vni eſt, nec quicquam tibi, ſi fieri poſſet, mali vellet contingere. Igitur paulatim euellendi morbi ſunt, vt neque vehementiorem dolorem adferas, neque nimium in medendo indulgeas. Sed quemadmodum Medici ferramento ſæpius omiſſo, adhibitis quibuſdam medicamentis citra dolorem morbis medentur; ita & tu amicum ad ſanitatem reuoca. Potes & ipſe medicamentis pro aduſtione ſectionéque ad eam curationem vti. Eiuſmodi porro medicamenta erunt pleni beneuolentia atque libertate ſermones, non iucundi, atque ad gratiam conficti: eiuſmodi enim alitur & fouetur ægritudo; ſed qui tametſi auſteri atq; veri ſint & libertate pleni, exprobratione ac cõtumelia careant. (Nam reprehenſio à conuitio plurimum differt, & ab opprobrio increpatio, nec animo dũtaxat loquentis, ſed vel ipſo etiam ſermone à beneuolentia ac libertate profecto) eiuſmodique ſint vt caſtigent quidem, minimè tamen conuitientur; corrigant, non probrum inferant. Igitur diligenter in eiuſmodi occaſione prouidendum eſt, ne acrem ac mordacem nimis orationem adhibeamus: quin potius ſuauitatis ei nonnihil ac dulcedinis admiſceamus, velvt mellis amarę alioqui, ſed vtili potiunculæ. Qui ſic erit comparatus, non illud committet, vt prę moleſtia potio reiiciatur, ac Medicus domo excludatur. Ego vero id Medico vitio vertendum eſſe dico, cum talia morborum remedia, atque ita excogitat, vt ægritudines ipſas irritet. Neque eum tamen laudo, qui ægroto indulgeat ciborũ genus omne potúſque quæ incrementũ morbo ac varietatẽ adferant, quique Pincernæ aut Structoris nõ Medici ſibi perſonã imponat. Quamobrẽ nihil in amicitia nimiũ volo: vtraque enim extremitas aliò quopiam quã quò diuertendum ſit, abducit. Altera enim in adulationem inducit, hæc in odium atque inimicitiam deſinit.

Calumnia porro vbique permoleſta quidem eſt, rixáſque ac contentiones vbique prouocat, quocumque ſe inſinuauerit: ac cum patre filium, fratrem cum fratre committit: à qua illa eſt d · Hippolyto Tragœdia excitata: eadémque ex ęquo vtrumque lędit, tam eum ſcilicet cui inſidias molitur, quàm qui à ſe decipitur, illum quòd iniquè perpeti aliquid cogitur, hunc, quòd inferre eam ipſam iniuriam compellit. Sed amicitiæ præ cæteris infeſtiſſima ſuapte natura eſt, & inſidioſiſſima. Quæ vbicũque ad votum ſuccedere ſibi conatus ſuos ſenſerit, perblande irrepens paulatim eum ſubruit ac manifeſtũ facit, qui nequaquam munitus atque imbecillus fuerit. Obſtruendum igitur illi eſt, atque incredulitate prohibendus aditus; valida in auribus noſtris arce conſtructa, vt procul illius impetus arceantur. Atque vt maximè in ipſo acceſſu reiicienda, ac propulſanda ſit, tamen ſi forte clam in interiora penetrauerit, caue illam exceptam occulas, aut intra ædes tuas admittere procures, ſed in apertũ illico profer, ac redargue. Videbis enim illam ſubita vertigine correptã ac tergiuerſantem, & verbis hæſitantem, ac prorſus attonitam. Quod ſi ſemel perpeſſa fuerit, in poſterũ moleſta eſſe deſinet, ſed ne tentabit quidẽ, nec propius accedet. Quicumque vero accedente illa gaudent ſtolidi, atque inepti homines, benignéque ſuas illi fores aperiunt, fructum humanitatis ſuæ minimè ferunt: de poteſtate enim ab ea deiiciuntur, vt nihil ab furioſis diſſideant. Vide quàm ſimiles planè ac germanæ vtrorumque actiones, atque affectiones ſint. Timent quippe ac ſuſpectos habent, quos minimè conueniret, vt qui aquã metuũt, aut quẽadmodum furioſus in ſcenis Oreſtes aduerſus ſororẽ vociferatur, quæ morbũ illius obſequio ſuo leuabat. Atque quod omniũ miſerrimũ eſt, contra amiciſſimos arma capiunt, eóſque libenter interficerent. Quod ipſum furioſi alterius opus eſt, alterámque ad tragœdiam pertinet. Æſopi vero fabularum ſcriptoris cùm alias ſępe meminiſſe vtile eſt, tum ea commemorare, quæ de calũnia pręclarè admodũ ſcriptis prodidit. Nam illam ſemper Vulpi attribuit, doloſæ atquę ignauę beſtiæ,

& ab

διαβολὴ δὲ χαλεπὸν μὲν ἁπανταχοῦ καὶ πολεμοποιὸν, οὗ αἰτιπεριφοροῦν, καὶ πρὸς παῖδα πατρὶ, καὶ πρὸς ἀδελφὸν ἀδελφῷ· καὶ τὸ δρᾶμα ἐκείνης καὶ ὁ Ἱππόλυτος, καὶ ἅμα ἀδικεῖ ἀμφοτέρους, ᾧ τε ἐπιβουλεύει, καὶ ὃν ἐξαπατᾷ, τὸν μὲν, ὅτι πάσχει παρὰ δίκην, τὸν δὲ, ὅτι ἐργάζεσθαι ἀναγκάζει. ἀλλὰ φιλίας ἐχθρότατόν τε φύσει καὶ ἐπιβουλότατον παρὰ τὰ ἄλλα. καὶ ὅπου ἂν αἴσθηται αὐτὴν εὖ παραγουσῶν, ἠρέμα εἰσοικισαμένη κατὰ σμικρὸν ὑπορύττει καὶ ἐλέγχει τὸν ἄφρακτόν τε καὶ ἀσθενῆ. ἀποτειχιστέον οὖν αὐτὴν καὶ ἀποκρουστέον τῇ ἀπιστίᾳ, ἰσχυρὸν ἐν ταῖς ἀκοαῖς οἰκοδομησαμένους τὸ φυλακτήριον· ὥστε πόρρωθεν αὐτῆς ἀφεστάναι τὰς ἐπιβουλάς. καὶ μάλιστα μὲν ἀποκλείειν προσιοῦσαν καὶ ἀπωθεῖσθαι· εἰ δ' οὖν σε λάθῃ παρεισδῦσα, μήτοι κατακρύπτειν εἰσδεξάμενον, μηδὲ ἐντὸς ἔχειν ἐργαζόμενον, ἀλλ' εἰς φανερὸν προάγειν καὶ διελέγχειν. ὄψει γὰρ ἰλιγγιῶσαν εὐθέως, καὶ λιγυζομένην, καὶ βατταρίζουσαν, καὶ οὐκ ἔχουσαν ὅ,τι χρήσεται. καὶ εἰ τοῦτο ὑπομείνειεν ἅπαξ, οὐ μήποτε ἐνοχλήσει λοιπὸν, ἀλλ' οὐδ' αὖ ἀποπειράσειεν, οὐδ' αὖ προσέλθοι πλησίον. ὅσοι δὲ αὐτῇ τῶν ἀνοήτων ἥλωσάν τε προσπεσούσῃ, καὶ τὸ θυρεῖον εὐμαρῶς ἀνεπέτασαν, οὗτοι δὲ ἥκιστα ἀπολαύουσι τῆς φιλανθρωπίας. ἐξίστανται γὰρ ὑπ' αὐτῆς, καὶ οὐδὲν διαφέρουσι τῶν μεμηνότων. ἄθρει δὲ ὡς ὅμοια πάντα τὰ ἔργα αὐτῶν καὶ τὰ πάθη. δεδίασι γὰρ καὶ ὑφορῶνται οὓς ἥκιστα ἐχρῆν, ὥσπερ οἱ τὰ ὑδάτια εὐλαβούμενοι, ἢ ὥσπερ ὁ μελαγχολῶν Ὀρέστης ἐν ταῖς τραγῳδίαις πρὸς τὴν ἀδελφὴν βοᾷ θεραπεύουσαν τὸ νόσημα. τὸ δὲ ἁπάντων ἐλεεινότατον, ὁπλίζονται ἐπὶ τοὺς φιλτάτους, καὶ ἥδιστα ἂν κατακτείνοιεν. τοῦτο αὖ πάλιν ἑτέρου λυττῶντος ἔργον καὶ ἑτέρας τραγῳδίας. Αἰσώπου δὲ τοῦ μυθοποιοῦ πολλαχῇ τε ἄλλῃ μνημονεύειν ἐπωφελῶς, καὶ ὅσα εἰς διαβολὴν εὖ ἔχοντα ἀπολέλοιπεν. ἀεὶ μὲν γὰρ αὐτὴν τῇ ἀλώπεκι περιτίθησι, δολερῷ καὶ ἀνάνδρῳ θηρίῳ,

ποιεῖ δὲ ὑπ' αὐτῆς ἁλισκόμενα τῶν ζώων τὰ ἀλκιμώτατα. καὶ ὅντινα ἔχω πρεσβύτερον μῦθον εἴποιμι ἂν ὑμῖν, εἴ μου πράως ἀνέξεσθε παραβαλλομένου τοῖς σοφισταῖς. Ταύρω δύο μιᾶς ἡγείσθην ἀγέλης, ξυννόμω τε ὄντε καὶ ὅτι μάλιστα φίλω. ὁ λέων δὲ αὐτοῖν τὴν ξύστασιν ἐδεδίει· καὶ οὔτε αὐτοῖς ἐθάρρει, οὔτε δὴ αὐτοὺς τὴν ἀγέλην. κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος, ἔρχεται ἐπὶ τὴν κερδὼ, καὶ ξυμμαχίαν ὁμολογοῦσι. τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν, ὥστε προσσειείσκουσα τὴν μηχανὴν διέστησέ τε αὐτὼ καὶ ἐξέμηνε κατ' ἀλλήλοιν, καὶ παρέδωκε τῷ λέοντι δίχα ἑκάτερον εὐπετῆ καὶ εὔχειρον θήραν. τοῦτο μὲν ἡ τοῦ Αἰσώπου κερδώ. φύονται δέ τινες καὶ ἐν ἀνθρώποις ἀλώπεκες, μᾶλλον δὲ ἀνθρώπια σμικρά τε καὶ ἀνελεύθερα, τὰς ἀλώπεκας ὄπισθεν ἐφελκόμενα. οἱ δὲ αὐτῶν οὐκ ἀλώπεκας, ἀλλὰ δράκοντας ἰοῦ χαλεποῦ καὶ ἀτόπου μεστοὺς ὑφέρποντας, καὶ κρυπτομένους εὐνοίας καὶ φιλανθρωπίας παραπετάσμασιν, οὓς ἀπελαύνειν χρεὼν καὶ ἀποσοβεῖν πορρωτάτω. κηλούμεθα γὰρ πολλάκις καὶ γλυκαινόμεθα δάκνουσι, τὰ ἄκρα τῆς γλώττης μόνον ὁρῶντες, τὰ δὲ ἐντὸς οὐκ ἐθέλοντες εἰδεῖν. ᾧ δέ μοι δοκοῦσιν ὅμοιοι εἶναι, ἐθέλω ἀπεικάσαι, εἰ βούλεσθε. τεθέαμαι, οἶμαι, πολλαχοῦ Σκύλλης εἰκόνα οὐχ οἵαν Ὅμηρος διηγεῖται. Ὅμηρος μὲν γὰρ οὐδέν τι λέγει πλέον περὶ τῆς μορφῆς ἢ ὅτι τὸ θηρίον ἦν ἐν σπηλαίῳ διαιτώμενον, ἓξ κεφαλὰς ἔχον καὶ δυοκαίδεκα χεῖρας· οἱ πλάσται δὲ ἔτι μᾶλλον κομψεύονται ἐν τῷ ἔργῳ. ποιοῦσι γὰρ αὐτῆς τὰ μὲν ἀπ' ἄκρας κεφαλῆς ἄχρι λαγόνων, παρθένον, ἀπὸ δὲ τῆς ἰξύος, εὐθὺς εἰς τοὺς κύνας ἐκφερομένην, δεινοὺς ὄντας, καὶ σμερδαλέους· καὶ τρίστοιχοι μὲν αὐτῆς οἱ ὀδόντες, αἰωροῦνται δὲ αἱ κεφαλαὶ, ζητοῦσι δὲ ἰσάριθμον θήραν. μαντεύομαι οὖν ἐγὼ καὶ Ὅμηρον βούλεσθαι λέγειν ὅτι ὁ μὲν σοφὸς καὶ πολύμητις οἶδέ τε ὅλην ἀκριβῶς, καὶ οὐκ ἐξηπάτησεν αὐτὸν τὰ ἔξωθεν τοῦ θηρίου,

& ab illa fortiſſimas quaſque ferarum captas ac deceptas facit. Nec inuitus fabellam quandam, quam ad hoc ipſum in promptu habeo, vobis exponam, ſi me cum ſophiſtis certantem non grauatè tuleritis. Tauri duo eundem gregem ducebant, paſcendi ſocij ac ſumma inter ſe neceſſitudine deuincti. Porro leo illorum ſocietatem timebat, neque illos, neque illorum cauſa gregem inuadere audebat. Itaque fame enectus ad vulpeculam adit, & cum ea ſocietatem paciſcitur. At illa vſque eò callida & malitioſa erat, vt adhibitis machinis eos à ſe inuicem diuulſerit, & in ſeſe concitauerit; atque ita vtrumque ſenſim egregiam ac facilem prædam leoni præbuerit. Hæc Æſopi vulpecula. Exiſtunt autem etiam inter homines vulpeculæ quædam, ſiue homunciones potius exigui & illiberales, ponè vulpes ſecum attrahentes: alij verò, non vulpes ſed ſerpentes difficilis & horribilis veneni plenos, adrepentes, & beneuolentiæ atque humanitatis inuolucris obtectos, qui longiſſimè abigendi & expellendi ſunt. Demulceri enim nos ſæpius mordentibus ijs, atque exhilarari contingit, cum extremam duntaxat linguam cernimus, interiora vero nolumus peruidere. At ego cuinam ſimiles mihi videantur, ſi vobis libeat, imagine quadam adumbrare volo. Sæpe igitur, opinor, Scyllæ effigiem vidi, non qualem Homerus fuiſſe narrat (Homerus enim nihil aliud de forma eius dicit, niſi fuiſſe illam belluam in ſpecu degentem, quæ capita ſex, duodecim manus haberet) ſed Pictores elegantius quiddam in eo opere commenti ſunt. Nam à capite ad ilia vſque virginis ei ſpeciem tribuunt; à femore autem quod reliquum eſt in canes deſinere faciunt, horrendos illos, atque terribiles. Quorum ternus ordo dentium eſt, capita verò ſurſum erecta, ac parem numero prædam quæritantia. Iam id Homerum ſignificare hac fabula voluiſſe coniicio, ſapientem & callidum hominem totam accuratè belluam noſſe, nec ſuperiorum eius partium aſpectu deceptum fuiſſe,

ſed reſtitiſſe illico, atque arma cepiſſe, & ad certamen fuiſſe paratum, incautos vero atque imprudentes homines capi. Quod ſi quis non id ſibi Homerum voluiſſe putat, ſed id ſolum in fabula, quod apparet, intuetur, hic mihi videtur, ſi Scyllam conſpiceret, humanam quidem in ea formam conſpicaturus, canes vero nequaquam deprehenſurus. Quomodo ergo cauere iſtud poterimus, ac veram amicitiæ faciem, & malitiæ falſa contectæ imagine beneuolentiæ, diſcernemus? Vultis itaque, ne iterum in ſignis atque indiciis proferendis nimium importunus ſim, vti fabulam quandam oratione explicans, quæ in ea ſignificentur, conſideranda vobis relinquam? Etenim, quemadmodum Prodicus refert, quieſcenti, ac conſidenti Herculi tunc cum exceſſit ex ephebis, ídque animo reputanti, quonam inter homines vitæ genere vtens, & quodnam iter arripiens, quàm feliciſſimè ætatem traduceret, duæ ſeſe mulieres obtulere, quarum alteram ille Virtutem, Vitium alteram appellat. Quæ poſtquam ſingulæ commoda ſua dinumerarunt, viſumque Herculi eſt, ducem ſibi virtutem adſciſcere, hunc illa ſecum adducens, vt, inquit, magis intelligas, quàm rectè ſtatueris; tum in editum quendam ac ſublimem locum transfert, qui ex aperta vaſtáque planitie in altum tendebat, in qua duo inerant cacumina, quæ eminus intuentibus in vnum caput coaleſcere videbantur. Sed Virtus propius admoto Herculi vtraque faſtigia plurimum diſtare à ſe inuicem demonſtrauit: & hic, inquit, ad dexteram vertex ſacer Amicitiæ locus dicitur, comitis, ac ſororis meæ: alter vero huic oppoſitus, Simulationis eſt, quæ Vitij ſocia, ac contubernalis Dea eſt. Quare propius accede, & vtriuſque loci naturam, ac ſitum conſidera, ne forte eminus contemplatus vnum eſſe & eundem arbitrere, ſimúlque Prudentiam adiungere ſeſe illi iuſſit, eique patefacere atque explicare ſingula. Ergo collis vtriuſque radices, atque aditus ſimiles admodum, & inter ſe conuenientes oſtendit, iiſdem omnino floribus refertos, iiſdem conſitos arboribus:

ἀλλὰ παρετάξατο καὶ ὡπλίσατο, καὶ μάχεσθαι ἕτοιμος ἦν· οἱ δὲ ἀφύλακτοι τῶν ἀνθρώπων ἁλίσκονται. ὅπως δὲ μὴ δοκῇ οὕτως ὁ Ὅμηρος λέγειν, ἀλλ' ὁρᾷ μόνον τὸ φαινόμενον τοῦ μύθου, ἐπεὶ ἐμοὶ δοκεῖ καὶ τὴν Σκύλλαν ἰδὼν, τὴν μὲν ἄνθρωπον πλάσασθαι, τοὺς κύνας δὲ οὐκ ἂν δυνηθῆναι. πῶς οὖν δὴ φυλαξόμεθα καὶ κρινοῦμεν φιλίας τε ἐτήτυμον πρόσωπον, καὶ κακουργίας εὔνοιαν ὑποδυομένης; βούλεσθε, ἵνα μὴ σφόδρα ὦ φορτικὸς, σύμβολα αὖ πάλιν καὶ σημεῖα διδοὺς, μῦθόν τινα ὑφαπλώσας τῷ λόγῳ, καταλίπω διαιρεῖν ὑμῖν αὐτοῖς τὰ ἐμφαινόμενα; ὥσπερ γὰρ Πρόδικος λέγει, καθημένῳ τῷ Ἡρακλεῖ ἐφ' ἡσυχίας, ὁπηνίκα ἐξῆλθε τῶν μειρακίων, καὶ διασκοπουμένῳ ποῖός τις τῶν ἀνθρώπων, καὶ ποίᾳ χρησάμενος ἀτραπῷ τὸν βίον ὡς ἄριστα διέλθοι, ἐφάνησαν δύο γυναῖκες, ὧν τὴν μὲν, ἀρετὴν ἐκεῖνος ὀνομάζει, τὴν δὲ, κακίαν. ἐπεὶ γοῦν εἰπάτην ἑκατέρα τὰ αὐτῆς ἀγαθὰ, καὶ ἔδοξε τῷ Ἡρακλεῖ τὴν ἀρετὴν ποιήσασθαι ἡγεμόνα, λέγει αὐτὸν ἐκείνη παραλαβοῦσα, ἵν' ἔτι καὶ μᾶλλον ἴδῃς, φησὶν, ὅτι ὀρθῶς δοκιμάζεις. ἄγει οὖν ἐπί τινα τόπον ὑψηλόν τε καὶ ἀνεστηκότα ἐξ εὐρέος τε καὶ ἀναπεπταμένου πεδίου, οὗ δύο μὲν ἦσαν αἱ κορυφαὶ, πόῤῥωθεν δὲ ἐδόκει τοῖς θεωμένοις εἰς μίαν τελευτὴν ἀπολήγειν. ἀλλ' ἦγε ἀρετὴ προσάγουσα τὸν Ἡρακλέα πλησίον, ἔδειξέ τε τὰ ἄκρα πλεῖστον ἀπέχοντα ἀπ' ἀλλήλων, καὶ αὕτη μὲν, φησὶν, ἐπὶ δεξιᾷ κορυφὴ καλεῖται φιλίας ἱερὸς χῶρος, ἐμῆς ξυνοπαδοῦ τε καὶ ἀδελφῆς· αὕτη δὲ ἡ ἐπὶ θατέρᾳ, ὑποκρίσεως, κακίας ξυνονόμου δαίμονος. πρόσιθι οὖν ἄγχου, καὶ ἐπισκόπει τὴν φύσιν ἑκατέρου τοῦ χωρίου, μή ποτε ἐν αὐτῷ πόῤῥωθεν ὁρῶν ὑπολάβοις. καὶ ἅμα ἐκέλευσε τὴν φρόνησιν συμπαροῦσαν ἐπιδείκνυσαι τὰ ἕκαστα, καὶ ἐξηγεῖσθαι. ἐδείκνυεν οὖν ἐκείνη τοὺς μὲν πρόποδας τοῖν λόφοιν σφόδρα τε ὁμοίους καὶ προσεοικότας ἀλλήλοιν, τοῖς αὐτοῖς μὲν ἄνθεσι βρύοντας, τοῖς αὐτοῖς δὲ φυτοῖς,

εἰ μὴ ὅσον τὰ μὲν τὸν ἅπαντα ἔῤῥωτο χρόνον, τὰ δὲ εὐθὺς ἐβλάστανέ τε καὶ ἐμαραίνετο. ἔῤῥει δὲ καὶ νᾶμα ἐξ ἑκατέρας τῆς ἄκρας ψυχροῦ τε καὶ διαυγοῦς ὕδατος· ἀλλὰ τὰ μὲν δι᾽ ὅλου τοῦ ῥείθρου γλυκέα τε ἦν καὶ προσηνῆ, τὰ δέ, κάτωθεν μὲν γενομένῳ γλυκύτερά τε ἐδόκει, προσιόντι δὲ ἐγγὺς τῆς πηγῆς, πικρά τε καὶ φαρμακώδη, σπασμὸν ἐμποιοῦντα καὶ ἴλιγγον τοῖς πιοῦσιν ἐκ τῆς χρόας ἀπατηθεῖσι· τὰς κορυφάς τε αὐτὰς οὐκέτι ὁμοίας, ἀλλὰ πάμπολυ διαφερούσας. ἐδείκνυέ τε τὴν ἐπὶ δεξιᾷ πρότερον ἄλσει τε σύσκιον δένδρων ἀειθαλῶν κυπαρίττου καὶ δάφνης, καὶ φυτῶν εὐκάρπων μεστήν· λεπταὶ δὲ αὐτὰ περιέπνεον αὖραι, οἷαι τρέφειν τε καὶ αὔξειν, οὐχ οἷαι καταῤῥηγνύναι καὶ διασπᾶν. πολὺ δὲ ἀθόρυβος ἡσυχία καὶ εὐφροσύνη κατεῖχε τὸν τόπον· καί τινες ἐφαίνοντο ἄνθρωποι σφόδρα ὀλίγοι, προσιόντες τε καὶ ἀπιόντες μεθ᾽ ἡδονῆς τῷ αὐτῷ προσώπῳ. καθῆστο δὲ ἐπ᾽ ἄκρας τῆς κορυφῆς παρθένος εὐειδὴς μὲν οὔ, ὡραία δέ, ἀληθινοῦ καὶ ἀρχαίου γέμουσα κάλλους, ὁποῖα τὰ ἀγάλματα τῆς παλαιᾶς τέχνης, ἃ χρόνου δεῖται εἰς τὸ θαυμάσαι καὶ ὀφθαλμῶν ἀκριβεστέρων. ἀμφίεστο δὲ λευκόν τινα κόσμον ἰκέον διαφανῶν καὶ λεπτῶν ἱματίων, ὥστε πολλαχῆ καὶ τοῦ σώματος διαφαίνειν. καὶ τὴν ψυχὴν εἶχε τοῦ σώματος φανερωτέραν. ἦν γὰρ αὐτῆς τὸ μὲν βλέμμα ἁπλοῦν καὶ γενναῖον, τὸ μειδίαμα δὲ ἑστηκὸς καὶ οὐ μετατρεπόμενον. εἰ δέ τις αὐτῇ προσέλθοι σεβασθείς τε καὶ θαυμάσας, οὐ χρυσίον ἢ ἀργύριον προσέτεινεν, ἀλλ᾽ αὐτὸν καλλίω καὶ μείζω, διπλασίονα πολλάκις ἢ τριπλασίονα. ὁ γοῦν Ἡρακλῆς ἠγάσθη τε αὐτῆς, καὶ προσηύξατο ἵλεων τυγχάνειν· καὶ ἐπήρετο τὴν Φρόνησιν, τίνες δὲ αἱ πλησίον αὗται γυναῖκες; ὡς καλαί τε καὶ πρέπουσαι ὀπαδοὶ τῆς θεοῦ. αὕτη μέν, εἰπεῖν, ἡ τὸ πολὺ φῶς κατέχουσα, καὶ ἐπὶ τοῦ ἀδάμαντος καθημένη, Διὸς θυγάτηρ ἀλήθεια·

niſi quòd hæc quidem omni tempore firma erant, ac vegeta, alia ſubinde germinare & marceſcere videbantur. Vtroque porro ex colle frigidi ac pellucidi laticis fons ſcaturiebat. Sed horum alter totus dulcibus ac iucundis aquis manabat: alterius ſi aquam inferius guſtares, dulciorem etiam crederes, vbi vero proximè fontem ipſum perueniſſes, amaram & venenatam putares, quæ conuulſionem vertiginémque iis adferret quos ad bibendum color inuitaſſet. Iam ſummitates ipſas planè diſſimiles, atque omnino contrarias iudicabat: nam quæ ad dexteram prior eminebat, arborum erat perpetuò virentium, cupreſſi ac lauri opaca nemoribus, fructuoſiſque arboribus conſita. Omnia lenibus auris perflabantur, quæ alere atque augere ſtirpes, non perfringere atque euellere poſſent. Plurimum autem vacuæ & tranquillæ quietis, & oblectamenti locum illum obtinebat, paucique admodum viſebantur, eodem ſemper vultu, ſumma cum lætitia vltro citroque commeantes. In ſummo Virgo quædam ſedebat, minimè quidem formoſa, ſed decora nihilominus, & vera, & antiqua pulchritudine viſenda, qualia eſſe ſolent antiqui operis ſimulacra, quæ ad ſui admirationem moram temporis & curioſiores oculos deſiderant. Cæterum pro amictu ornatus ei erat ex pellucida ac ſubtili veſte, adeo vt multis in partibus nudum corpus appareret: ſed anima corpore magis erat ipſo perſpicua. Nam aſpectum ſimplicem habebat, ac generoſum: conſtantem, nec mutabilem riſum. Ac ſi quiſpiam ad eam venerabundus, ac ſuſpiciens accederet, non ei aurum aut argentum repræſentabat: ſed ipſummet illum duplo ſæpius ac triplo pulchriorem, ac maiorem. Igitur Hercules eius aſpectu obſtupefactus eſt, ſibique vti propitia eſſet, obſecrauit. Tum à Prudentia ſciſcitatus eſt, quænam eſſent vicinæ iſtæ mulieres, vtpote ſpecioſæ, & Diuæ comitatu dignæ. Hæc (reſpondit illa) quæ vberrimam illam lucem tenet, & in adamante conſidet, Veritas eſt Iouis filia.

Altera vero quæ caput inclinat, & quieſcit, Beneuolentia dicitur. Huius ad omnia miniſterio Dea vtitur. Puer ille cuius grauitas quàm pro ætate maior eſt, quíque aurea ambabus manibus vincula tenet, Amor eſt, amicitiæ miniſter ac famulus, alis autem ac iaculis caret, quia minimè volare cupit, & ſine ſanguine quod vult efficere ſolet. Nam quoſcumque honeſtos ac probos, itáque ſibi inuicem congruentes viderit, eos mutuo conglutinat ac deuincit. Porro illius vincula nullo pacto diſſolui frangíque poſſunt, ſoliſque iis qui vincti, ſunt gaudent. Quin tu ades, inquit, & alteram contuere, in quam plerique omnes incidunt. Plurimùm ergo aditum monſtrabat, priori illi, vti dixi, penitus ſimilem: inde exitum ipſum, arduam videlicet ac præruptam rupem, picea nube in ſummo vertice obductam, vtrinque præcipitia, atque immenſæ voragines cingebant, & acerui oſſium humanorum collecti, venenatorúmque inſuper ac mortiferorum ſerpentium. Tum ſimulationem oſtendit ad amicitiæ ſimilitudinem componentem ſe, atque fingentem. Verùm pro ſincero ac germano decore fucata ei ac depicta facies erat, pro ſereno riſu, ſubdolo quodam rictu ora diducebat: & vt amabilis videretur introeuntibus amoris quędam indicia demonſtrabat: cúmque nemo ſponte accederet, procul accurrens proſternebat ſe, atque obuiam prodibat, enixéque ſupplicans deducebat. Aderat illi mulierum turba, prioribus nequaquam ſimilis, fraus videlicet, inſidiæ, atque ignauus dolus, pro veritate periurium comes erat, petulans, audax, atque infidum, quod præ cæteris ſuam illi operam atque auxilium commendabat. Ibi Hercules forte mulierem quandam in limine claudicantem videns, quęnam ea eſſet: Prudentiam percontabatur. At illa: Adulatio eſt, dixit, ſimulationis emiſſaria, eadémque Dea, ingredientibus, vti cernis, inſidias parans, eos complectitur, ac mirifica quædam facit, blandè omnes demulcens, & ad fiduciam atque aſcenſum inuitans. Sed quænam illa eſt triſtis, ac demiſſa, quæ paucos

plangentes

ἡ δὲ ἐπικλίνουσα τὴν κεφαλὴν αὐτῇ καὶ ἐπαναπαυομένη, καλεῖται μὲν Εὔνοια, χρῆται δὲ ἡ θεὸς αὐτῇ πρὸς ἅπαντα, διακόνῳ. τὸ δὲ παιδίον ἐκεῖνο τὸ σεμνότερον τῆς ἡλικίας, ὃ τὰ χρυσέα φέρει δεσμὰ ταῖν χεροῖν, ἔρως φιλίας ἐστὶν ὑπουργός. οὐκ ἔχει δὲ οὐδὲ πτερὰ οὐδὲ βέλη. ὅτε γὰρ πέπεισται βούλεται, καὶ ἀναίμακτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οἵους ἂν καλούς τε καὶ ἀγαθοὺς καὶ οὕτως ἁρμόζοντας ἴδῃ, τούτους ξυγκολλᾷ καὶ συνδεῖ· καὶ αὐτοῦ τὰ δεσμὰ ἄλυτα καὶ ἄρρηκτα παντελῶς, καὶ μόνοις γάνυνται οἱ δεδεμένοι. ἀλλὰ δεῦρο, ἔφη, καὶ θέασαι τὴν ἑτέραν, εἰς ἣν ἐμπίπτουσιν οἱ πολλοί. καὶ δῆτα πρῶτα μὲν αὐτοῦ τὰ περὶ τὴν εἴσοδον ὑπεδείκνυε, τοῖς προτέροις, ὥσπερ ἔφην, ἐξῃκασμένα, ἔπειτα αὐτὸ τὸ ὄρος, ὄρθιον καὶ ἀπότομον πάγον, κυανῇ νεφέλῃ τὰ ἄκρα κεκαλυμμένον, κρημνοὶ δὲ αὐτὸ καὶ φάραγγες περιεῖχον, καὶ θῖνες ὀστῶν ἀνθρωπίνων σεσωρευμένοι, μεστὰ δὲ ἅπαντα, δακετῶν θανασίμων καὶ ἰοβόλων. ἔπειτα αὐτὴν τὴν ὑπόκρισιν προσποιουμένην καὶ ἀφομοιοῦσαν ἑαυτὴν τῇ φιλίᾳ· ἀλλ' ὅμως αὐτὴ μὲν ἀληθινοῦ κάλλους τὸ πρόσωπον ὑπεγέγραπτο, αὐτὴ δὲ γαληνοῦ μειδιάματος, ὕπουλον ἐσεσήρει· ἵνα δὲ φαίνοιτο ἐρασμία, ἐρᾶν αὐτῇ προσεποιεῖτο τῶν εἰσιόντων· οὐδενὸς δὲ αὐτομάτου προσερχομένου, πόρρωθεν ἐκτρέχουσα ὑπέκυπτε καὶ ἀπήντα, καὶ λιπαροῦσα ἀνῆγε. περὶ ἣν δὲ αὐτῇ καὶ γυναικῶν ὅμιλος, οὐδὲ ταῖς προτέραις ὅμοιαι, ἀπάτη, καὶ ἐπιβουλή, καὶ δόλος ἀγεννής· αὐτὴ δὲ ἀληθείας ἐπιορκία περὶ ἣν, ἰταμὴ καὶ θρασεῖα καὶ ἄσπονδος, μάλιστα δὲ ἁπασῶν συμπαρέπουσα ἐκείνῃ καὶ συνεργοῦσα. ἰδὼν δὲ Ἡρακλῆς γυναῖκά τινα κατὰ τὰς εἰσόδους οἷον γελῶσαν, ἤρετο τὴν Φρόνησιν ἥτις εἴη. κολακεία, ἔφη, πρόδρομος ὑποκρίσεως, δαίμων αὕτη, ὡς ὁρᾷς, ἐνεδρεύουσα τοὺς εἰσιόντας, προσπλέκεται καὶ θαυμαστὰ δρᾷ, γοητεύουσα, πείθουσα θαρσεῖν τε καὶ ἀνιέναι. τίς δὲ ἡ σκυθρωπὴ ἐκείνη καὶ συννοῦς, ἢ τοὺς

ὀλίγους καταγνοῦσα κεκολασμένοις τε καὶ ἀσθμάζοντας; μετάνοια, ἔφη, βραδεῖα καὶ οὐ σφόδρα εὐχερὴς δαίμων. ὅπως δὲ τινας οὐκ ἐᾷ πάμπαν ὑπὸ τῷ ἑρπετῷ ἀπομυζηθῆναι, ἀλλ' ἀνίστησιν ἔτι πνέοντας, καὶ οἴκαδε ἀποσώζει. *

ΤΟΥ ΑΥΤΟΥ ΣΟΦΙΣΤΗΣ,

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

ΑΡΑ οἴεσθέ με, ὦ ἄνδρες, ἐπιδεῶς ἔχοντα ἔτι κρότου τε καὶ ἐκβοήσεων, ὧν δαψιλῶς μοι εἰώθατε χορηγεῖν ἑκάστοτε, ὅταν λέγω, ἐγεῖραί τε αὖ καὶ τήμερον ἀγεῖραι ἀναβῆναι ἐπὶ τοῦ βήματος, καὶ ἑτοίμως δέχεσθαι καὶ ἀγαπᾶν τοὺς θορύβους οὓς αὖ δίδωτε ἐπὶ τοῖς ῥήμασιν; ἐμοὶ δὲ ἡδὺ μὲν δοκεῖ εἶναι καὶ πολλοῦ ἄξιον ἄκουσμα ἔπαινος ἄδολος καὶ ἀληθινός, ὁποῖος ὁ παρ' ὑμῶν ἀπαντᾷ μοι ἀεί, αὐτοκέλευστος καὶ αὐθυπαγγελίας· οὐ μὴν τούτου γε ἕνεκα φανείην ἂν πράγματα παρέχων ὑμῖν καὶ διοχλήσεις. ἀλλ' ἐγὼ μὲν ἴσημι ὅταν εἰσίω ὅπως ἄν τι νουθετήσαιμι, ἢ διδάξαιμι, ἢ προσαξοίμην ὑμῖν εἰς εὔνοιαν πλείω τὸν ἀρχηγέτην, ἢ καὶ εὐθύνας ὑπόσχοιμι οὐδὲν δεομένοις. ὑμεῖς δὲ ὑπὸ δεξιότητος καὶ φιλανθρωπίας θέατρά μοι ποιεῖτε τὰς ἐκκλησίας. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ τήμερον ἐγὼ μὲν ξυνήγαγον ὑμᾶς, ὡς δικαστάς μοι καθεδουμένους ὑπὲρ ὧν αἰτίαν ἔχω παρανομεῖν· ὑμεῖς δὲ τὸ εἰωθὸς ἀποδῶτε, καὶ βοήσεσθε ἀναπηδῶντες, ἐπιλαθόμενοι ὅτι ψήφου κύριοι ἥκετε, καὶ οὐ πανήγυρις τοῦτό ἐστιν, ἀλλὰ δικαστήριον ἐμμελέστερον καὶ σοφώτερον τοῦ εἰς ἕνα καὶ χιλίους, οἷς ἐπιτέτραπται ἐκ τῆς ψήφου ἐξενεγκεῖν ὅ,τι χρὴ παθεῖν τὸν ἁλόντα.

plangentes ac ingemiſcentes deducit? Pœnitẽtia, inquit, tarda, nec opportuna admodum Dea. Quomodo vero aliquot non ſinat planè à ſerpentibus exſugi, ſed ſpirantes adhuc erigat, & domum incolumes reducat * .

Deſunt multa.

EIVSDEM SOPHISTAE.

ORATIO IIII.

NVM me etiam num creditis (Auditores) veſtro illo plauſu, atque clamoribus indigentem, cuiuſmodi mihi à vobis cum dico identidem conferuntur, rurſum hûc vos congregaſſe, & hodierna die in ſuggeſtum aſcendiſſe: atque illos auidè excipere, & amare ſtrepitus, quibus verba mea proſequi ſoletis? Mihi verò tametſi auditu iucunda ſit, magnique à me laus illa fiat, quę ſincera ſit, atque ſimplex, cuiuſmodi mihi perpetuo à vobis impenditur, ſuapte nimirum ſpõte ac ſine ambitu conceſſa, nequaquã tamen huius rei cauſſa, quicquam vobis negotij feciſſe, aut moleſtus fuiſſe videar: verùm ego prodeo quotieſcumque prodeo, vti vel caſtigem vos aliqua in re, vel doceam, vel maiorem in vobis erga Ducem ac Principem amorem ac beneuolentiam prouocem, vel denique vt etiam nihil interrogantibus vobis rationem reddam. Vos autem pro vrbanitate atque humanitate veſtra Theatra mihi ex concionibus facitis. Quare nihil mirum eſt ſi hodierna die cum vos coegiſſem, vt mihi iudices in ea quam ſuſtineo, violatarũ legum cauſſa eſſe velletis, vos mihi pro eo ac conſueſtis, faciatis, ac proſiliendo clámores excitetis, obliti vos ſententiæ ferendę ac diſceptandi gratia conueniſſe, nec mercatum illum, ſed conſeſſum iudicum eſſe, eo longè elegantiorem, ac ſapientiorem, qui vno ſupra mille conſtat, quibus commiſſum illud eſt, vti tabula ſua ſententiáq; decernãt, quo ſupplicio quáve is multa qui condẽnatus eſt,

afficiatur. Sed in eo primum nolite mihi quæſo obſtrepere, quod cum neque reus ab vllo factus ſim, nec alium fecerim, neque vadimonium mihi quiſquam denuntiauerit, nec alterum apud vos in iudicium vocauerim, iudices nihilominus vos conſtituam, cauſamque mihi agendam denuntiem. Hoc enim ipſum tam inſolens támque inuſitatum, non per me factum, ſed ab accuſatoribus meis profectum intelligetis, qui vſque adeo graues ac metuendi ſunt, vt quales ij demum ſint, ne ipſe quidẽ ſatis ſciam. At illi occultè ſua in me iacula contorquent, velvt olim Platæenſes, cũ ex obſidione noctu fugerent, in Pelopõneſios cũ facibus inſequẽtes tela è tenebris conijciebant. Quare iacula quidẽ hinc & inde circumfuſa, atque cõferta ſunt, atque & plurima, & varia, nec ex vna omnia pharetra deprompta, iaculatores vero ipſos neque noui neque noſſe admodum cupio: ſed hoc vno contentus ſum, quod cum hoſtes mei ſint, adeo tamen ſint ignaui, nec vllus ad animam ipſam peruenerit, ſed neque corporis partem vllam perſtrinxerit, nec denique armaturę quicquam penetrare ac perfringere potuerit: imo quo plura & vehemẽtiora in me iecerint, eo magis armorum ſoliditatem ac firmitatem patefaciũt: quæ non Vulcanus ille mihi in Olympo fabricauit, ſed Philoſophię largitores ac Præſides Dij: qui quidem quẽcumque armis munierint, impenetrabilẽ multo melius quàm Cæneum efficiunt; nec quicquam ſemihomines aut ſemiferi promouẽt, cum in vnum collati quercubus atque abietibus impetunt, ſed integer conſtánſque perſiſtit. Atque is ſane potiori iure gloriari atque efferre ſeſe poteſt, qui hominum iniquitatem æquo animo ferat, quàm gloriabatur ille vindicatis hoſtibus, cũ ſeptem talẽtorum lapidem humeris geſtaret. Igitur quoniam illi ipſi qui me iaculis petunt, prodire in lucem non ſuſtinent, & apud vos, quemadmodum facio, in medium atque ante oculos omnium procedere, ſed in angulis ac latebris deliteſcunt, ſagittas vero ipſas neſcio qua ex parte decidere, & ante pedes volutari ſentio; age humo ſublatas numerabo & confringere conabor, ſi potero, ac dentalium,

ἢ ἀποτίσαι. καὶ πρῶτον δὲ ἐκεῖνο μὴ θορυβεῖσθε, ὅτι οὔτε φεύγων ἐγὼ οὔτε διώκων, οὔτε προσκεκλημένος ὑπό του, οὔτε ἕτερόν τινα πρὸς ὑμᾶς εἰσάγων, ὑμᾶς τε δικαστὰς ποιοῦμαι, καὶ αὐτός φημι ἀγωνίζεσθαι. ὃ γὰρ δὴ λίαν ἄτοπον τοῦτο καὶ θαυμαστὸν οὐ περὶ ἐμὲ ὄψεσθε συμβαῖνον, ἀλλὰ παρὰ τοῖς ἐμοῖς κατηγόροις, οἳ οὕτως ἄρα δεινοί εἰσιν, ὥστε οἵ τινες μέν εἰσιν οὐδὲ ἐγὼ οἶδα. τοξεύουσι δὲ ἀφανῶς, ὥσπερ οἱ Πλαταιεῖς ποτε Πελοποννησίους, ἀποδιδράσκοντες ἐν νυκτὶ τὴν πολιορκίαν, ἔβαλλον ἀπὸ τοῦ σκότους διώκοντας μετὰ λαμπάδων. καὶ δὴ τὰ μὲν βέλη περικέχυταί μοι ἔνθεν καὶ ἔνθεν ἀθρόα καὶ πολλὰ καὶ ποικίλα, καὶ οὐδὲ ἐκ μιᾶς ἰοδόκης· τοὺς δὲ βάλλοντας οὔτε γινώσκω, οὔτ' ἂν βουλοίμην· ἀλλὰ ἀγαπῶ ὅτι πολέμιοι ὄντες οὕτω φαῦλοί εἰσι, καὶ οὐδεὶς αὐτῶν ἥψατο τῆς ψυχῆς, ἀλλ' οὐδὲ ἐπέγραψέ τι τοῦ σώματος, οὐδὲ ἤλεγξέ τι τῶν φραγμάτων· ἀλλ' ὅσῳ περ ἂν πλείω καὶ ἐντονώτερα μοι ἐπιτοξάζωνται, τοσῷδε ἐκφαίνουσι μᾶλλον τῶν ὅπλων ὃ στεγανόν τε καὶ ἄρρηκτον, ἃ Ἥφαιστος μὲν οὐκ ἐχαλκεύσατό μοι ἐν τῷ Ὀλύμπῳ, θεοὶ δὲ οἱ φιλοσοφίας δοτῆρες καὶ παραστάται, οἳ ὅν τινα ἂν περιφράξωνται, ἀκριβῶς ἄτρωτον ποιοῦσι μᾶλλον ἢ τὸν Καινέα. καὶ οὐδὲν ἀνύτουσιν οἱ μιξάνθρωποι ἢ μιξόθηρες ἀλιζόμενοι καὶ παίοντες δρυσὶ καὶ ἐλάταις, ἀλλὰ ἀκέραιος διαμένει καὶ ἀκλινής· καὶ προσήκει αὐτῷ μεῖζον φορτίον φέροντι ῥᾳδίως ἀγνωμοσύνας ἀνθρώπων, ἢ ἐφέρεν ἐκεῖνος ὁ ἐξαμμύας, φέρων ἐπὶ τῶν ὤμων τὸν λίθον τὸν ἑπτατάλαντον. ἐπεὶ οὖν οἱ μὲν βάλλοντες, εἰς τοὐμφανὲς προελθεῖν οὐκ ἐθέλουσι, καὶ στῆναι ἐν μέσῳ παρ' ὑμῖν οὑτωσὶ καὶ ἐν περιόπτῳ, ἀλλ' ἐν γωνίαις που καταδεδύκασιν ἢ χηραμοῖς, τοὺς δὲ οἰστοὺς ὁρῶ πίπτοντας οὐκ οἶδα ὅθεν, καὶ ἐν ποσὶ κυλινδουμένους· φέρε διαριθμήσωμαί τε αὐτοὺς ἀνελόμενος ἐκ τῆς γῆς, καὶ πειραθῶ διακλάσαι, ἣν δύνωμαι, καὶ ἐπι-

δεῖξαι τὴν ὄγκων τὴν μαλακότητα, καὶ διαθρῆσαι εἰ δή τινες εἶεν φαρμάκῳ ἀληλιμμένοι. ἴσως δ' ἂν καὶ πυκνὰ ἐπαφώμενοι καὶ μεταστρέφοντες, εὕροιμεν ἄγχου τῶν γλυφίδων καὶ τοὔνομα τοῦ βάλλοντος ἐγκεχαραγμένον· ὅθεν περ καὶ Φιλίππῳ ἐφωράθη τῷ Μακεδόνι πολιορκοῦντι Μεθώνην ὁ βαλὼν ἐκ τοῦ τείχους τοξότης. Αστὴρ ὄνομα ἦν τῷ ἀνθρώπῳ, καὶ ἐγκέκαυτο ἐν τῷ βέλει. εἶεν. ἀλλ' ἀνάγειν χρὴ ἐκ τῆς εἰκόνος, καὶ ἅπτεσθαι ἀληθινῶς τοῦ ἀγῶνος. δοκεῖ οὖν μοι χρήσασθαι προοιμίῳ, ὥσπερ οἱ ῥήτορες ποιοῦσι καθιστάμενοι τὸν λόγον. καὶ δὴ ἐχέτω ὧδέ μοι τὸ προοίμιον, ὅτι μηδὲν καινὸν οὗτοι νῦν οἱ ἐμοὶ κατήγοροι διαπράττονται, ἀλλ' ὅπερ πάλαι εἴωθε, καὶ ἐν τῇ φύσει ἐστὶ καὶ τῇ ἀνθρωπίνῃ, ἐξ οὗ φιλοσοφία παρὰ θεῶν ἐν γῇ ἐφάνη, τοῦτο αὖθις καὶ νῦν ὥσπερ νόσημα περιτρεπόμενον ἀνακυκλεῖται. ποιεῖται μὲν γάρ που καὶ τἆλλα ἀγαθὰ τοὺς κεκτημένους ἐπιφθόνους τε καὶ ἐπιβούλους καὶ βαρεῖς τοῖς τῶν αὐτῶν οὐ μετέχουσι, κἂν μηδ' ὁπουοῦν ἀδικῶνται· καὶ τῷ πένητι οὐχ ἡδὺ ὁρᾶν τὸν πλούτῳ σεμνυνόμενον, καὶ τῷ ἀφίππῳ, τὸν ἱππικόν, καὶ τῷ ἀσθενεῖ, τὸν ῥωμαλέον· σοφία δὲ ὅσῳ μεῖζον καὶ τελεώτερον ἀγαθόν, τοσούτῳ πλείους ἐγείρει τε καὶ ἀνίστησι πρὸς τὸν ἔχοντα ἢ δοκοῦντα. καὶ τοῦτο ἄνωθεν ἀρξάμενον ἐκ Πυθαγόρου, ὥσπερ κλῆρός τις ἀναγκαῖος διαδόσιμος συμπαρέμεινε τοῖς ἀπ' ἐκείνου ἐκγόνοις. αὐτός τε γὰρ ὁ Μνησάρχου τοσόνδε ἄρα ἀπέλαυσε τῆς πολυυμνήτου σοφίας ὥστε μετανάστης ἀεὶ διεβίω, διὰ τοὺς βασκαίνοντας καὶ κωλύοντας, ἐκ Σάμου μὲν εἰς Κρότωνα, διὰ Πολυκράτην, ἐκ Κρότωνος δὲ εἰς Λοκρούς, διὰ Γύλωνα· Λοκρῶν δὲ οὐχ εἷς ἤδη ἀλλὰ πάντες Λοκροὶ οὐχ ὑπέμειναν Πυθαγόρου τὴν ἀρετήν, ἀλλὰ μετεστήσαντο εἰς Τάραντα καὶ παρέπεμψαν· Ταραντῖνοι δὲ αὖθις, ὥσπερ φορτίον, εἰς Μεταπόντιον· οὗ δὴ καὶ ἐτελεύτησεν ἐν τῷ τεμένει τῶν Μουσῶν, τετταράκοντα, ὥς φασιν, ἡμέρας φεισάμενος σίτου.

atque cuſpidum imbecillitatem oſtendere, quin illud etiam deprehendere, aliquáne ex iis ſint veneno delibuta. Ac neſcio an ſi ſæpius contrectauerimus, & verterimus, prope crenas ipſas inſculptum iaculatoris nomen inueniamus: vnde Philippus Macedo Methonem obſidens ſagittarium cognouit, à quo fuerat telo vulneratus. Aſter homini nomẽ fuit, quod ſagittę inuſtum fuerat. Sed hæc miſſa faciamus. Nunc ab ſimilitudine conuertenda oratio eſt, & ad rem ipſam ac certamen veniendum. Mihi igitur tali quodam exordio vtendum videtur, quẽadmodum in cauſa & oratione conſtituenda facere oratores ſolent: inde inquam dicendi initium ſumendum eſt: Nihil noui in præſentia meos illos accuſatores ſuſcipere, ſed quod iampridem fieri aſſolet, quódque naturæ hominum planè inſitum eſt, ex quo in terras diuinitus delapſa Philoſophia eſt, hoc iterum modo ſic quaſi morbum per circuitus ac vices reuolui. Cætera quippe bona poſſeſſores ſuos iis quibus ea non ſuppetunt, inuidioſos, ſuſpectos, graues atque intolerabiles reddunt, etſi nulla iniuria affecti ſint. Nec enim pauper, diuitiis elatum libenter intuetur, nec equitandi peritum imperitus, nec valentẽ imbecillus. Sapientia vero quo præſtabilius atque perfectius bonum eſt, eo plures aduerſus illum impellit atque excitat, qui ea vel prędìtus ſit vel eſſe videatur. Eáque velut neceſſaria quędam hæreditas iam inde initio à Pythagora transfuſa perpetua quadam ſucceſſione in illius poſteris permanſit. Siquidem ille Mneſarchi filius hunc de celebri illa ſapientia fructum cepit, vt peregrinando ætatem omnem traduceret, propter certos homines, qui inuidere illi ac laceſſere non deſiſterent. Primum enim è Samo Crotonem ob Polycratem fugit, tum propter Gylonem Crotone Locros conceſſit. Locrorũ deinde nõ vnus dumtaxat, ſed fermè omnes Pythagoræ virtutem ferre nõ potuerunt, ac Tarentum relegarunt. Tarentini vero rurſus tanquam mercimonium aliquod Metapontum deportarunt, vbi & obijſſe dicitur in Muſarum templo: cũ iam, vt aiunt, quadrageſimum in diem inediam protraxiſſet.

Nam quæ contigêre Socrati quid eſt quòd quiſquã commemoret? Omnium enim in auribus Melitus, & Anytus, ac Lyco percrebuit. Platoni vero nonne huc vſque exprobrare omnes ſolent, ter illum in Siciliam pecuniæ atq; argentariæ cauſa profectum? Cephiſidoros autem, & Eubulidas, ac Timæos, Dicæarchos item, reliquúmque omnem eorum exercitum, qui in Ariſtotelem Stagiritem inuecti ſunt, qui facilè percenſeam, quorum ſcripta ad hæc vſque tempora, tãquam implacabilis odij atque acerbitatis monimenta, peruenerunt? Quare quid ego ſuccẽſeam (Aud.) ſi cum omni tempore id pugnauerim, vt eos viros, quoad facere poſſem, imitarer, eadem ſim cum Ducibus meis expertus, & in iiſdem conſectandis veſtigiis ad eoſdem ſcopulos offenderim? Si inquam, velvt examẽ quoddam aculeatorum fucorum in me ipſum excitauerim, non quidem ſponte nec certo animi conſilio: ſed quod ea rei huius natura ſit, cui me totum tradidi, quam impenſe diligo, quam vitæ ipſi atque animæ pręfero? Neque vero ſi mercaturam agerem, pacatum mihi ſemper ac placidum mare, aut ſecundos ventos, aut ex mercibus perpetua opũ incrementa pollicerer: ſed & procellas, & ſcopulos & eiectionem mercium, ac nonnunquã etiam prędonũ incurſiones, fluctibus ipſis atrociorẽ tempeſtatem perhorreſcerẽ. Quin hoc ipſum argumẽto mihi eſſe debet, propius illorũ me veſtigia premere, nec multũ aberrare, quod quib. me calumniis ac conuitiis in pręſentia vellicant, non aliæ ſint, quã quas in diuinos illos atq; eximios homines inſani illi ac furioſi cõtulerunt. Nã, ſophiſta, & arrogãs, & nouitatis ſtudioſus, cõuitia ſunt primũ in Socratẽ coniecta, inde in Platonẽ, ac deinceps in Ariſtotelẽ, ac Theophraſtũ. Quare inde mihi arceſſenda potiſſimum defenſio eſt, vt illud appareat, ſit ne ſophiſtę appellatio ex rei veritate mihi impoſita, atque ex factis ipſis adhæreſcat, an potius illam veritas ipſa reſpuat, quantumuis in me coniiciatur. Quòd igitur olim honorifica illa ac plena dignitatis fuerit appellatio, Solonémque adeo ac Pythagoram Sophiſtas ab eius tempeſtatis hominibus vocatos fuiſſe, ex Comi-

τὰ δ' ἀμφὶ Σωκράτους τί ἂν θρυλλοίην; ἐμπέπλησαι γὰρ τὰ ὦτα τοῦ Μελίτου καὶ Ἀνύτου καὶ Λύκωνος. Πλάτωνος δὲ οὐ μέχρι νῦν καταβοῶσιν, ὡς τρὶς πλεύσαντος εἰς Σικελίαν ἐπὶ χρήμασι καὶ τραπέζῃ; Κηφισοδώρους δὲ καὶ Εὐβουλίδας καὶ Τιμαίους, Δικαιάρχους καὶ στρατὸν ὅλον τῶν ἐπιθεμένων Ἀριστοτέλει τῷ Σταγειρίτῃ πότ' ἂν καταλέξαιμι εὐπετῶς, ὧν καὶ λόγοι ἐξικνοῦνται εἰς τόνδε τὸν χρόνον, διατηροῦντες τὴν ἀπέχθειαν καὶ φιλονεικίαν; τί ἂν οὖν ἐγώ, ὦ ἄνδρες, ἀγανακτοίην εἰ πάντα τὸν βίον σπουδάσας ὅπως δὴ τοῖς ἀνδράσιν ἐκείνοις εἰς ἐμὴν δύναμιν συνεποίμην, ἔπειτα ἀπέλαυσα τῶν ὁμοίων τοῖς ἡγεμόσι, καὶ προσέπταισα τοῖς αὐτοῖς ἕρμασι, τὰ αὐτὰ ἴχνη μεταδιώκων, ἠρέθισά τε ἐπ' ἐμαυτὸν καὶ ἐπεσπασάμην ἐσμόν τινα κηφήνων κεκεντρωμένων, οὐχ ὅτι μάλα ἑκὼν οὐδὲ προαιρούμενος, ἀλλ' ὅτι φύσει τὸ πρᾶγμα τοιόνδε ἐστίν; ἃ λυπηρά τε καὶ ἀγαπῶ, καὶ ἧττον ἂν μεθείμην ἢ τὴν ψυχήν. οὐ γὰρ εἰ ἐμπορείας μετεποιούμην, ἵλεων ἀεὶ τὴν θάλατταν λογίζεσθαι ἐχρῆν, καὶ τὰ πνεύματα ἐξ οὐρίας, καὶ τὸ χρυσίον ἀεὶ προσαυξόμενον ἐκ τοῦ φορτίου, ἀλλὰ καὶ χειμῶνας καὶ προβόλους καὶ ἐκβολήν. ἔστι δὲ ὅτε καὶ πειρατικὴν ὁμιλίαν, χειμῶνα ἕτερον τούτου τοῦ κλύδωνος χαλεπώτερον. ἀλλ' αὐτὸ δὴ τοῦτο χρεὼν λαμβάνειν σημεῖον τοῦ κατὰ πόδας ἐκείνων βαδίζειν, καὶ μὴ πόρρω ἀποπλανᾶσθαι, ὅτι καὶ αἱ διαβολαὶ καὶ αἱ λοιδορίαι ἃς οἱ νῦν με διαβάλλουσιν, οὐκ ἄλλαι εἰσὶν ἢ ἃς τοὺς κλεινοὺς ἐκείνους καὶ θεσπεσίους οἱ πάλαι Τελχῖνες. ὁ γὰρ σοφιστὴς καὶ ἀλαζὼν καὶ ὁ καινοτόμος πρῶτον μὲν Σωκράτους ὀνείδη ἦν, ἔπειτα Πλάτωνος ἐφεξῆς, εἶθ' ὕστερον Ἀριστοτέλους καὶ Θεοφράστου. καὶ δὴ ἐντεῦθέν μοι τῆς ἀπολογίας ἀρκτέον, εἰ τοὔνομα τοῦτο ὁ σοφιστὴς ἔτυμον μέν ἐστι καὶ προσέχεταί μοι ἐκ τοῦ πράγματος, ἢ ἀποστεῖται αὐτοῦ ἡ ἀλήθεια, κἂν πάνυ ἐπιρρίπτηται. ὅτι μὲν δὴ πάλαι σεμνόν τε ἦν καὶ ἐπ' ἀξιώσει, καὶ ὅτι Σόλωνα σοφιστὴν ὠνόμαζον οἱ τότε ἄνθρωποι, καὶ Πυθαγόραν,

ἀπειροκάλου ἂν εἴη κωμῳδοποιῶν ὑμᾶς ὑπομιμνήσκειν καὶ ξυγγραφέων. καὶ ὅτι δή που οὐ ταύτῃ ἂν με τῇ ὁρμῇ οὕτω καλοῖεν· οὐ γὰρ τιμᾶν με ἐθέλουσιν, ἀλλὰ λοιδορεῖσθαι. ἀλλ' ἐπειδὴ τοῦ ὀνόματος ὥσπερ νομίσματος μετέπεσεν ἡ δύναμις κατὰ τοὺς ὕστερον χρόνους, ἐξ οὗ Πρωταγόρας τε αὐτοῦ ἠμφισβήτει, καὶ Πρόδικος ὁ Κεῖος, καὶ Γοργίας ὁ Λεοντῖνος, οἳ ὥσπερ ἄλλο τι τῶν ὠνίων χρημάτων ἐκήρυττον τὴν σοφίαν, καὶ ἐπράττοντο πολὺ ἀργύριον τοὺς προσφοιτῶντας, ἐκεῖθεν ἂν δή που ἕλκοιεν τοὔνομα καὶ οἱ νῦν ἐμὲ ἐπισκώπτοντες. σκοπεῖτε οὖν ὡς δικαίαν ποιήσομαι τὴν ἐξέτασιν. εἰσί που ὑμῖν κείμενοι νόμοι (μᾶλλον δὲ ἴσως καὶ πᾶσιν ἀνθρώποις) καθ' οὓς ἅπαντα ἐπιεικῶς ὑμῖν ἀναγκαῖον καὶ πράττειν καὶ ὀνομάζειν, καὶ εἰ περί του ἀμφισβητοίητε, ἰόντες ἐπὶ τοὺς νόμους διακρίνεσθε οὐ χαλεπῶς ἐκ τῶν γραμμάτων. καὶ τοῖς φιλοσόφοις τοίνυν οἱ νόμοι εἰσὶ γεγραμμένοι, ἐξηγούμενοι καὶ διδάσκοντες ὑπὲρ ὅτου ἂν αὐτοὶ πυνθανώμεθα. καὶ ἄλλῃ δὴ φιλοσοφίᾳ ἄλλοι νόμοι εἰσὶν ὁπόσους συνέγραψεν ὁ ἀρχηγέτης τῶν λόγων, οὓς διώκει τε καὶ προὐστήσατο. τῇ μὲν γὰρ τὰ Πλάτωνος αἱρουμένῃ, ὁπόσα Πλάτων· τῇ δὲ τὴν Ποικίλην ἀγαπῶντι, ὁπόσους Ζήνων ὁ Κιτιεύς. ὅτῳ δὲ μέλλει ὁ κῆπος, ὁπόσους Ἐπίκουρος ὁ Νεοκλέους, καθάπερ Σόλωνι μὲν τῇ Ἀθηναίων, Λυκούργῳ δὲ τῇ Σπαρτιάτῃ. ξυμβαίνει οὖν τὸν αὐτὸν ἄνδρα πολλάκις τοῖς μὲν τῆς πόλεως νόμοις ἀθῷον εἶναι, τοῖς δὲ Πλάτωνος ἁλίσκεσθαι ἢ τοῖς Ζήνωνος. τοιοῦτον τοίνυν ἐστὶ καὶ ὃ νῦν ἐμοὶ ἐπικαλοῦσι. τὸν γὰρ σοφιστὴν καὶ ὁποῖόν τι παρανόμημα ὁ σοφιστής, οἱ μὲν ἡμέτεροι νόμοι οὔτε λέγουσιν οὔτε διώκουσιν, ἀλλὰ καὶ ἔντιμον ὑπολαμβάνουσιν ἐστιν ἢ καὶ οὐ πάνυ τι ἄχρειον τῇ πολιτείᾳ. ἡ δὲ Ἀκαδημία καὶ τὸ Λύκειον ἀποκλείει, καὶ οὔ φασι τοῖς ἀνακτόροις προσήκειν τὸν ἄνδρα ἐκεῖνον ὃς τοῦτο τὸ ὄνομα ἀγαπᾷ καὶ ἐξεργάζεται.

ex Comicorum & hiſtoricorũ ſcriptis narrare vobis inſulſum eſt,ac putidum. Nec iſti vtiq; eodem ſtudio erga me impulſi id mihi nominis impertiant:non enim me honore ſed contumelia afficere cupiunt. Sed quandoquidem appellationis huius perinde ac numi pretiũ atque æſtimatio poſterioribus temporib.intercidit, ex quo Protagoras id ſibi ſumere cœpit,& Prodicus Ceus,& Gorgias Leõtinus, qui,vti aliam quamlibet vænalium rerum,ſapientiam publicabant,& argenti plurimum ab diſcipulis exigebãt, eo fortaſſis nominis huius rationẽ traxerint qui cauillari mẽ ac deridere contendunt. Iam vero quàm iuſtam atq; accuratam rei inquiſitionem faciam,attẽdite. Vos nimirum Leges quaſdã cõſtitutas habetis (vel potius omnes omnino homines) ad quarum præſcriptum ex æquo bonóq; facere vobis omnia ac nominare neceſſe eſt: Ac ſi vlla de re controuerſia inciderit,tũ legibus conſultis ex ſcripto ipſo lis omnis nullo negotio diſſoluitur. Ergo eadem ratione ſuas quoque Philoſophi in ſcriptis leges habent; quæ id omne explanent, ac doceant, quod nobis requirendum videatur. Atq; aliæ alij Philoſopho ſunt leges propoſitæ, quas ille quiſquis eſt doctrinæ princeps atque artifex deſcripſerit, quam vnuſquiſque tenere ac profiteri voluerit. Ita Platonis ſectatori pro lege eſt,quicquid Plato pręſcripſit: ei vero qui variam Porticum adamarit,quicquid Zeno Cittieus:quibus Epicureorũ horti placuerint,quæcumque ab Epicuro Neoclis filio ſunt conſtituta; non ſecus quàm Solonis leges Athenienſi, Lycurgi Lacedęmonio ſeruandæ ſunt. Atqui perſæpe contingit vt idem nihil contra ciuitatis iura peccauerit, & Platonis tamẽ aut Zenonis legibus teneatur. Cuiuſmodi illud eſt quod mihi criminis loco ab iis obiicitur. Nam Sophiſtæ,aut quale ſit Sophiſtæ crimen,leges quidem noſtræ mẽtionem nullam faciunt, nec in illud animaduertunt, quin potius honori aliquando ac dignitati ducunt, nec Reip. prorſus inutile arbitrantur: Academia contra ac Lyceum excludunt, eũque negant in penetralia ac receſſus admittendum, qui hoc nomen amplecti volet,ac re ipſa factiſque cõprobare.

Quæ cum ita ſint, apparet vobis hodierna die, quoniã quidẽ meâ cauſâ conueniſtis, non Solonis, aut Draconis, aut Cliſthenis, aut Lycurgi, ſed proprias ac præcipuas huius inſtituti leges eſſe ponderãdas, eáque ſigna atque indicia exploranda, quæ de tota re legibus noſtris definiuntur. Tum ſi ego teneri iis ac commiſiſſe pœnam videbor, iniiciẽdas mihi manus, méque accuſatorum arbitrio permittendum, vt præda hac quodcũque libuerit faciant: ſin aliò veſtigia illa, ſignáque reſpiciant, ab eius me nominis infamia ſubleuandum. Habemus igitur ab diuino Platone tabulã quandam iiſce legibus plenam, atque indicia deinceps excogitata quãplurima, nec obſcura illa, quibus inſiſtere eos qui Sophiſtam veſtigant, oporteat. Quæ mihi, vt videtur, in medium proferenda ſunt, idque videndum, omniáne mihi conueniãt, atque vtrum maior illorum pars, an minor accommodari poſſit. Quare pauliſper me (per Gratias) obſecro, paulatim percenſere patimini, quot modis Legiſlator ille, venatoris inſtar feram circũuenientis, capiat, atque implicet hominem. Primũ ergo Adoleſcentulorum diuitum mercenarium illũ captatorem facit. Secundò diſciplinarum animi atque artium mercaturã exercentem. Tertiò earũdem ipſarum rerum inſtitorẽ. Quartò ſordidum opificem, ac per ſeſe rerum ſuarum vẽditorem. Quintò concertatorem in dicendo, ac contendendi arte præditum. Denique, quem poſtremũ velvt colophonem orationi impoſuit, atque illigauit, circa id quod nõ eſt opinatorem, ac per Phãtaſmata atque imagines imitatorem, ſimulacrorum veritatis artificem, & in dicendo præſtigiatorem. Omnem enim iſtam verborum nominumq; ſeriem egregio illi Sophiſtæ tribuit, ſi qua forte ratione multiplicem ac variã eius figurã, quoad liceret, exprimere ac declarare poſſet. Eſto ſanè. Nunc igitur vnoquoq; illorũ ab eo quod primũ eſt prolato, videamus ecquod mihi accõmodari queat, quódque velvt manifeſtum progreſſionis atque itineris noſtri veſtigium deprehendatis. Omnium primo nullũ à me locupletem Adoleſcentẽ captatum, neque docendi, aut conſuetudinis meæ mercedẽ flagitatam,

δῆλον οὖν ὅτι καὶ ὑμῖν τήμερον, ὁπόσοι ξυνήκατε ἐμὴν χάριν, οὐ τοῦ Σόλωνος ἢ Δράκοντος ἢ Κλεισθένους ἢ Λυκούργου, ἀλλὰ τοὺς ἐντεῦθεν νόμους ἐξεταστέον, καὶ τὰ σύμβολα ἐκεῖνα βασανιστέον, καὶ τὰ γνωρίσματα ἃ διδόασι τοῦ πράγματος οὗτοι οἱ νόμοι· καὶ εἰ μὲν δὴ τούτοις φανείην ἔνοχος καὶ ὑπεύθυνος, κατέχειν καὶ ἐνδιδόναι τοῖς κατηγόροις χρήσασθαι τῇ ἄγρᾳ ὅ,τι ἂν βούλωνται· εἰ δὲ ἄλλῃ πῃ ἀποφέροι τὰ ἴχνη ἐκεῖνα καὶ τὰ σημεῖα, ἀθῷόν με ἐᾶν τοῦ ὀνόματος. ἔστι τοίνυν Πλάτωνι τῷ θεσπεσίῳ κύρβεις ἀνάπλεως τούτων τῶν νόμων, καὶ τεκμήρια ἐξευρημένα πολλὰ ἐφεξῆς καὶ οὐ δύσφραστα, ὧν χρὴ ἐχομένους ἰχνηλατεῖν τοὺς μαστεύοντας τὸν σοφιστήν. ταῦτα οὖν, ὡς ἔοικεν, εἰς μέσον ἡμῖν θετέον, καὶ ἐξεταστέον πότερον ἅπαντά μοι οἰκεῖα, καὶ τὰ πλείω, ἢ τὰ ἐλάττω. ἀνάσχεσθε οὖν μου πρὸς Χαρίτων ἀτρέμας ἐξαριθμουμένου ὁποσάκις τοῦτο ὁ νομοθέτης οἷα κυνηγέτης κύκλῳ θηρίον περιδραμὼν, αἱρεῖ τὸν ἄνδρα καὶ σαγηνεύει. δείκνυσι δὴ πρῶτον μὲν θηρευτὴν ἔμμισθον νέων πλουσίων· δεύτερον δὲ, ἔμπορον περὶ τὰ μαθήματα τῆς ψυχῆς· τρίτον δὲ αὖ, κάπηλον τῶν αὐτῶν τούτων· τέταρτον δὲ, αὐτουργόν τε καὶ αὐτοπώλην· πέμπτον δὲ, ἀγωνιστὴν περὶ λόγους, τὴν ἐριστικὴν ἔχοντα τέχνην· καὶ ὃν δὴ τελευταῖον κολοφῶνα ἐπέθηκε τῷ λόγῳ καὶ συνεδήσατο, δοξαστικόν τινα περὶ τὸ μὴ ὂν, καὶ μιμητὴν διὰ φαντασμάτων, καὶ τεχνίτην τῶν εἰδώλων τῆς ἀληθείας, καὶ θαυματοποιὸν ἐν λόγοις. τοῦτον γὰρ δὴ ἅπαντα τὸν ὁρμαθὸν τῶν λόγων τε καὶ τῶν ὀνομάτων τῷ σοφιστῇ περιίστησι τῷ γενναίῳ, εἴπως αὐτοῦ τὸ πολυειδὲς καὶ πολύπλοκον ἐνδείξαιτο καὶ παραστήσειε κατὰ δύναμιν. εἶεν. χωρὶς δὴ ἕκαστον τούτων προσχειριζόμενοι ἀπὸ τοῦ πρώτου, σκοπῶμεν ὅστις ἄν μοι αὐτῷ προσαρμόσαι, καὶ ὅ,τι ἂν εὕροιτε ὥσπερ ἴχνος τηλαυγὲς τῆς ἐμῆς πορείας. ὅτι μὲν δὴ οὐδένα πω ἐγὼ πλούσιον νέον ἐθήρευσά τε καὶ μισθὸν ἐπραξάμην τῆς ὁμιλίας,

ἴστε που ἅπαντες. ἴστε γὰρ ἅπαντες τοὺς ὁμιλητὰς τοὺς ἐμούς, ὅτι μήτε νέοι οὕτως εἰσὶν ὥστε εὐκόλως ἐξαπατᾶσθαι, μήτε οὕτως ἄγαν πολύαρκοι ὥστε καὶ μισθὸν προσφέρειν τοῦ φενακίζεσθαι. καὶ ὅτι που θρύπτομαι ἐπὶ τῷ πράγματι, οὐδ' αὖ σεμνὸν ἡγοῦμαι καὶ ὑπερέχον τὸ μὴ μισθωτός ποτε γενέσθαι. εἰ γὰρ δὴ ἐδεόμην ἐγὼ χρημάτων καὶ τῆς πρὸς τὰ ἀναγκαῖα ἐπικουρείας, μισθὸν μὲν οὐκ ἂν ὡμολόγησα οὐδὲ ἐγραψάμην· οὐκ ἀπώκνησα δ' ἄν, εὖ ἴστε, Κρίτωνα ποιήσασθαι τὸν ἐμῶν ἐπιτηδείων, καὶ ταμιεῖον οἷον Κρίτων ηὐτρέπιζε τῷ Σωφρονίσκου, γεμίζων ὄστρακον κοῖλον τῆς ἐφημέρου δαπάνης. ἀλλ' οὔτε δέομαι, ἀλλ' ἐξαρκεῖ μοι τὰ ὄντα, οὔτε μισθὸς ἱκανός μοι ἐστὶν ὃν φέρουσιν ἐμοὶ ξυνόντες, κοσμιότητα καὶ αἰδῶ καὶ σωφροσύνην, καὶ τὸ μέτρια φρονεῖν, καὶ τὸ μὴ σκαιοὺς εἶναι, μηδὲ πλησμίους, μηδὲ ἠλιθίους, μηδὲ ἀχαρίτας, μηδὲ ἄνω καὶ κάτω θρυλλεῖν καὶ σεμνύνεσθαι ἑνὶ βιβλίῳ, ὃ διασπαράττοντες ἐν ζόφῳ πλείω κατέτριψαν χρόνον ἢ οἱ Ἕλληνες πορθοῦντες τὴν Τροίαν. καὶ οὐδεὶς αὐτῶν ἕπεταί μοι ὥσπερ ἀκόλουθος, οὐδὲ συμπεριθεῖ τοῦ τρίβωνος ἐξημμένος, οἷα τοῖς σοφισταῖς ἔθος πολλὰ ἀπολαύειν τῆς τέχνης. καὶ οὕτως ἄρα πόρρω εἰμὶ τοῦ κερδαίνειν τι ἀπὸ τῆς ἀγέλης. ὥστε τοῦτό γε οὐδ' ὅσοι με σοφιστὴν ὀνομάζουσι, τολμῶσι προσλοιδορεῖσθαι· ἀλλὰ καὶ τοὔμπαλιν, φασὶ ζημιούμενον καὶ σιτοδοτοῦντα καὶ ἀριθμοῦντα ἀργύριον, οὕτω προσαιτεῖσθαι καὶ συνέχειν τὸ ποίμνιον. καὶ εἴην ἄν, ὡς ἔοικεν, ἐγὼ κατὰ τούτους ἕτερον τρόπον ἔμμισθος θηρευτής, οὐκ ἐπειδὴ λαμβάνω μισθόν, ἀλλ' ὅτι προσδαπανῶμαι. ἐγὼ οὖν καὶ περὶ ταύτης τῆς βλασφημίας ἢ εὐφημίας, ὦ ἄνδρες, ὧδε ἔχω γνώμης· τὸ μὲν ἐπαρκεῖν ἁπλῶς καὶ ἀναλίσκειν τοῖς ὁμιληταῖς δεομένοις, πολύ μοι φαίνεται ἐλευθεριώτερόν τε καὶ μεγαλοπρεπέστερον ἢ στρεβλοῦν τε αὐτοὺς καὶ κατατείνειν καὶ ἄγχειν ἀναγκάζοντα ἀποτιννύναι μὴ οἵους τε ὄντας. αὐτὰρ οὔτ' ἐκεῖνο καθ' αὐτὸ ἀξιέπαινον, οὔτε τόδε.

probè omnes meminiſtis. Noſtis enim Diſcipulos meos, quàm non adeo pueri ſint, facilè vt imponi ſibi patiantur, neque ita ſtupidi, vt pro eo quòd illuſi fuerunt, pretium alteri perſoluant. Neque tamen eo nomine magnopere mihi placeo, nec amplum quiddam aut magnificum puto, nunquam me mercenarium exſtitiſſe. Etenim ſi pecuniis, aut ad ſumptus neceſſarios adiumento cuiuſpiam opus haberem, nihil quidem de mercede ſtipulari aut cauere ſyngrapha voluiſſem; verũ Critonem mihi aliquem conciliare non dubitaſſem, atque eiuſmodi penu procurare, quale Sophroniſci filio à Critone parabatur, qui cauo fictili, demenſum quotidianum imponebat. Sed neque ea re indigeo, cui abundè ab re domeſtica prǫſidij ad vitam eſt, & illa merces ſufficit, quam mihi diſcipuli mei conferunt: Modeſtiam intelligo, verecundiam, atque temperantiam. Adde hoc inſuper quòd moderatione animi prǫditi, nec inepti, nec quibuſcum verſantur, faſtidio ſunt, nec ſtolidi, nec ingrati, nec ſus déque effutiant, nec vno ſe libro inſolenter iactitent, quem in tenebris vellicantes, plus temporis, quàm in Troiæ euerſione Græci, collocarint: nec vllus me tanquam aſſecla comitatur, nec Pallio adhærens ſimul vagatur, qualem ex arte ſua fructum Sophiſtæ ſæpius reportant: tantúmque abeſt vt ex grege meo compendij aliquid faciam, vt iſtud ne ij quidem qui me Sophiſtam appellant, exprobrare vnquam auſi ſint: ſed è contrario magnis impendiis, largitione frumenti, ac numerata pecunia ita à me pellici ac contineri gregem dictitent. Ex quo, vt videtur, alia quadam ratione mercenarius captator illorum ſententia ſim, non quod mercedem vllam capiam, ſed quod inſuper aliquid dependam. At ego quod ad illam calumniam, ſiue potius laudem ac prædicationem, attinet, (Audit.) ſic habeo: Omnino in egentes diſcipulos erogare aliquid ac ſumptus de ſuo facere, multo mihi liberalius ac magnificentius videri, quàm torquere, diſtendere, ac prǫfocare, vt quam nequeant mercedem, prǫſtare cogantur. Sed neq; illud per ſeſe, neq; hoc eſſe laudabile:

Quin potius hoc quidem nunquam virtutis indicium eſſe poſſe, ſed ſordidæ atque auaræ mentis, planéque Sophiſticæ, ac mercenariæ, ſiue pro Demoſthenis cauſis, ſiue pro Ariſtophanis fabulis, ſiue pro omni verborum nominúmque genere, vltra quàm neceſſe ſit, manum porrigere, ac ſe publicis exactoribus præbere difficiliorem. Quando & Prodicus & Protagoras Abderita, alter quidem rectam locutionis ac verborum rationem mercede adoleſcentibus explicans, alter Simonidis aliorúmque ſcripta Poëtarum enarrans; Sophiſtæ nihilominus & erant, & eſſe dicebantur. Quippe cuiuſque diſciplinæ nomine ab adoleſcentibus & locupletibus pecuniam auferre, idem atque eſſe Sophiſtam videri, ratio illa apertè teſtatur, quæ primo loco à Platone inter eas notas poſita eſt, quas ad huius rei cognitionem diſtinxit. Ab ea appellatione neque Iccum Tarentinum Palæſtritem, nec Herodicum Sylembrianum Pædotribam excipiendos putat, ſed vtrumque per ſpeciem oſtendere artes ſuas dicit, re quidem vera oppidò Sophiſtas eſſe, quòd ab adoleſcentulis pecunias acciperent. Et forſitan neque illum, qui ſe Ariſtotelis ſimularet interpretem, omitteret, nec dubitaret, ſi pro eo munere mercedem caperet, manus iniicere, ac cum eo quaſi eidẽ obnoxio crimini contendere. Etſi enim ampla ſit eius profeſſionis dignitas, verámque ſapientiam habeat, non tamẽ abiicere illam conuenit, aut argẽto æſtimabilem facere. Sed, vti ego dico, quamcũque ob diſciplinam, ſiue præſtantiorem, ſiue viliorẽ, ab adoleſcentib. mercedem poſtulare; ſi Platonis rationem ſequi velimus, ſophiſtæ proprium eſſe ſtatuemus. Quiſquis porro manum ad largiendum porrigit, & indigentium neceſſitati cõſulit, is ſi dum meliorem animum facere ſtudet, vna & corpori opituletur, perfectè demũ cumulatéque ſeruatoris ac benefici partes expleſſe putandus eſt: ſin carunculæ dumtaxat rationem habeat, menti inſidias paret, Sophiſta quidem, & arrogãs erit, ſed eo nihilominus tolerabilior, qui vtramque in partem inuadit. Nunc ergo quod in me eſt, quale ſit, inſpiciẽdum.

Ac pri-

ἀλλὰ τόδε μὲν οὐδεπώποτε ἀρετῆς σημεῖον, ἀλλὰ φιλοκερδοῦς καὶ ἐρασιχρηματου ψυχῆς, καὶ ἀτεχνῶς σοφιστικῆς καὶ ἐμμίσθου, εἴθ' ὑπὲρ τὴν Δημοσθένους δικανικήν, εἴθ' ὑπὲρ τὴν Ἀριστοφάνους δραματικήν, εἴθ' ὑπὲρ τὴν πάντων ῥηματικήν τε καὶ ὀνοματικήν ὑπερέχει τὴν χεῖρα ἔξω τῆς χρείας, καὶ χαλεπώτερον εἶναι τῶν δημοσίων πρακτόρων. ἐπεὶ καὶ Πρόδικος καὶ Πρωταγόρας ὁ Ἀβδηρίτης, ὁ μὲν ὀρθοέπειάν τε καὶ ὀρθορρημοσύνην μισθοῦ ἐκδιδάσκων τοὺς νέους, ὁ δὲ τὰ Σιμωνίδου τε καὶ ἄλλων ποιήματα ἐξηγούμενος, σοφισταὶ ὅμως καὶ ἤστην καὶ ἐλεγέσθην. τὸ γὰρ ἐφ' οἱῳδὴ σχήματι παιδείας ἀργυρολογεῖν παρὰ τῶν νέων τε καὶ πλουσίων, τοῦτο εἶναί φησι σοφιστὴν ὁ προστάτης τοῦ καταλόγου τῶν λόγων οὓς Πλάτων ἐπ' αὐτῶν διεστήσατο. τοῦ τοιοῦδε Ἴκκον τὸν γυμναστὴν τὸν Ταραντῖνον, οὐδὲ Ἡρόδικον τὸν Συλημβριανὸν παιδοτρίβην ἀφίησι τοῦ ὀνόματος, ἀλλὰ παραπετάσματα μὲν φησὶ ποιεῖσθαι τὼ ἄνδρε ἐκείνω τὰς τέχνας, τῇ δὲ ἀληθείᾳ σοφιστὰς ἱκανῶς εἶναι, ὅτι ἐχρηματίζοντο ἀπὸ τῶν νέων. καὶ ἴσως οὐκ ἂν μεθεῖτο οὐδὲ ὀκνήσειεν οὐδὲ τὸν Ἀριστοτέλους προσποιούμενον εἶναι προφήτην, εἰ μισθὸν πράττοιτο τῆς προφητείας, ἀλλὰ καθέξει τε καὶ ἀμφισβητήσει ὡς ὑπεύθυνον. καὶ γὰρ εἰ σεμνὸν τὸ σχῆμα καὶ ἀληθινὴ ἡ σοφία, ἀλλ' οὐ χρή γε αὐτὴν καταβάλλειν καὶ ἀργυρίου δείκνυσθαι ἄξιον. ἀλλ' ὅπερ λέγω, τὸ μὲν ἐφ' ὁτῳδὴ μαθήματι, εἴτε σπουδαιοτέρῳ, εἴτε φαυλοτέρῳ, μισθοφορεῖν παρὰ τῶν νέων, σοφιστικὸν νομιοῦμεν, εἰ τῷ λόγῳ ξυνεποίμεθα· ὁ δὲ χεῖρα ὀρέγων καὶ ἐπανορθῶν τὴν ἔνδειαν τῶν δεομένων, εἰ μὲν τὴν ψυχὴν βελτίω κατασκευάζων καὶ τῷ σώματι ἐπικουροίη, οὗτος ἂν ὁ τέλειος νομίζοιτο καὶ ὁλόκληρος σωτήρ τε καὶ εὐεργέτης· εἰ δὲ τῆς σαρκὸς ἐπιμελοῖτο, ἐπιβουλεύοι δὲ τῇ διανοίᾳ, σοφιστὴς μὲν ἂν εἴη καὶ ἀλαζών, μετριώτερος δὲ τοῦ ἀμφότερα λαβομένου. σκοπεῖσθαι οὖν χρὴ τοὐμὸν ὅπως ἔχει, καὶ ἀναθεάσασθαι.

καὶ δὴ συγχωρήσωμεν αὖθις τὴν προτέραν ὡς ἄρα ἐγὼ πολλῶν ἀργυρίων τοὺς ὁμιλητὰς μεμίσθωμαι καὶ ἐώνημαι, καὶ εἰσὶν οἱ μὲν πολλοὶ ἄρα μναιαῖοι, οἱ δὲ, διμναιαῖοι, οἱ δὲ δὴ, ἄχρι ταλάντου. τί οὖν; ἀνάγκη μοι παρὰ φύσιν σμικρόν τι καὶ ἀπαυθαδίσασθαι· ἔστιν ὅν τινα ἴστε μετὰ τὴν ἐμὴν συνουσίαν, (λέγω δὲ οὐκ εἴ τις χρόνον τινὰ εἰσέφρησεν εἰς τὸ διδασκαλεῖον ἡμιμανής, καὶ ἐκάθητο χασμώμενος ἐπὶ τοῦ ξύλου, ὃν οὐχ οἷόν τε ἦν ἐξελαύνειν κύνα λυττῶντα καὶ ῥόπαλον ἐπηρμένον· οὗτος γὰρ οὐκ ἐμοὶ ξυνεγένετο καὶ συνωμίλησεν, ἀλλὰ τῷ βόθρῳ τῷ ἐμῷ καὶ τῷ δωματίῳ· οὓς δὲ ἐγὼ ἐγκρίνω τε καὶ περὶ πλείστου ποιοῦμαι) ἔστιν ὅντινα μετὰ τὴν ἐμὴν συνουσίαν διαφθαρέντα; καὶ χείρω ἐξ ἀμείνονος γεγενημένον; καὶ πρόσθεν μὲν ἐπιεικῆ καὶ πρᾶον δοκοῦντα, νῦν δὲ τύφου μεστὸν καὶ ἀποπληξίας; καὶ πάλαι μὲν τοὺς πολλοὺς αὐτὸν ἀποδεχομένους, νῦν δὲ δυσχεραίνοντάς τε καὶ ναυτιῶντας; ἠκούσατε δὲ αὖ τινος τῶν ἐμῶν ἐπιτηδείων ὑψηλολογουμένου καὶ βρενθυομένου ἐπὶ τοῖς συνωνύμοις ἢ ὁμωνύμοις ἢ παρωνύμοις; ἢ αὐτοὶ μὲν μέτριοι φύσει εἰσὶν, ἐγὼ δὲ αὐτοὺς ὄγκου ἐμπίπλημι καὶ χαυνότητος, μαρτυρόμενός τε καὶ ἐγγυώμενος πρὸς πάντας ἀνθρώπους· ὅτι ἄμεινον ξυνίασι τῶν Ἀριστοτέλους, ἐξ ὧν ἐμὲ μᾶλλον ἀγαπῶσι καὶ θεραπεύουσι, καὶ ἐμπιπλᾶσι τὴν οἰκίαν ἅλις χρυσοῦ καὶ ἀργύρου· αὐτοὶ δὲ ἐπαχθεῖς καὶ φορτικοὶ γίνονται πολλοῖς οὐδὲν δεομένοις; καίτοι ὑπὲρ ἑκάστου αὐτῶν πολλὰ ἔχω λέγειν καὶ ἀγαθά· ἀλλ' ὅμως οὐκ οἶμαι δεῖν τὸν μάρτυρα οἴκοθεν εἶναι. οὐδὲ γὰρ ἀθλητὴν ὁρῶ τὸν τοιοῦτον στεφανούμενον καὶ εὐδοκιμοῦντα ὃν ὁ παιδοτρίβης ἐπαινεῖ μόνος καὶ οἱ συνδειπνοῦντες, ἀλλ' ὃν πολλοὶ ἐθεάσαντο ἐν τοῖς γυμνασίοις τραχηλιζόμενόν τε ῥᾳδίως καὶ μεταφέροντα τοὺς ἁλτῆρας. ὅστις οὖν χρήματα μὲν οὐ πράττεται, ἀλλὰ δωρεῖται, ἐπιδίδωσι δὲ καὶ ἀρετὴν τοῖς χρωμένοις, πόρρω ἂν οὗτος σοφιστοῦ ἀποκρίνοιτο.

Ac primum illud ſanè demus ipſis, à me diſcipulos multis eſſe pecuniis conductos ac comparatos, quorum alij Mina, alij duabus, alij etiam Talento conſtent. Quid igitur? Neceſſe mihi eſt hoc loco nonnihil præter naturam meam de me ipſo audacius prædicare. Quemquámne recordamini, qui mea conſuetudine vſus (neque vero eum dico qui aliquanto tempore in ſcholam meam ſemiinſanus irruperit, atque in ſubſelliis oſcitabundus conſederit, quem velvt rabidum canem ne ſublato quidem fuſte poſſes extrudere; non enim ille in diſciplinam ſe meam tradidit, nec tam mecum quàm cũ ſubſelliis meis atque exhedra verſatus eſt, ſed eos dico, quos pro meis agnoſco, magnique facio.) Ecquẽ igitur recordamini qui mea conſuetudine vſus peruerſior ſit factus, atque meliore deterior? Qui benignus antea, ac tractabilis cum eſſet, nunc arrogantia ac væcordia plenus ſit? Qui cum olim omnibus probatus atque acceptus fuerit, nũc odio omnibus, atque faſtidio ſit? Quem vero ex meo grege magnificè de ſublimioribus rebus diſſerere audiſtis, aut ſe pro eo quòd Synonyma, atque Homonyma, & Paronyma intelligeret, inſolẽtius efferre? An illi quidem natura moderati ſunt, ſed ego ingentibus eos ſpiritibus ac vanitate cõpleo, idipſum conteſtans, & mortales omnes ſponſione prouocans, melius illos Ariſtotelem intelligere? ex quo id eueniat, vt me maiori beneuolentia atque obſeruatione proſequantur, domúmque meam abvnde auro argentóque cumulent, cum interim pleriſque nihil hoc requirentibus importuni ſint, ac moleſti? Atqui poſſum ego multa de iis quãlibet egregia prædicare, verum minimè domeſticum laudis ac præconij teſtem eſſe oportere cẽſeo. Neque enim Athletam eum coronari ac celebrari omnium exiſtimatione video, quem Magiſter ludi ſolus, aut compotores laudauerint, ſed quem multi in gymnaſiis ſæpius ceruicem facile luxantem, & halteras portantem viderint. Quare qui pecunias non modo non exigit, verum de ſuis etiam vltro largitur, virtutem inſuper iis qui ſecum verſentur communicat, longè is erit à Sophiſtarum numero ſegregãdus.

Verum ego vobis alienum inſomnium narro. Cauete tamen (Aud.) fidem iis habeatis qui de meis illis theſauris ſomniant quaſi conclaue immenſis opibus refertum habeam,ex quo affatim quilibet hauriat. Quod vtinam illorum ſomnium verum eſſet; neque enim aſpernandum illud foret,liberalitatem magnificentiámque ſuam nõ verbis modo,verum etiam factis ipſis oſtẽdere; præſertim iuſtis ex opibus,atque à maioribus relictis: quarũ fontes ipſi è longinquo perſpicui lenéſque promanant, nec vſquam influente aliquo iniuſtitiæ riuo fœdantur. Sed neque tam luculentum mihi patrimonium obtigit,nec amplificãdarum opum,aut conquirendi lucri ſum peritus. Quod autẽ Accuſatores mei adiiciunt,aliud quoque ſomniũ eſt, frumenti Imperatorij confertos cumulos à me in diſcipulos meos impendi,ac diſtribui. Nam frumentum quidem ex fiſco Imperatoris,atque ex horreis publicis cõſumo:ſed ſi illud Sophiſtæ ſignum eſſe videatur, nemo non veſtrum Sophiſta erit appellandus:nec vos ſolũ,qui hîc ſedetis,ſed & ſutores & balneatores & calceamẽtarij,iique qui ad ſepta matutini calamum comportant. Hoc autẽ æquũ eſt,à vobis attentiùs conſiderari, quòd cum non modo tritici ducentos,ac totidẽ olei amphoras (quanquã de oleo nondum accuſatores mei ſciunt,ſed neſcio quo modo imprudenti mihi excidit, quo magis illi indignentur,ac ſuccenſeant) ſed cũ non ea tantum ab Imperatore accipere liceret,verum inſuper ea omni deliciarum ac voluptatum copia frui, quæ ex diplomatis Imperatoriis malleo ductis conſequitur,atq; ea ipſa neq; precib. impetrata, nec adulatione extorta,nec patrocinio cuiuſquam aut interuẽtu quæſita, ſed pręſente ipſo atque audiente Principe, tum cũ eas Orationes haberẽ,quarum ipſe non ſemel atq; iterum,ſed ſæpius auditor extitit,ita vt ampliſſimos mihi honores deferret,cũ hæc inquã omnia capere cõmoda integrum eſſet,nequaquã tamen ceſſi,neque vel omni ſtudio ſollicitanti parui. Recténe, an ſecus fecerim,vos vnâ mecum perpẽdite. Mihi vero in eo quod quiſquã habet præcipuũ ac maximũ, mẽtiri ac decipere homines, turpiſſimũ

ἀλλ' ἐγὼ ὄναρ ὑμῖν ἀλλότριον ἀπαγγέλλω. καὶ μὴ πείθεσθε, ὦ ἄνδρες, τοῖς ὀνειρώττουσιν περὶ τῶν ἐμῶν θησαυρῶν, ὅτι μοι ταμιεῖον ὑπερχειλές τε ἄγαν ἐστὶ, καὶ ἐξαντλοῦσιν οἱ βουλόμενοι ἀφθόνως. καίτοι ὤφελεν αὐτὴν ὕπαρ εἶναι τὸ ὄναρ· οὐ γὰρ ἂν φαῦλον ἦν ἐλευθεριότητα καὶ μεγαλοπρέπειαν ἐπιδείκνυσθαι οὐ μόνον ἐν λόγῳ καλῷ καὶ ἔργῳ μάλιστα ἐκ πλούτου δικαίου ἄνωθεν κατιόντος. οὗ αἱ πηγαὶ πόρρωθεν ῥέουσιν ἄγαν διαφανεῖς καὶ πραεῖαι, καὶ οὐδαμόσε αὐταῖς μολυσμὸς ῥεῦμα ξυμμιγνύμενον ἀδικίας. ἀλλ' οὔτε μοι τὰ πατρῷα τοσάδε ἐστὶν, οὔτε ἐγὼ χρηματιστὴς καὶ ποριστικός. ὅ,τε αὖ λέγουσιν οἱ κατήγοροι, καὶ τοῦτο ἄλλο ὄναρ ἐστὶν, ὡς ἄρα πυρῶν βασιλικῶν σωροὺς ἀθρόους δαπανῶ τοῖς ὁμιληταῖς καὶ διανέμω. δαπανῶ μὲν γὰρ πυροὺς βασιλικοὺς ἐκ καὶ τῶν σιτοφυλακίων τῶν δημοσίων· καὶ εἰ τοῦτο σημεῖον τοῦ σοφιστὴν εἶναι, πάντες ἂν εἴητε σοφισταί, οὐ μόνον ὑμεῖς οἱ ἐνθάδε συγκαθήμενοι, ἀλλὰ καὶ οἱ νευρορράφοι καὶ οἱ βαλανεῖς καὶ οἱ σκυτοτόμοι, καὶ πάντες ὅσοι καλαμηφοροῦσιν ὄρθριοι ἐπὶ τὰς ἐργασίας. ἀλλ' ἐκεῖνο δίκαιον ὑμᾶς ἐξετάζειν, ὅτι μοι ἐξὸν οὐ σίτου μόνον διακοσίους μεδίμνους, οὐδὲ ἐλαίου ἴσα κεράμια. καίτοι τοὔλαιόν γε οὔπω ἴσασιν οἱ κατήγοροι, ἀλλ' ἐξέφυγέ με οὐκ οἶδ' ὅπως, ἵνα μᾶλλον σφαδάζοιεν καὶ ἀγανακτοῖεν· ἀλλ' ὅτι μοι οὐ ταῦτα μόνα ἐξὸν παρὰ βασιλέως καρποῦσθαι, ἀλλ' ἐκείνου τοῦ μακροῦ καταλόγου τῆς τρυφῆς καὶ τῆς εὐπαθείας ὁπόσα ταῖς δέλτοις ἀκολουθεῖ ταῖς σφυρηλάτοις· καὶ ταῦτα οὔτε λιπαρήσαντα, οὔτε θωπεύσαντα, οὔτε ἑτέρῳ προστάτῃ χρησάμενον καὶ προσηγόρῳ, ἀλλ' αὐτοῦ παρόντος ἐπὶ τοῖς λόγοις, ὧν αὐτήκοος ἐγένετο οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πολλάκις, ὥστε ἀξιῶσαι τῶν μεγίστων γερῶν· ὅμως ταῦτά μοι ἐξὸν, οὐχ ὑπεδέξα, οὐδ' ὑπήκουσα, καὶ πάνυ προθυμουμένου. εἰ δὲ ὀρθῶς ἢ μὴ, κοινωνοὶ γένεσθε τῆς γνώμης. φαίνεταί μοι αἴσχιστον εἶναι καὶ ἀλλότριον ἀνδρὸς ἐλευθέρου τὸ ψεύδεσθαι εἰς τὸ κυριώτατον τῶν ἑαυτοῦ,

καὶ ἐξαπατᾶν τοὺς ἀνθρώπους· κυριώτατον δὲ τῶν ἑαυτοῦ καὶ ἔργων καὶ παθημάτων ὁ τύπος τοῦ βίου καὶ ὁ χαρακτὴρ ὃν ὑποδύεται. ὅστις οὖν φιλοσοφίας μεταποιούμενος, καὶ ὑπὸ τοὔνομα ἕλκων τε καὶ ἀναγκάζων, ἰσαγτεύει τὰ τείχη, καὶ ζυγομαχεῖ τοῖς ταμίαις, τὸν οἶνον καὶ τὰ ὄψα ἀπαργυρίζων, ἐπεὶ ψεύδεται μὲν τὸ τελώνιον, ἅπτεται δὲ ἐπὶ τὴν ζώνην καὶ τὴν χλαμύδα, καὶ φορτικώτερός ἐστι τῶν τὰ ὅπλα φερόντων στρατιωτῶν. διὰ ταῦτα οὖν ὅσα μὲν τὴν χρείαν μοι ἀναγκαίαν εἶχε, καὶ οἷς σιτοδοτεῖ βασιλεὺς τοὺς οἰκήτορας τῆς πόλεως, οὐ τοὺς στρατιώτας, ἀπολαύω καὶ αὐτὸς, ὦ ἄνδρες, τὸ μέρος. μετέχω γὰρ τῆς πολιτείας, καὶ τὴν ἐνθάδε ξυνοίκησιν προὐτίμησα τῆς ἐνεγκούσης· ἐν ᾗ εἴπερ τις διάγειν ἔφην, κατατέμνεσθαι ἂν ἄξιος εἴην εἰ πυρῶν ἑτέρωθι προσδεοίμην. ὅσα δέ μοι τὸ βαλάντιον ἔμελλε γεμίζειν, οὐ τὸν λιμὸν ἀκέσασθαι τῶν ἀνδραπόδων, καὶ ὅσα ἀνάγκη εἰσδεχόμενον ἦν εὐθὺς καὶ τοὔνομα περιειλῆφθαι οὐξοδαπὸν τῷ τελωνίῳ, ἀπηρνησάμην τε ἀτενῶς, καὶ οὐκ ᾔσχυνα τοὺς προγόνους, οὐ τὰ αὐτὰ ἐφρόνουν περὶ βασιλέως καὶ φιλοσόφου, καὶ ἄμφω ἐνόμιζον κατοικεῖν ὁμοίως ἐν ταῖς κορυφαῖς τῆς ἀνθρωπίνης εὐδαιμονίας, καὶ προσωτέρω οὐκ ἔχειν ᾗ προσβήσεσθαι. τὸν δὲ οἰόμενον καὶ μεῖζόν τι ἕτερον ὀνειροπολοῦντα κάτω που ἐστὶ πλανᾶσθαι, οὐδὲ ἀνελθεῖν εἰς ἐκείνην τὴν σκοπιὰν ἣ ὑψηλοτάτη τέ ἐστι καὶ ὑπερκύπτει τὸν οὐρανὸν, ἔνθεν οὐ μόνον γῆ καὶ θάλαττα ἄποπτος πᾶσα, ἀλλὰ καὶ ὁ θρόνος αὐτοῦ τοῦ Διὸς, καὶ ἡ ἀληθινὴ προεδρία, καὶ αἱ πηγαὶ τοῦ νέκταρος, καὶ ὁ λειμὼν τῆς ἀμβροσίας, οὗ ἀναβῆναι οὐκ ἔστι δέλτῳ χρυσῇ ἐποχουμένους. ἀλλ' εἴ τις ἐκείνης κρατήσειε, καὶ ἐπαινοῖτο τῆς ἀρχαίας καὶ ἀνθριππηδέσου, ἐν ᾗ Πλάτων καὶ Πυθαγόρας τὰ γράμματα ἐχαραξάτην. ποῖον οὖν ἐγὼ σιτοφυλάκιον ἐκκενῶ τοῖς ὁμιληταῖς τοῖς ἐμοῖς; ποίους δὲ πυροὺς ἐπιχέω καθάπερ τοῖς νεωνήτοις τὰ καταχύσματα; καὶ Ἀρίστιππον μὲν τὸν Κυρηναῖον καὶ ταῦτα δεκαπλάσιοι ὄντες οἱ Διονυσίου πυροὶ οὐκ ἐποίησαν σοφιστήν.

& liberali homine alienum videtur. Præcipuum autem in cuiuſque factis, atque affectibus, vitæ imago eſt, & forma quam ſibi impoſuit. Quare qui Philoſophiam profitetur, atque iſtud nomen vbique trahens, atque obtrudens, interim ſalſamenta ſuillæ carnis appendit, & cum diſpenſatoribus rixatur, vinum, atque obſonia diſtrahens, hic & Pallium ementitur, & ad Cingulum ac Chlamydem conuolat, & arma ferentibus militibus multo eſt importunior. Propterea quæcumque ad vſus vitæ quotidianos neceſſaria ſunt, ac quicquid frumenti non in milites, ſed in Ciues diuidit Imperator, horum partem, & ego (Audit.) accipio. Ciuis enim huius vrbis ſum, eúmque ipſum locum patriæ antepoſui, in qua ſi mihi viuere liceret, concidendus procul dubio forem, ſi aliunde quæſitum frumentum requirerem. Quęcumque autem ad implendum ſacculum, non ad propulſandam famem attinent, ac quæ eiuſmodi ſunt, vt iis admiſſis abhorrens deinceps à pallio mihi nomen relinquatur, ea conſtanter ac forti animo repudiaui, neque maioribus meis indignum aliquid commiſi, quippe qui eandem Imperatoris ac Philoſophi conditionem eſſe exiſtimarem, ambóſque arbitrarer ſummo felicitatis humanæ in faſtigio collocatos nihil vltra habere quò tenderent. Quiſquis autem amplius ſibi quiddam ac præſtantius fingit, hoc demum in infimis ſedib. errare eſt, nec ad ſpeculam illam aſcēdere, quæ altiſſima ſit, ac cœlum adeo ipſum tranſcendat; vnde nō modo terra maréque vniuerſum proſpiciatur, ſed & Iouis ipſe thronus, & princeps verè ſedendi locus, & Nectaris fontes, & Ambroſię prata, quò quidem aureis tabulis ſubuectum conſcendere nequaquam licet, ſed ita demum ſi quis veteris illius miniméq; carioſæ cōpos ac particeps fiat, in qua Plato ac Pythagoras litteras ſuas exararunt. Quamobrē quodnā ego horreū in meos diſcipulos exhaurio? quod itē frumētum, velut bellaria nouitiis ſeruis inſpergo? Atqui Ariſtippum Cyrenaicum etiā decuplo plures frumenti modij quos à Dionyſio acceperat, facere Sophiſtam minimè potuerūt:

Ego propter triginta Chœnices, Gorgiã, vt videtur, ipſum ſupero. Sed opinor Cellam meam diligenter occludo, adeo vt difficiliùs aſſem vnum alicui concedam, quàm Geometriam ſimul vniuerſam, numerorúmque ſcientiam: aliquem vero ex adoleſcentulis oppidò bonum, & ſimplicem & in orbitate educatum abduxi, qui pro me domi ſeſe contineat, duáſque menſas proponat, alteram delitiis, alteram numis refertam. Poſtea ad eas adhæreſcunt, ac ſuſpenſi tenentur ij, qui parum de Ariſtotele, ſed de victu comparando dumtaxat, déque implendo abdomine ſunt ſolliciti. Porro eadem me fęx hominum atque colluuies in forum prodeuntem ambiens ſcilicet proſequitur, ad ſingula quæ à me dicuntur verba vociferans, atque exclamans, inuicémque certans, quinam melius opere illo defungatur ad quod mercede conductus ſit. Eiuſmodi ego chorum, ac chori ſuppeditatorem ſi mihi comparaſſem, eſſem omnino Sophiſta, nihilóque minus quàm Protagoras ille Calliæ prædiuitis fortunis abutens: Verùm nemo diſcipulorum meorum tam illuſtris eſt, neque eiuſmodi, vt perditos illos ac luxui deditos ſuperet. Sed adeunt me illi quidem ac diligunt: mercedem vero neque penſitant, neque vllã ab ijs accipio. Quas igitur artes ad eos captandos ac pelliciendos adhibeo? Aut quænã illa cantio? quæ præſtigiæ ſunt, propter quas plerique vetere Græcia, & finitima Ionia relicta, quibus in Prouinciis magni Philoſophiæ ludi aperti ſunt, in hãc ipſam ciuitatẽ ad nos ſtudiorum cauſa ventitant, nihil vt illos earum rerũ, quarum ex concurſu ampla ac celeberrima ciuitas eſt, à diſcendi contentione deterreat, non circumfluẽtium voluptatũ copia, non ludorum ac celebritatũ ſtrepitus, non otij ac quietis inopia, nõ illi ipſi denique calumniatores acuti ac perſpicaces viri, quamlibet mucrones ſuos corporibus ipſis intentent? Equidem (Aud.) etſi dicere iſtud vereor, ne inſolenter iactare me videar, tamen aduerſariorum meorũ importunitas cogit, veras vt illecebras, quibus ad irretiẽdam iuuentutem vtor, pro falſis ac commentitiis in Theatrum efferam. Quanquam abũdè quidẽ eas perſpectas habetis, neque

ἐγὼ δὲ ὑπερακοντίζω καὶ τὸν Γοργίαν, ὡς ἔοικεν, ἐπὶ ταῖς τριάκοντα χοίνιξιν. ἀλλὰ δῆτα αὐτὸς μὲν ἀποκλείω τὸ ταμιεῖον, καὶ ἧττον ἂν χαλκίου του περιείμην ἢ ξύμπασαν ὁμοῦ γεωμετρίαν καὶ ἀριθμοῦ· ἀπεβουκόλησα δὲ ἕνα τῶν νέων χρηστόν τε ἄγαν καὶ τεθραμμένον ἐν ὀρφανίᾳ, ὃς οἰκουρεῖ ὑπ' ἐμοῦ, καὶ παρατίθεται δύο τραπέζας, τὴν μὲν, τρυφῆς γέμουσαν, τὴν δὲ, ἀργυρείων. καταπεριίσχονται αὐταῖς καὶ ἐκκρέμανται οἱ Ἀριστοτέλους μὲν οὐδὲν δεόμενοι, βίου δὲ χρήζεσθαι καὶ τοῦ γεμίζεσθαι τὴν γαστέρα· καὶ δορυφοροῦσι με ἐμβάλλοντα εἰς τὴν ἀγορὰν καὶ συρφετὸς οὗτος καὶ ἡ γρυμαία, κεκραγότες καὶ ἐκβοῶντες ἐφ' ἑκάστῳ ῥήματι ὧν ἂν λέγω, καὶ διαβαλλόμενοι πρὸς ἀλλήλους, ὅστις ἄμεινον ἀποδοίη τὸ ἔργον ἐφ' ὃ θητεύουσιν. εἰ τοιοῦτον ἐγὼ χορόν τε καὶ χορηγὸν συνεστησάμην, πάνυ ἂν εἴην σοφιστής, καὶ οὐδέν τι μεῖον ἢ Πρωταγόρας ἀποχρώμενος Καλλίᾳ τῷ λακκοπλούτῳ. ἀλλ' οὐδεὶς οὕτως εὐδόκιμος τῶν ἐμῶν μαθητῶν, οὐδὲ ὑπερβάλλων σιναμωρείους· ἀλλὰ προσέρχονται μέν μοι καὶ ἀγαπῶσι, μισθὸν δὲ οὔτε εἰσφέρουσιν, οὔτε ἀποφέρομαι. πῶς οὖν αὐτὸς θηρεύω τε καὶ προσάγομαι; καὶ τίς ἡ ἐπῳδὴ καὶ ἡ μαγγανεία δι' ἣν πολλοὶ, ἀπολιπόντες καὶ τὴν ἀρχαίαν Ἑλλάδα, καὶ τὴν πρόσοικον Ἰωνίαν, ἐν αἷς ἀμφοτέραις διδασκαλεῖα μέγιστα φιλοσοφίας, ἔπειτα εἰς τὴν πόλιν ἡμῖν συμφοιτῶσι; καὶ οὐδὲν αὐτοὺς ἀποκωλύει ἐξ ὧν ἡ πόλις μεγάλη τέ ἐστι καὶ εὐδαίμων, καὶ οὐχ ἡδοναὶ ἐκκεχυμέναι, οὐ πανηγύρεων θόρυβος, οὐ σχολῆς σπάνις καὶ ἡσυχίας, οὐκ αὐτοὶ οὗτοι οἱ ὀξὺ βλέποντες συκοφάνται, καὶ τὰς αἰχμὰς τῷ χειρῶν ἐπισείοντες; ὀκνῶ μὲν εἰπεῖν, ὦ ἄνδρες, μὴ καὶ ἀτεχνῶς δόξαιμι καλλωπίζεσθαι· συνελαύνουσι δὲ οἱ κατήγοροι τὰς ἀληθινάς με ἐπαγωγάς, αἷς χρῶμαι ἐπὶ τοὺς νέους, εἰς τὸ θέατρον ἐξενεγκεῖν ἀντὶ τῶν ψευδῶν καὶ πεπλασμένων. καίτοι αἰσθάνεσθε αὐτῶν ἱκανῶς,

καὶ οὐ σφόδρα ἀτήρητοι ὑμῖν εἰσιν· ὅμως δὲ ἔτι καὶ μᾶλλον ἀπο-
καλυπτέα καὶ γυμνωτέα. ἐμοὶ νέῳ ὄντι συγγράμματα ἄττα
πεποίηται, ἐν οἷς τὸν κλῆρον κατεθέμην καὶ ἐθησαύρισα ὃν
παρὰ τῶν ἐμαυτοῦ πατέρων διεδεξάμην. καὶ τὰ λέγω τὰ συγγράμ-
ματα ταῦτα ἴδιον μὲν οὐδὲν οὔτε ἐμὸν οὔτε ἄλλου· ἐμφανίζειν δὲ
ἐπιχειρεῖ τὸν νοῦν τὸν Ἀριστοτέλους, καὶ ἐξάγειν ἐκ τῶν ῥημάτων
ἐν οἷς ἐκεῖνος αὐτὸν καθεῖρξέ τε καὶ ἐφράξατο, τοῦ μὴ ἐπίδρομον
εἶναι τοῖς παντάπασιν ἀμυήτοις. καὶ ταῦτα ἐγὼ τὰ συγγράμμα-
τα ἄλλῳ μὲν οὐδενὶ πώποτε ᾤμην οὔτε χρείαν ἕξειν, οὔτε ἔσε-
σθαι σπουδαῖα. οὐδὲ γὰρ οὕτω πολυτελῶς καὶ ἀνδρείως ξυντε-
θέντα αὐτὰ ἠπιστάμην, ἐμαυτῷ δὲ μόνῳ μνημόσυνα καὶ ἀπο-
θήκην ἂν ἠχηκέναι· ἵν', εἴποτε ἀποφύγοιτο τὴν μνήμην, ἐξῇ
μοι ὥσπερ ἐκ ταμιείου λαμβάνειν ἀσφαλοῦς τε καὶ ἀναλώτου
ἀπὸ τῆς λήθης. διὰ ταῦτα οὖν ὀρρωδοῦντός μου περὶ αὐτῶν,
καὶ ἐν φυλακῇ ποιουμένου, ὅπως αἱ μὴ θύραζε ἐκφοιτήσειεν,
λανθάνουσιν οἱ λόγοι οὗτοι ἀποδράντες οὐκ οἶδα ὅπως, καὶ μετὰ
σπουδῆς κυλινδούμενοι ἐξ ἄλλου εἰς ἄλλον, ἀφικνοῦνται εἰς
Σικυῶνα. ᾤκει δὲ ἐν Σικυῶνι τηνικαῦτα ἀνὴρ ὃν ἐγὼ φαίην ἂν
ἀτρεκέστατά τε καὶ ἀδολώτατα τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἀντει-
λῆφθαι φιλοσοφίας, ἀχρυσὴς μὲν γεγονὼς οὐ Χαλκιδέως πρε-
σβύτου, θεραπεύων δὲ οὐ τὴν νέαν ᾠδήν, ἀλλὰ τὴν πάτριον καὶ
ἀρχαίαν τῆς Ἀκαδημίας καὶ τοῦ Λυκείου, οὐχ οἷος κολούειν τε καὶ
παρίεσθαι καὶ βασκαίνειν, εἰ χρηστοῦ τινος ἕτερος μεταποιοῖτο, ἀλλ'
οἷος συνεξορμᾶν καὶ συνωδίνειν οὓς ἂν αἴσθοιτο φυομένους πρὸς
ἀρετήν. οὗτος ὁ ἀνὴρ μικρὰ ὁμιλήσας τῇ ἐμῇ εἴτε σπουδῇ, εἴτε
παιγνίᾳ, ταυτὸν μικροῦ ὑπέμεινε πάθος Ἀξιοθέᾳ τῇ φιλοσό-
φῳ καὶ Ζήνωνι τῷ Κιτιεῖ καὶ τῷ Γεωργῷ τῷ Κορινθίῳ. Ἀξιοθέα
μὲν γὰρ ἐπιλεξαμένη τι τῶν ξυγγραμμάτων ἃ Πλάτωνι πεποίη-
ται περὶ πολιτείας, ᾤχετο ἀπιοῦσα Ἀθήναζε ἐξ Ἀρκαδίας,
καὶ Πλάτωνος ἠκροᾶτο λανθάνουσα ἄχρι πόρρω ὅτι γυνὴ εἴη.

neque obſcuræ adeo ac parum obſeruatæ vobis eſſe poſſunt, ſed amplius adhuc patefaciēdæ hoc loco, atque aperiendæ ſunt. Ego cum adhuc iuuenis eſſem, libros aliquot elucubraui, in quibus patrimonium omne meum quod à Patribus acceperam, collocaui, ac condidi: Porro in his libris non mihi quicquam, aut alteri proprium percēſetur; ſed in explicanda dumtaxat mente Ariſtotelis occupantur, ſenſúque ex verbis eruendo, quibus illum ipſe clauſum atque obſeptū reliquit, ne ab iis adiri temere poſſet, qui adhuc profani, nec dum initiati ſacris eſſent. Atq; hæc ipſa ingenij monumenta nunquam ego alteri cuiquā vtilitatem allatura, aut magnopere ſtudio futura putaueram: neque enim adeo exquiſitè ac viriliter ea conſcripta eſſe cognoueram, ſed ita vt mihi ſoli cōmentarij, ac velut prōptuarij loco eſſent eorum quæ auditu aliquādo percepiſſem, vt, ſi forte memoria excidiſſent, poſſem ea quaſi ex Theſauro aliquo munito, nec vlla obliuione expugnabili, depromere. Propterea cum ego admodum illis metuerē, diligenterque ſeruarem, ne foras vnquam emanarent, neſcio quo pacto contigit furtim vt ij libri méq; inſcio profugerent, ac ſtudioſè ab vno ad alium reuoluti, Sicyonem peruenirent. Degebat tum in ea ciuitate vir, quem ego audacter dixerim omnium ætatis noſtrę Græcorum veriſſimè ac ſynceriſſimè Philoſophiæ profeſſionem attigiſſe; fuerátque is Chalcidenſis ſenis Auditor; non noui illius, ſed à maioribus traditi, cantus ſectator, & iam olim ex Academia & Lyceo profecti, neque eiuſmodi, vt peruelleret alios, aut fremeret, inuiderétque ſi boni quidpiam in altero ineſſet, ſed qui è contrario eos incitaret, atque inflammaret, quos ad virtutem à natura factos eſſe animaduerteret. Ille igitur vir cum parumper ſiue ſeria illa mea, ſiue ludicra tractaſſet, eodē ferè modo repēte eſt affectus, quo Axiotheam Philoſophiæ Magiſtram, & Zenonem Citieum, & Corinthium agricolam fuiſſe accepimus. Nam Axiothea poſtquam è Platonis libris quos ille de Republ. ſcripſit, neſcio quem legiſſet, ſubinde ex Arcadia Athenas profecta eſt, ibique diu pro fœmina non agnita,

vt Achilles Lycomedi, ſic Platoni operam dedit. Agricola vero ille Corinthius, cum forte in Gorgiam incidiſſet (non ipſummet Gorgiam dico; ſed eum librum, quem de conuicto Sophiſta idem Plato ſcripſit,) illico agrum vitéſque deſerens, animum ſuum excolendum Platoni tradidit, doctrinæque illius ſemina ac ſatus excepit. Atque is eſt quem Ariſtoteles Dialogo illo, qui Corinthius inſcribitur, celebratum reliquit. Nam quæ Zenoni contigerunt, perſpicua ſunt & ab omnibus decantata, quemadmodum illum Socratis Apologia ex Phœnicia in Porticum exciuerit. Sed vt ad illum reuertar, de quo antè dixi, non victum ex arte ſua ac compendium quæritabat, verum vniuerſum quem paſcebat gregem in Boſphorum compulit: & quoniam minimè iſtud Adoleſcentibus probari videbat, ſciſcitatum ad Apollinis Oraculum miſit, nunquid melius cognoſceret; vbi quam de Socrate antea Deus, eandem de me ſententiam tulit. Credo ita perſuaſum habere vos per Apollinem illum (Audit.) vt id à me non tanquam fabuloſum quidpiam confictum quaſi pueris vobis obtrudi putetis, neque admirationis excitandæ cauſa Iudicis authoritatem adhiberi, neque temere illud ad faſtum atque ambitioné comparari, ſed quòd alia ratione calumniatores ac maledicos refellere nequeam, quàm ſi amatores ac laudatores meos longè eſſe meliores demonſtrem. Ita enim Socrates ille cum antea Pythij Apollinis teſtimonium non efferret, poſteaquam à Lycone atque Anyto calumnioſe eſt delatus, ac præſto ei Melitus fuit, tanquam Sophiſtam, atque adoleſcentum corruptorem accuſans, tum demum apud iudices Deum teſtem producere coactus eſt. Verũ illi prę ſtoliditate ac væcordia tum quidem circumuenti, ac Polycratis Oratione, quam Anytus redemerat, decepti ſunt, quippe omnes ex infima plebe, ſacrum nihil ac religioſum erat, vos autem ſelecti vndique eſtis, & in eodem inſuper mecum diſcrimine verſamini. Nemo enim prius quàm vos excellentius quiddam, ac ſupra Sophiſtarum conditionem, ineſſe in me ſenſit, ac nomini meo tribuit.

ὥσπερ ὁ Ἀχιλλεὺς τοῦ Λυκομήδους· ὁ δὲ γεωργὸς ὁ Κορίνθιος τῷ Γοργίᾳ ξυγγενόμενος, (οὐκ αὐτῷ ἐκείνῳ Γοργίᾳ, ἀλλὰ τῷ λόγῳ ὃν Πλάτων ἔγραψεν ἐπ' ἐλέγχῳ τοῦ σοφιστοῦ) αὐτίκα ἀφεὶς τὸν ἀγρὸν καὶ τὰς ἀμπέλους, Πλάτωνι ὑπέθηκε τὴν ψυχὴν, καὶ τὰ ἐκείνου ἐσπείρετο καὶ ἐφυτεύετο. καὶ οὗτός ἐστιν ὃν τιμᾷ ὁ Ἀριστοτέλης τῷ διαλόγῳ τῷ Κορινθίῳ. τὰ δὲ ἀμφὶ Ζήνωνος δῆλά τέ ἐστι καὶ ᾀδόμενα ὑπὸ πολλῶν, ὅτι αὐτὸν ἡ Σωκράτους ἀπολογία ἐκ Φοινίκης ἤγαγεν εἰς τὴν Ποικίλην. αὐτὸς μὲν δὴ ἀνὴρ ἐκεῖνος οὐκ ἐδεῖτο ἐπισπεῖσθαι, ἣν δὲ ὀνόμασεν ἀγέλην αὐτίκα ἐξώρμα ἅπασαν εἰς τὸν Βόσπορον. καὶ ἐπεὶ ἠμφισβήτουν οἱ νεανίαι, πέμπει εἰς θεοῦ πευσομένους εἰ ἄρα ἄμεινόν τι ἐκεῖνος γινώσκει. καὶ φέρει τὴν αὐτὴν ψῆφον ὁ θεὸς οἵαν πάλαι ἐπὶ Σωκράτην. ἐπιστεύσατε, ὦ ἄνδρες, νὴ τὸν Ἀπόλλω ἐκεῖνον, ὅτι ταῦτα ἐγὼ οὐ μῦθον συμπλάσας ὥσπερ μειρακίοις προσάγω, οὐδὲ καταπλάττομαι ὑμᾶς τῷ κριτῇ, οὐδὲ καλλωπίζομαι καὶ ἁβρύνομαι ἄνευ ἀνάγκης· ἀλλ' ὅτι οὐκ ἔστιν ἄλλως ἀμύνασθαι τοὺς λοιδορουμένους τε καὶ τοὺς βλασφημοῦντας, ἢ πολλῷ ἀμείνους ἐπιδεικνύντα τοὺς ἀγαπῶντας καὶ εὐφημοῦντας. ἐπεὶ καὶ Σωκράτης ἐκεῖνος πρὸ μὲν οὖ οὐκ ἐξέφαινε τοῦ Πυθίου τὴν μαρτυρίαν· ἐπεὶ δὲ αὐτὸν Λύκων τε καὶ Ἄνυτος διεβαλλέτην, καὶ Μέλιτος ἐφειστήκει γραψάμενος ὡς σοφιστὴν καὶ διαφθορέα τῶν νέων, τότε δὴ ξυνηναγκάσθη τοῖς δικασταῖς ἀναβιβάσασθαι μάρτυρα τὸν θεόν. ἀλλ' ἐκεῖνοι μὲν οἱ δικασταὶ ὑπ' ἀγνωμοσύνης τότε παραυτίκα ἐξηπατήθησαν, καὶ ἐγοητεύθησαν ὑπὸ τοῦ λόγου ὃν ξυνέγραψε Πολυκράτης, Ἄνυτος δὲ ἐμισθώσατο. δῆμος γὰρ ἦσαν καὶ οὐδὲν ἱερόν· ὑμεῖς δὲ ἔκκριτοι ἁπανταχόθεν, καὶ προσέτι κοινωνεῖτέ μοι τοῦ ἀγῶνος. ὃ γὰρ ἄμεινόν τι ἐστὶν ἐμὸν πρᾶγμα ἢ κατὰ σοφιστὴν, οὐκ ἄλλοι τινὲς πρότεροι ὑμῶν καὶ ὑπέλαβον καὶ ἐπεφήμισαν.

μὴν ἄρα ἔτι θαυμαστὸν εἰ τοιούτοις ἐγὼ χρώμενος ὀργάνοις τε καὶ συλλήπτορσι τῆς κυνηγεσίας, ἐθηρευσάμην ὀλίγους νέους, καὶ τοιούσδε ὑπ' ἐμαυτοῦ κεκτημένος ἐπιστάτορας καὶ μισθοδότας, προσηγαγόμην τοὺς λίχνους τῶν μαθητῶν; οὐ γὰρ λίαν, ὡς ἔοικε, φαῦλαί εἰσιν αἱ ἄρκυς τε καὶ τὰ δίκτυα ὧν μικροῦ ἔμπροσθεν ἐμνήσθην, ἅ με ἀποδράντα τῆς οἰκίας αὐτόματα περιθεῖ, ὥσπερ τὰ Δαιδάλου ἔργα, σαγηνεύοντα καὶ συμπλέκοντα τοὺς νέους ὅσοι μὴ βεβυσμένοι εἰσὶ τὰ ὦτα· καὶ προσάγει μοι τὴν ἄγραν οὔτε μέγα οὔτε μικρὸν πραγματευομένῳ. ἀλλ' ἐκεῖνο θαυμαστὸν τῶν κατηγόρων, ὅτι ἐξὸν αὖθις τὰ δίκτυα ταῦτα, ἐν τῷ μέσῳ οὑτωσὶ περιτρέχοντα καὶ ἐν ταῖς χερσὶ τῶν ἀνθρώπων, καταγαγεῖν ἀπὸ τῶν χαλίδων, καὶ διασπάσαι τὰ ἀχρωλένια, καὶ ἐπιδεῖξαι τοὺς βρόχους ὅτι λαγαροὶ ἄγαν καὶ ἀσθενεῖς, καὶ ὑπὸ ἀγνοίας αὖθις οἱ ἄνθρωποι ἐγκαταδύονται· οἱ δὲ τοῦτο μὲν ἢ οὐχ οἷοί τέ εἰσιν, ἢ οὐ προαιροῦνται, ὥσπερ δὲ τὰ φαῦλα τῶν κυνιδίων ὑλακτοῦντα ἀεὶ καὶ θορυβοῦντα, ταῦτα μὲν ὀνίναται οὐδέν, ἀποσοβεῖ δὲ τὴν ἄγραν. εἶεν. τὸν μὲν δὴ ἔμμισθον σοφιστὴν μόλις πως ἄρα διανενεύκαμεν. σκοπῶμεν δὲ ἐφεξῆς τὸν ἔμπορον καὶ τὸν κάπηλον καὶ τὸν αὐτοπώλην, εἰ ἄρα τούτων ἡμῖν προσήκει τι τῶν ὀνομάτων. λέγει τοίνυν ὁ θεσπέσιος Πλάτων ὅτι οὔσης τινὸς τέχνης ἀλλακτικῆς, ἣ διαμείβεται ὧν δίδωσιν ἃ λαμβάνει, ἡ μὲν ἐξ ἄλλης πόλεως εἰς ἄλλην ὠνῇ τε καὶ πράσει χρωμένη καὶ μεταβάλλουσα τὰ ἀγώγιμα, ἐμπορικὴ ὀνομάζεται ὑπὸ τῶν ἀνθρώπων· ἡ δὲ ἐν πόλει μιᾷ καθημένη ἀλλακτικὴ τῶν αὐτῶν τούτων, εἰ μὲν αὐτουργοῦσα τὰ αὑτῆς ἔργα νομίσματος ἀποδίδοιτο, (ὥσπερ οἱ μάγειροι καὶ οἱ βαλανεῖς) αὐτοπωλικὴ ἂν ἐν δίκῃ καλοῖτο· ἡ δὲ τὰ ἀλλότρια ὠνουμένη, καπηλική. τούτων δὴ οὖν τῶν τριῶν ἑκάστην μίαν οὖσαν, σχίζεσθαι δίχῃ τῇ αὐτῇ τομῇ, καθ' ὅτι ἀλλήλων διαφέρει τὰ ἀγοράσματα. ἔμποροι γὰρ τὸν μέν τινα εἶναι σιτίων τε καὶ ἱματίων καὶ ὑποδημάτων,

Quid mirum itaque ſi hiſce adiutoribus ac venationis ſociis fretus, paucos exceperim adoleſcentes, ſi cum tales meo nomine conuiuatores, atque authoramenti largitores ad manum habeam, liguritores aliquot diſcipulos ac cupediis deditos illexerim? Non enim, arbitror, pœnitendæ illæ plagæ, ac retia ſunt, quorum paulo ante mentionem feci, quæ me ſponte domo fugientem ambiunt, perinde ac Dædali opera, eóſque adoleſcentes, qui quidem obturatis auribus non ſint, implicant, atque irretiunt, vt quamlibet ſecuro miniméque ſollicito mihi prędam attrahant. Verùm illud ego de meis accuſatoribus miror, quod cum eiuſmodi retia ita in medio palámque diſcurrentia, & in omnium manibus poſita, è varis deijcere poſſent, & eorum oras reuellere, ac macularum laxitatem & imbecillitatem oſtendere, nec alia re quàm mera ex ignoratione in ea ſeſe homines inducere, cum hæc inquam liceret facere, tamen vel nequiuerint vel noluerint. Sed quemadmodum inepti catuli perpetuo latrantes, atque obſtrepentes, cum nihil promoueant, prædam inſuper abſterreant. Sed de his hactenus. Mercenarium iam Sophiſtam ægre aliquando natando tranſmiſimus: Mercatorem deinceps, & cauponem, & inſtitorem videamus, ſi quod mihi ex iis nominibus cōueniat. Sic igitur Diuinus ea de re Plato loquitur. Cum ſit ars quædam commerciorum inter homines, quæ id quod dat cum eo quod accipit commutet; quę in aliam ex alia ciuitate proficiſcens, vendendo emendóque tranſigit, & merces atque onera permutat, Mercatura ab hominibus appellatur. Quæ vero in vna ciuitate manens earumdem rerum commutationem inſtituit, ſi quidem ſua per ſeſe opera moliatur, eáque pretio diſtrahat, velvti coqui ac balneatores, merito ſuarum ipſa rerum negotiatrix dicetur: Cauponaria vero ſi aliena pecuniâ comparet. Addit trium illarum artium vnamquamque eadem ſectione diuidi in partes duas pro mercium inter ſeſe diſcrimine. Nam mercatorem, alium cibariorum, & veſtium & calceamentorū eſſe, &, vt vno verbo dicam, earum omnium rerum,

quæ ad vſum corporis pertinent: Doctrinarum & artium, alterum, quæ animi pabulum aut lenocinium continent: eodem modo & cauponem, eodem & ſuarum rerum negotiatorem diuidi. Quare ſi quis Muſicam, aut Grammaticam, Picturámve, aut aliam quālibet artem, quæ ad vtilitatem animi aut oblectationem pertinet, ex vna in aliam vrbē transportans, quod hîc emerit alio in loco diſtrahat, mercatoris nihilo minùs quàm Lampes Aegineta cenſendus eſt; Siue hîc in vrbe commorans, diſciplinarum alias redimat, alias fabricet ipſe, vendátque, & pecunia mutet, caupo is erit, ſuarúmque rerum negotiator, haud multo Sarambo ac Thearione elegantior. Atque ita demum ille Sophiſtam, Geryonis inſtar, tricipitem facit. Cuinam igitur eorum qui in commerciis verſantur artificum me mei accuſatores aſcribunt? Vagóne illi atque oberranti, an in vrbe commoranti? Equidem plurimis in ciuitatibus ſum verſatus, longiúſque quā Socrates peregrinatus ſum, non Potidæa tenus in militiā profectus. Etenim arma quidem pro vobis nequaquam tuli, ſed veſtri tamen cauſa terræ plurimum, plurimáſque ciuitates obij, amplas illas atque magnificas, intérque eas Metropolim noſtram, non veſtra illa Megara dico, vnde profecti olim ij qui Boſphorum accoluerunt, ſed eam quæ cum aliis ciuitatibus imperet, commune cum veſtra regnum, atque Imperium obtinet. Atque vtrùm aliud boni quidpiam ad vos ex noſtra illa peregrinatione redundarit, affirmare nō audeam: eas ſanè merces ad illos detuli, quæ mihi primo ſuppetebant, tum quas viginti totos annos mihi hîc apud vos comparaui, partim ex vetuſtis Mnemoſynes theſauris quam plurimas colligens, partim etiam nonnullas ipſe proprio labore conficiens. Itaque faſtidioſi illi, atque omnium contemptores, quique nihil eorum quæ foris aduenìunt, mirari aut volunt aut poſſunt, præ domeſticorum miraculorum copia, ita ſunt tamē noſtrarū aſpectu merciū capti, vt cum agri mihi nudi, atque conſiti, plurimum attribuerēt, argēti itidem atque auri vim maximam offerrent, cúmque quotidie ad diuerſorium meum venientes nihil non facerent

vt ali-

καὶ ἐν βραχεῖ ὅσον τὸ σῶμα τὸ ἡμέτερον ἐπιδεές· τὸν δέ τινα, λόγων τε καὶ μαθημάτων οἷς ψυχὴ τρέφεται ἢ κολακεύεται, ὁμοίως δὲ αὖ κάπηλον, ὁμοίως δὲ καὶ αὐτοπώλην. εἴτε οὖν μουσικήν τις, εἴτε γραμματιστικήν, εἴτε ζωγραφίαν, εἴτε ἄλλο τι ψυχῆς ὠφέλημα ἢ παραμύθιον ἐκ πόλεως εἰς πόλιν μετάγων, ἔνθεν μὲν ὠνοῖτο, ἑτέρωθι δὲ ἀποδιδοῖτο, ἔμπορός ἐστιν οὐδέν τι μεῖον ἢ Λάμπης ὁ Αἰγινήτης· εἴτε αὐτοῦ καθιδρυμένος ἐν πόλει, καὶ τὰ μὲν ὠνούμενος μαθήματα, τὰ δὲ καὶ αὐτὸς τεκταινόμενος πωλοίη καὶ ἀλλάττοιτο ἀργυρίου, κάπηλός ἐστιν ἢ αὐτοπώλης κομψότερος μικρῷ Σαράμβου καὶ Θεαρίωνος. καὶ οὕτως αὖ τρικέφαλόν τινα αὖθις ὥσπερ τὸν Γηρυόνην ἀποφαίνει τὸν σοφιστήν. τίνι οὖν με τῶν ἀλλακτικῶν ἐγγράφουσιν οἱ κατήγοροι; μῶν τῷ πλανήτῃ, ἢ τῷ σταδιαίῳ; ἐγὼ τοίνυν πολλαῖς μὲν ὡμίλησα πόλεσι καὶ ξυνεγενόμην, καὶ ἀπεδήμησα μακρότερα ἢ ὁ Σωκράτης, οὐχ ὅσον εἰς Ποτίδαιαν στρατευόμενος. ἀλλ' ὅπλα μὲν οὐκ ἤνεγκα ὑπὲρ ὑμῶν, ὑμῶν δ' αὖ εἵνεκεν πολλὴν γῆν ἐπῆλθον καὶ πολλὰς πόλεις μεγάλας τε καὶ εὐδαίμονας, ἀτὰρ δὴ καὶ τὴν Μητρόπολιν τὴν ἡμετέραν. οὐ τὰ ἀρχαῖα Μέγαρα λέγω, ἀφ' ὧν ὡρμήθησαν οἱ τῷ Βοσπόρῳ προσοικήσαντες, ἀλλ' ἣ τῶν μὲν ἄλλων πόλεων βασιλεύει, τῇ δὲ ὑμετέρᾳ συμβασιλεύει. καὶ εἰ μέν τι καὶ ἄλλο χρηστὸν ἐξ ἐκείνης ὑμῖν ὑπῆρχε τῆς ἀποδημίας, οὐκ ἂν διϊσχυρισαίμην· ἤγαγον δ' οὖν αὖθις τὰ ἀγώγιμα ὅσα τέ μοι πρῶτα ὑπῆρχε, καὶ ὅσα πρὸ ὑμῶν ἐνθένδε ἐπορισάμην ἐν εἴκοσιν ὀλίγοις ἐνιαυτοῖς, πολλὰ μὲν ἐκ τῶν ἀρχαίων συλλεξάμενος θησαυρῶν τῆς μνημοσύνης, ἔστι δὲ ἃ καὶ αὐτουργήσας. καὶ ὅπως δὴ οἱ πάντες ἔκφρονοι περιφρονοῦντες καὶ οὐδὲν τῶν ἔξωθεν ἀφικνουμένων θαυμάζειν ἢ ἐθέλοντες ἢ δυνάμενοι, διὰ τὴν περιουσίαν τῶν οἴκοι θαυμάτων, ὅμως τοσόνδε ἐδέησαν καὶ ἐκρατήθησαν ὑπὸ τῶν ἀγωγίμων τῶν ἡμετέρων, ὥστε πολλὴν μὲν χώραν καρποῦσθαι διδόντες ψιλήν τε καὶ πεφυτευμένην, πολὺ δὲ ἀργύριον, πολὺ δὲ χρυσίον, ἰόντες τε εἰς τὴν καλινδῆσιν ὁσημέραι, καὶ θαυμαστὰ δρῶντες

ὅπως ἂν χρόνον τινὰ ἐκεῖ διατρίψας, πάλαι κεκλεισμένα τὰ Πυθαγόρου τεμένη καὶ τοὺς Πλάτωνος καὶ Ἀριστοτέλους νεὼς ἀναπετάσαιμι αὖθις κατὰ δύναμιν, καὶ δείξαιμι τὰ ἀγάλματα, ἐπεὶ πείθειν οὐχ οἷοί τε ἦσαν, ἀλλ' ἐγὼ τὰ μὲν ἀγώγιμα παρεῖχα ἐδίδουν, αὐτὸς δὲ ὀπίσω παρ' ὑμᾶς ἱέμην, χεῖράς τε ἐπειρῶντο προσάγειν, καὶ ἐπίκουρον τῷ ἔρωτι τὸν μέγαν παρακαλεῖν βασιλέα. Ἐκ τούτων τίνα ἄλλον μάρτυρα ἂν ὑμῖν παρασχοίμην ἀξιοπιστότερον αὐτοῦ βασιλέως, οὗ καὶ ἀνεγνώσθη ὑμῖν ἐν τῇ βουλῇ ἤδη ἡ μαρτυρία; πῶς ἂν οὖν ἐμπορευοίμην ἐγὼ τὴν σοφίαν; καὶ παρά τινας ἀφικνούμενος ἄλλους ἂν θεράποις ἢ παρ' οἷς μάλιστα καὶ πλεῖστον ἐξῆν; οὗτοι δωτίνην ἀπέλαυσαν τῆς ἐμπορείας. καὶ οὐ λέγω τὸ ἄστυ τοῦ Ἀντιόχου, οὐδὲ ὅσοις ἐκεῖ ξυνέμιξα ἀνδράσι τὰ ἐμὰ φορτία μαστεύουσι καὶ περιποιουμένοις, οὐδὲ ὅσοις ἐν Γαλατίᾳ τῇ Ἑλληνίδι. καὶ αἱ μὲν πόλεις, οὐχ οὕτω μεγάλαι, οὐδ' οἷαι τῇ μεγίστῃ ἀμφισβητεῖν· οἱ δὲ ἄνδρες ἴστε ὅτι ὀξεῖς καὶ ἀγχίνοι, καὶ εὐμαθέστεροι τῶν ἄγαν Ἑλλήνων· καὶ τριβωνίου παραφανέντος ἐκκρέμανται εὐθὺς, ὥσπερ τῆς λίθου τὰ σιδήρια. οὗτοι οἱ ἄνδρες τί οὐκ ἂν παρέχοιντο ὥστε κύριοι γενέσθαι τῆς ἐξαγωγῆς τῶν Πλάτωνος μαθημάτων, ἢ ὑπὲρ τῶν Δημοσθένους δικῶν, καὶ τῆς Θουκυδίδου ξυγγραφῆς, μικροῦ ἴσα τελοῦντες τοῖς τούτων ἐμπείροις ὁπόσα Ξέρξης Θεμιστοκλεῖ τῷ Νεοκλέους; καὶ οἶδα ὅτι συγκάθηνται πολλοὶ καὶ συνδικάζουσι πολλοὶ ἐξ ἐκείνων τῶν πόλεων. πυνθάνεσθε οὖν παρὰ τούτων εἰ ταῦτα ἐγὼ ἀληθῆ λέγω. καὶ ὅτι μὲν ἔμπορος οὐκ ἂν εἴην τινῶν μαθημάτων, παρ' ἄλλων πυνθάνεσθε καὶ ἐπιζητεῖτε· ὅτι δὲ οὔτε κάπηλος οὔτε αὐτοπώλης, αὐτὸ δὴ ὑμᾶς αὐτοὺς ἐρωτᾶτε, εἰ ἐγὼ κάθημαι ἐπ' ἐργαστηρίου πιπράσκων λογάρια μικρὰ ἢ μεγάλα, καὶ προσταξάμην τὸ ζῆν ἐκ τοιαύτης τινὸς ἐργασίας, καὶ ταῦτα ὥσπερ οἱ ἄγαν σοφιστεύοντες τῶν καπήλων παραδεικνύντες τὸν ἀργυριστῆρα.

vt aliquantulum illic temporis commoratus, olim occluſa Pythagoræ templa, & Platonis atque Ariſtotelis delubra ſibi quoad poſſem aperirẽ, & ſimulacra patefacerem: cum id perſuadere nulla ratione poſſent, atq; ego merces quidem meas gratis prębérem, ipſe vero retro ad vos proficiſci cuperem, tum demum manus iniicere, & amoris adiutorem magnum Imperatorẽ aduocare conati ſunt. Cuius rei quem vobis fide digniorem ipſomet Imperatore teſtem producam, cuius vobis iã in Senatu teſtimonium perlectum eſt? Quamobrem quî ego ſapientiæ mercatum inſtituerim? aut ad quos potius quàm eos profectus, apud quos & commodiſſimè, & quãplurima diſtrahere poſſem? Atqui hi gratuitum mercatus mei fructum tulerunt. Nihil de Antiochi ciuitate dico: Taceo viros eos, quorum illic conſuetudine vſus ſum, qui merces meas ſollicitè diligentérque cõquirebant, nec eos commemoro, quibuſcũ in Galatia Græca regione ſum verſatus: cuius prouinciæ vrbes etſi non adeo amplæ, nec cum ampliſſima conferendæ ſint: noſtis tamẽ illarum homines quã acuti & ſolertes eſſe ſoleant, atq; illis etiam qui Græci admodum ſunt, ad diſciplinas capeſſendas dociliores. Nam ſimulatque pallium aliquod conſpexerint, ſtatim ex eo veluti ex magnete ferramenta dependent. Quid non igitur illos homines daturos putamus, quò Platonis doctrinæ ad ſe delatæ cõpotes fiant, qui pro Demoſthenis litibus, & Thucydidis hiſtoria, eorum ſcriptorum peritis pene tantumdem quãtum Xerxes Themiſtocli Neoclis filio penſitãt? Scio pleroſque earum vrbium ciues ſedere vobiſcum, atque vnà de mea cauſa iudicare: De his ergo ſi lubet, percõtamini, nũ ea verè à me dicta ſint. Ac nullius me quidẽ diſciplinæ inſtitorem ac mercatorẽ eſſe ab aliis exquirẽdo, ac ſciſcitãdo cognoſcite. Cauponẽ vero aut mearũ per me rerum venditorẽ non eſſe, de eo voſmetipſos interrogate: nũ ego in officina ſedeã exiguas ſiue magnas orationes venditãs, ex eoq; opere quæſtum mihi ac compendiũ propoſuerim, idque ea pręſertim ratione qua callidiſſimi Caupones ſolent, dum trullã oſtentantes clamant atque vociferantur,

in potu illo odorem eſſe Nectaris, atque heminam ſuam multo cæteris eſſe capaciorem.

* *Ex alio opere quæ ſequuntur, irrepſere.* *

Ea de quibus diſputat prudenter intelligens; nec vllam rem ſibi ad conſiderandum proponens, quam non inferioribus ſcientiis perfectiùs cognoſcat. Quinetiam quas illæ res præ imbecillitate nulla fide corroboratas relinquunt, verſans ea, atque agitãs, repurgat, & fulcit. Quamobrem merito ſcientiarum eſt dicta ſcientia, pro eo quod cæterarum velut funes apti inde ac religati ſint, quodque perinde ac princeps, & magiſtra moderetur eas, doceatq; qua ratione vna quæque tractanda ſit quæſtio. Non quod in angulorum contemplatione penitus verſari, aut in numeris hærere operę pretium eſſe ducat. Ad hæc comparatione artium infimarum illius magis eſt regia poteſtas, atque curatio: id enim ſtudet, vt quaſi è ſublimi humi repẽtes illas proſpiciens exploret ſingulas; & inquirat quam vt pote ſalubrem totam admittere oporteat, quam velut Ciuitatis dedecus in morbis eius omnino repudiare. Reuera enim ars omnis ad ea quæ ſibi præſtituta ſunt, moliẽda, ac fabricanda, iis qui opus habeant omnibus idonea eſt, ſeipſam vero quatenus vtilis aut noxia ſit, explorare nõ poteſt: immo id in artibus eiuſmodi vitij atque inopiæ reſidet, quod pleræque bonis ac malis ſuamet ipſæ opera ſubminiſtrant. Nec gladiorum faber diſcernere illud poteſt, num ſicario gladium ſit venditurus, nec nauium Architectus, vtrum prædoni nauem fabricet, quemadmodum Paridi Harmonides: nec gubernator, vtrùm illius in nauigatione vitam conſeruet, quem demergere in profundum ſit conſultius: Verùm ſi earum opera prudentia ſapientiáque dirigat, ac moderetur, cum idipſum quod deeſt ſupplebit illa, tum eas non ſinet quaſi cæcas, quibuslibet opificia ſua proponere. Atque hoc eſt, quod hiſce verbis ſignificatur, cum dicimus ſcientiarum eſſe ſcientiam, artemque artium, quoniam illarum principia corroborat, harum vſum examinat.

κεκεράγασι καὶ ἐκβοῶσιν ὅτι τοῦ Νέκταρος ἥδιον τὸ πόμα ἐκεῖνο, καὶ ἡ κοτύλη πολυχανδεστέρα *φέρουσα ὑπὲρ ὧν λέγει, καὶ οὐδεμίαν ὑπόθεσιν ποιουμένη ἣν οὐ μᾶλλον γινώσκει τῶν ἐφεξῆς, ἀλλὰ καὶ ἃς ἐκεῖναι δι' ἀδυναμίαν ἀπίστους ἐῶσι, κινοῦσα καὶ περιεργοῦσα ἐκκαθαίρει καὶ βεβαιοῦται. αὕτη οὖν λέγεται ἐπιστήμη εἶναι ἐπιστημῶν, ὅτι τὰ πείσματα αὐτῶν ἐνθένδε ἐξῆπται, καὶ ὅτι ἀρχιτέκτων οὖσα, αὐταῖς ἐπιστατεῖ, καὶ ἐφηγεῖται ᾗ μετιέναι χρὴ ἕκαστον τῶν προβλημάτων. οὐχ ὅτι αὐτὴ παρέργου ποιεῖται ἐνδιαιτᾶσθαι ταῖς γωνίαις, οὐδὲ ἐντετηκέναι τοῖς ἀριθμοῖς· πρὸς δὲ δὴ τὰς τέχνας καὶ βασιλικωτέρα αὐτῆς ἡ ἐπιτροπεία τε καὶ ἐξουσία· καὶ βούλεται εἶναι ὑψόθεν ὁρῶσα χαμαὶ ἐρχομένας, γνωματεύειν ἑκάστην, καὶ ἐξετάζειν εἴτε ὠφέλιμος ὀρθῇ πολιτείᾳ, εἴτε βλαβερὰ καὶ ἀκροσφαλής· καὶ τὴν τινα μὲν ὅλην παραδεκτέον ὡς ὑγιῆ, τὴν τινα δὲ αὖ παντάπασιν ἐξοριστέον ὡς ἄχθος πόλεως ἐν τοῖς ἀρρωστήμασι. τῷ γὰρ ὄντι ἅπασα τέχνη τὰ μὲν ὑφ' ἑαυτῇ τεταγμένα χειρουργεῖν ἱκανή, καὶ πᾶσι σκευάζειν τοῖς δεομένοις· ἑαυτὴν δὲ οὐχ οἵα τε ἐξετάζειν ἄχρι τοῦ ὠφέλιμος ἢ ἐπιβλαβής· ἀλλὰ καὶ τοῦτο τῶν τεχνῶν πονηρὸν καὶ ἐνδεές, ὅτι ὁμοίως μὲν ἀγαθοῖς, ὁμοίως δὲ φαύλοις ὑπηρετοῦσι τὰ σφέτερα ἔργα. καὶ οὔτε ὁ μαχαιροποιὸς δοκιμάζειν ἔχει εἰ ἀνδροφόνῳ τὴν μάχαιραν ἀποδώσεται, οὔτε ὁ ναυπηγός, εἰ ἅρπαγι ναυπηγήσεται, ὥσπερ τῷ Πάριδι Ἁρμονίδης· οὔτε ὁ κυβερνήτης, εἰ σώζει ἐν τῷ πλῷ ὃν καὶ βαπτίσαι ἄμεινον ἦν. εἰ δὲ καὶ φρόνησις καὶ σοφία τὰ ἔργα αὐτῶν ἀπευθύνοι καὶ διατάττοι, καὶ τοῦτο αὐτῶν τὸ ἔλλειμμα ἐξιάσεται, καὶ οὐ ξυγχωρήσει ὥσπερ τυφλοῖς περιτείνειν τὰ δημιουργήματα τοῖς ἀπαντῶσι. τοῦτ' οὖν ἐστιν ὃ λέγει ὁ λόγος, ἐπιστήμην εἶναι ἐπιστημῶν καὶ τέχνην τεχνῶν, ὅτι τῶν μὲν τὰς ἀρχὰς βεβαιοῦται, τῶν δὲ ἐξετάζει τὴν χρείαν.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙ ΤΗ ΦΙΛΑΝθρωπίᾳ τοῦ αὐτοκράτορος Θεοδοσίου. ἐρρήθη δὲ ἐν τῇ συγκλήτῳ.

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

ΛΥΚΟΥΡΓΟΝ τὸν Σπαρτιάτην ἐν Δελφοῖς εἰς τὸ μέγαρον εἰσιόντα οὕτω προσεῖπεν ἡ Πυθία, Ἥκεις ὦ Λυκόεργε ἐμὸν ποτὶ πίονα νηὸν, Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι. Δίζω ἠὲ θεὸν μαντεύσομαι, ἠὲ καὶ ἄνδρα. Ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόεργε. διὰ τί μᾶλλον θεὸν, ὦ Λοξία; ἆρα ὅτι νίκας ἐνίκησεν ὁ βασιλεὺς οὗτος περιβοήτους, καὶ ἐσώρευσε νεκροὺς πολεμίων; ἢ ὅτι ἐδορυφόρουν αὐτὸν αἰχμοφόροι καὶ μηλοφόροι χρυσῷ ἐσταλμένοι, ἢ ὅτι χρυσᾶ ἅρματα αὐτοῦ παρεπέμπετο Νισαίων ἵππων; ἢ ὅτι αὐτὸς ἐκεκόσμητο στρεπτοῖς καὶ Τιάρᾳ καὶ ἁλουργίδι; ἀλλὰ τὸν μὲν Ἑλλησπόντιον ξένον ἐξέπληξεν εἰκότως αὕτη σύμπασα ἡ σκευὴ καὶ ἀλαζονεία, ὥστε θεὸν νομίσαι Ξέρξην τὸν Δαρείου· ἐγὼ δὲ, φαίη ἂν ὁ Ἀπόλλων, ταῦτα μὲν οἶδα ὀλίγου ἄξια, καὶ πολλοῖς ὑπάρξαντα μοχθηροῖς καὶ ἀνοήτοις δυνάσταις, οὓς οὐχὶ θεούς· οὐδὲ ἀνθρώποις ἄξιον προσειπεῖν· ὥσπερ αὐτὸν ἐκεῖνον τὸν Ξέρξην, οὕτως ἀπόπληκτον ὄντα ὥστε μαστιγοῦν τὴν θάλατταν, καὶ πέδας ἐμβάλλειν τῷ Ἑλλησπόντῳ· ᾧ πὲρ οὐδὲν ἦν καὶ ἐν φαύλῳ ἀνθρώπου ἀποτεμεῖν κεφαλήν. διὰ τοῦτο οὖν ὑπὲρ ἐκείνου μὲν εἴ τις με ἤρετο, οὐκ ἂν ἐδίστασα εἰ θεὸς ἢ ἄνθρωπος ἦν, ἀλλ' εἰ ἄνθρωπος ἢ θηρίον. οὐδὲ γὰρ ὕστερον περὶ Νέρωνος τοῦ Ῥωμαίου, εἰς τὸν αὐτὸν τοῦτον νεὼν ἡνίκα ἀφίκετο, ἐδίστασα εἰ θεὸς ἀφίκετο· ἀλλ' εὖ ᾔδειν ὅτι θηρίον ἐν μορφῇ ἀνθρώπου. καίτοι ἀφίκετο κιθάραν μετὰ χεῖρας ἔχων,

EIVSDEM DE IMPERATORIS Theodoſij humanitate:habita eſt autem in Senatu.

ORATIO V.

LYCVRGVM Spartanum Delphis ædem Apollinis ingredientem, ita compellaſſe Pythia dicitur:

Tu mea nunc in opima gradum fers templa Lycurge,
Chara Ioui ſoboles,cœlíque tenentibus axem.
Téne Deum dubito,an mortalem dicere fas ſit.
Sed diuum mage dicendum te credo Lycurge.

Cur Deum illum potius ô Apollo? an quod celeberrimas victorias Princeps ille reportarit?an quod occiſorum ab ſe hoſtium cadauera cumularit? An quod haſtatorũ ac ſpiculatorum auro ſplendẽtium ſatellitio cingeretur? aut quoniã ante eum aureorum curruũ Niſæis equis trahentibus pompa præcederet?ſiue quod torquibus idẽ,& Tiara,ac purpurea veſte fulgeret?Verum vt Helleſpontiũ hoſpitem merito ornatus iſte atque ambitioſa oſtentatio in ſtuporem adduxerit, adeo vt Xerxem Darij filiũ Deũ arbitraretur,ego tamen (diceret Apollo) parui iſta facienda eſſe ſcio,vt quæ à pleriſque nequiſſimis & ſtolidis Principibus obtineantur,quos non modo Deos,ſed ne homines quidem appellare deceat:velvt eſt ille ipſe Xerxes, vſque eò vecors,atq; amens,vt mare verberaret,& Helleſponto cõpedes injiceret:cui pro nihilo, leuéque admodũ eſſet, homini caput præcidere. Propterea de illo ſi me aliquis interrogaret,minimè dubitarem, Deúſne,an homo eſſet, ſed vtrum homo, an bellua potius exiſtimandus. Neque enim multis poſtea ſæculis de Nerone Romanorum Imperatore dubitaui, tum cum ad hocce templum venit, num ad me Deus aliquis veniſſet: ſciebam enim ſub hominis figura latere belluam. Quanquam ille quidem eo habitu venit, vt & Citharam manibus teneret,

& Citharœdorum ſtolam geſtaret, quam mihi gratam eſſe Poëtarum ac Pictorum opinio eſt. Sed quoniam ineptus illius erat animus & abſurdus: & Imperium omne non externis tãtum, ſed domeſticis etiam cædib. repleuerat, nedum illo introeunte gauiſus ſum, verùm abhorrui omnino & abominatus ſum, vittáque comã eius implicans, exeunti coronam detraxi. Sed neque Crœſum Lydiæ regem magni admodum exiſtimaui, quanquam ille ædes meas, laterculis aureis partim integris partim dimidiatis impleuerat: verum luxus erat non virtutis illa Mollipedis compellatio. Quæ cum ita ſint, quid in Lycurgo tandem animaduerti, cuius gratia Deum illum potiùs quã hominem appellandum cenſuerim? facilitatem nimirum, iuſtitiã, atque pietatem, harúmque principem omnium humanitatem. Cuius vnius beneficio Reges ad Dei ſimilitudinem accedunt. Nam cum ille Spartam accepiſſet ſine vllis legibus perturbatiſſimam, & bellorum tumultibus refertam, ſubinde eam pace atque optimis legibus vndequaque repleuit. Adeoque miti & placato ingenio fuit, vt eũ qui ſibi in concione oculum effoderat, cum lapidibus obruere vellent Lacedæmonij, ſeruauerit, atque à ſupplicio vindicarit. Quem cum ſecum in domũ ſuam adduxiſſet, ita informauit ac manſuetum reddidit, vt pro nefario ciue bonum illum virum efficeret. Præclarè enim iſtud Rex ille nouerat, non referenda iniuria bonum principẽ, ſed benè merendo iis à quibus laceſſitus foret, ſuperiorem videri oportere. Virtutis quippe hæc victoria eſt, vindicta vero poteſtatis. Deinceps itaq; ô chariſſime Pythie, nobis quoque reſpõdere tete oportet. Nam ſi vnius ciuitatis rector, aut exiguæ ſaltem Peloponneſi parti imperãs, qui & pauper eſſet ipſe, & pauperibus præeſſet, qui in Phiditio veſceretur, & ex Eurota biberet, ſi is inquam ob facilitatem duntaxat ac clementiam dubitare te fecerit, qua eſſet appellatione dignus: quid de eo tandem diceres, qui cum pene vniuerſam in terram ac mare dominatum teneat, cúmque per illũ Romano Imperio ſit ſubiectus Oriẽs, pacatus Occidens quieſcat, cũ illũ gentes omnes nationeſq; venerentur,

καὶ ἐν στολῇ κιθαρῳδικῇ, ἣν ἐμοὶ φίλην ὑπολαμβάνουσιν οἱ ποιηταὶ καὶ οἱ ζωγράφοι· ἀλλ' ὅτι ἡ ψυχὴ αὐτοῦ ἄμουσος καὶ ἀνάρμοστος ἦν, καὶ ἐνέπλησε φόνων τὴν ἀρχὴν οὐ μόνον ὀθνείων, ἀλλὰ καὶ ἐγγενῶν, οὐχ ὅπως ἥσθην εἰσιόντι, ἀλλ' ἐμυσάχθην καὶ ἀπεστράφην, καὶ ἀπεστεφάνωσα ἐξιόντα, λαβόμενος τῆς κόμης τῇ ταινίᾳ. ἐπεὶ οὐδὲ Κροῖσόν ποτε τὸν Λυδὸν ἐν μεγάλῳ ἐποιησάμην, καίτοι ἐμπλήσαντα τὸν σηκὸν πλίνθων χρυσῶν καὶ ἡμιπλινθίων· ἀλλὰ τρυφῆς ἦν καὶ οὐκ ἀρετῆς ὁ πόδαβρος ἐπωνυμία. τί οὖν ἐστιν ὃ ἐν Λυκούργῳ κατανοήσας, μᾶλλον ἐθέμην τῷ θείῳ προσρήματι ἢ τῷ ἀνθρωπίνῳ; ἡ πραότης καὶ ἡ δικαιοσύνη καὶ ἡ εὐσέβεια, καὶ ἡ τούτων ἔξαρχος φιλανθρωπία, καθ' ἣν μόνον δύναται βασιλεὺς θεῷ ὁμοιοῦσθαι. παραλαβὼν γὰρ τὴν Σπάρτην ἀνομώτατα διακειμένην, καὶ πολέμου ἔμπλεω, μεστὴν εἰρήνης πανταχόθεν ἐποίησε καὶ εὐνομίας. καὶ οὕτω πρᾶος καὶ ἵλεως ἦν, ὥστε καὶ τὸν ἐκκόψαντα αὐτοῦ τὸν ὀφθαλμὸν ἐν τῇ ἐκκλησίᾳ καταλαβεῖν ὡρμημένων Λακεδαιμονίων, περισῶσαί τε καὶ ἐξελέσθαι, καὶ παραλαβὼν οἴκοι τὸν ἄνθρωπον, οὕτω παιδεῦσαι καὶ ἡμερῶσαι ὥστε ἀντὶ κακοῦ πολίτου χρηστὸν ἄνθρωπον ἀποφῆναι. ἠπίστατο γάρ, ὡς ἔοικεν, τοῦτο ὁ βασιλεὺς ὅτι οὐκ ἀντιβλάπτοντα χρὴ τὸν ἀγαθὸν βασιλέα, ἀλλ' εὖ ποιοῦντα, μείζω φαίνεσθαι τῶν ἠδικηκότων. ἀρετῆς γὰρ αὕτη νίκη, τιμωρία δέ, δυνάμεως. τοὐντεῦθεν οὖν, ὦ φίλε Πύθιε, καὶ πρὸς ἡμᾶς σοι ἀποκριτέον. εἰ γὰρ μιᾶς πόλεως βασιλεύς, ἢ μέρους σμικροῦ Πελοποννήσου, καὶ πένης μὲν αὐτός, πενήτων δὲ ἄρχων, σιτούμενος δὲ ἐν Φιλιτίῳ καὶ πίνων ἐκ τοῦ Εὐρώτα, διὰ πραότητα μόνον παρέσχε σοι ἀμφιβολίαν ὁποίῳ ὀνόματι προσρητέος, τί φαίης ἂν ὦ μακάριε περὶ τοῦ πάσης σχεδὸν βασιλεύοντος γῆς καὶ θαλάττης, δι' ὃν ὑποκύπτει μὲν Ῥωμαίοις ἡ ἕως, ἄζεται δ' ἡ ἑσπέρα, θεραπεύει τε ἅπαντα φῦλα ὅσα τε ἤδη ὑπ' αὐτοῦ κυβερ-

νᾶται, καὶ ὅσοις ἐν εὐχαῖς ἡ τούτου ἐστὶν ἐπιδημεία· ὅτι οὕτω πρᾶος
καὶ ἥμερος καὶ γαλήνης γέμει, ὥστε καὶ τοὺς ἀδικεῖν εἰς τὴν ἀρ-
χὴν ἐλεγχθέντας, ὑπὸ τοῦ νόμου καταχριθέντας ἐξελέσθαι τῆς
ἐκ τοῦ νόμου ἀνάγκης, καὶ ἐπαναγαγεῖν εἰς τὸν ἥλιον ἐκ τῶν πυ-
λῶν τοῦ Ἀχέροντος; ἆρα διστάσεις καὶ ἐπισκέψῃ πότερον θεὸς ἢ
ἄνθρωπος εἰσελήλυθεν ἡμῖν εἰς τὸν νεών; καὶ οὐκ ἀποφαίνῃ
θαῤῥαλεώτερον ἢ περὶ τῆς ψάμμου ὁπόση ἐστὶν ἐν τῇ γῇ, τού-
τῳ τῷ βασιλεῖ προσήκειν τῆς ἄνωθεν προσηγορίας. πάλαι
μὲν γὰρ τοῦτο αὐτὸ ἀγαθὸν ἦν ὅτι χρυσὸν ἑωρῶμεν πολλάκις ἐκ
τῶν δύο μόνων ταμιείων ἐπανιόντα πρὸς τοὺς οὐ δικαίως εἰσπε-
πραγμένους· νῦν δὲ εἴδομεν ἀνθρώπους ἐκ τῶν τοῦ ᾅδου προ-
θύρων εἰς τὸ ζῆν ἐπανιόντας, οὓς ὁ μὲν νόμος ἐκεῖσε ἀπήγαγεν, ὁ δὲ
τοῦ νόμου κύριος ἐκεῖθεν ἐπανήγαγε, γινώσκων ὅτι ἄλλη μὲν δι-
καστοῦ, ἄλλη δὲ βασιλέως ἀρετή, καὶ τῷ μὲν προσήκει ἕπεσθαι
τοῖς νόμοις, τῷ δὲ ἐπανορθοῦν καὶ τοὺς νόμους, καὶ τὸ ἀπηνὲς αὐτῶν
καὶ ἀμείλικτον παραδεικνύναι, ἅτε νόμῳ ἐμψύχῳ ὄντι, καὶ οὐκ
ἐν γράμμασιν ἀμεταθέτοις καὶ ἀσαλεύτοις. διὰ τοῦτο γάρ, ὡς
ἔοικε, βασιλείαν ἐκ τοῦ οὐρανοῦ κατέπεμψεν εἰς τὴν γῆν ὁ θεός,
ὅπως ἂν εἴη καταφυγὴ τῷ ἀνθρώπῳ ἀπὸ τοῦ νόμου τοῦ ἀκινήτου
ἐπὶ τὸν ἔμπνουν καὶ ζῶντα. δεῦρ' ἴτε οὖν ὦ φίλαι Μοῦσαι, αἳ τὸν
νέον τὸν βούλιον ἡμῖν συνοικεῖτε, σύν μοι λάβεσθε τοῦ ὕμνου ὃν
ἀπάρχομαι αὐτῷ ἐπὶ τῇ ἔναγχος φιλανθρωπίᾳ. ἰδοὺ γὰρ ὁ ἀνὴρ
οὕτως ἀσπάζεται ὑμᾶς, ὥστε ὁμοσκήνους ποιῆσαι ὑμῖν τὴν βα-
σιλίδα, καὶ ἵστασθαι αὐτῇ ἄγαλμα ἐν τῷ αὐτῷ τούτῳ σηκῷ, ἵνα
καὶ αὐτοῦ βασιλέως καὶ τοῦ παιδὸς τοῦ βασιλέως. καὶ διὰ τοῦτο ἔσον-
ται ὑμῖν οἱ χοροὶ ἤδη γεραρώτεροι τῇ κοινωνίᾳ. ἀρκτέον δὲ ἡ-
μῖν οὐκ ἔνθεν ὅθεν περ Ὅμηρος παρήγγελλεν· οὐ γὰρ μῆνιν ἄσε-
σθαι οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν· ἀλλὰ πραό-
τητα καὶ φιλανθρωπίαν, δι' ἧς ἐπέδειξεν ἅπασι βασιλεῦσιν ὅτι
παντάπασιν αὐτῷ ἀπὸ θυμοῦ καὶ ἀλλοτρία ἡ μέλαινα ψῆφος.

venerentur, non modo quæ eius Imperio gubernantur, ſed etiã quæ regi ab eo ſeſe atque adminiſtrari in votis habent, is nihilominus tanta ſit facilitate, ſuauitate, ac lenitate præditus vt qui imminutæ maieſtatis conuicti, ac dãnati legibus erant, hos ab legum neceſſitate ſolueret, atq; ex Orci portis ad ſolem lucémque reuocaret? Dubitabis igitur atque illud cõſiderabis, num Deus aliquis an homo nobis in templum aduenerit, nec audaciùs quã de arenæ quæ in terra eſt numero pronuntiabis: ei Principi cœleſtẽ illam appellationem conuenire? Iamdudum enim erat illud quidem præclarum atque admirabile, cum aurum videremus ſæpius duobus ex ſolis ærariis ad eos reuerti, ab quibus iniuſtè erat exactum. Nunc autem homines vidimus, ex inferorum veſtibulo ad vitam excitatos, quos lex ipſa quidem illuc amandauit, legum illinc Princeps ac dominus reduxit: qui hoc ipſum pręclarè vidit, aliam Regis, aliam Iudicis laudem ac virtutem eſſe: huic ſequẽdas leges, illi interdum etiam corrigendas, earúmque ſeueritatem ac duritatem eſſe declarandam, vt pote qui viua ſpiránſque lex ſit, non in fixis atque immobilib. literis poſita. Hæc enim cauſa videtur eſſe, ob quã regia poteſtas à Deo in terris è cœlo tranſmiſſa ſit, vt ab immota conſtantique lege, ad ſpirantem atque viuam hominib. eſſet perfugium cõſtitutum. Adeſte itaque Muſæ, quæ auguſtum hoc conſilij templum colitis, Canticum illud mecum cõcinite, quod ei ob recentem humanitatem ac clemẽtiam dicere aggredior. En vos ille adeo fouet ac cõplectitur, vt Imperatricem cõtubernalem veſtram faciat, & in eodem delubro ſimulachrum illius ſtatuat, vbi & Imperatoris & eius filij imagines ſunt collocatæ. Ob id cœtus veſtri, chorique tanta communionẽ ac ſocietate auguſtiores erunt. Initium porro carminis non inde ducendum, vnde Homerus incipere vos hortatur. Non enim iram canetis

Lethiferam, innumerũm Græcis quæ cauſa malorum.

Sed facilitatem ac clementiam per quam manifeſtè illud omnibus indicauit Princeps, nigrum calculum planè inuiſum ſibi eſſe, atque à natura ſua & voluntate alienum.

Atque hoc ipſum argumento eſt, ab Imperatore illum accipi, quòd niger eſſe deſinat. Neque enim fieri poteſt, vt cum illius in manus venerit, colorem non mutet. Nam clypeum quidem vtramque in partem agitare didicit, dextram videlicet ac ſiniſtram: calculum in dextram dumtaxat, in ſiniſtram nequaquam didicit: neque lances habet, vti apud Homerum Iuppiter, ex auro duas, vitæ atque necis; nec vnquam ab mortifero pondere ac momento vitale deprimitur: ſed vergente illo deorſum ac ſidente quod ad inferos tenebráſque detrahit, ſurſum aliud cœlum verſus attollitur. Sed neque in Imperatoris pauimento duo poſita ſunt dolia, cuiuſmodi duo Iouis in ſolio collocata eſſe Homerus aſſerit, eadémque fatorum plena, alterum bonorum, contrariorum alterum. At Imperatori noſtro nullum mortis dolium eſt, ſed vitæ dumtaxat plenum ſemper atque exuberans, quam ex eo meram ac ſynceram haurit, atque in homines effundit. Pręclarè ſiquidem huic Aſſyriorum ſententiæ fidem adhibet, quæ Cor Regis meritò dicit in Dei manu cuſtodiri, quod quidem in condemnationis literas minimè propendere poteſt. Neceſſe eſt enim, vt qui haſce literas facilè ſcribit, ex ea manu excidat, quæ vitam omnibus perpetuo largitur. Olim quidem vobis (Imperator) Diuinitatis appellationem Reipublicæ conſenſus attribuit, non quod immenſa auri copia veſtra in poteſtate ſit, non quod abundè coronæ vobis, ac purpureæ veſtes ſuppetant, non quod diuitem ex paupere ſubito faciendi magna vobis facultas ſit (hæc enim longè cœlo, cœlique imagine ſunt inferiora:) Sed quod vnius in Dei principiſque poteſtate ſit, vitam alteri concedere: ſiquidem nemo cum Deum inuocat, Victorem, aut Triumphatorem, aut Germanicum, atque Scythicum; ſed amantem hominum, Pium, atque Seruatorem appellat. Proinde ea tibi amplectenda virtus eſt: ita nunquam tete à ſe illa manus excutiet, quemadmodum Neronem olim & Domitianum, & Seueri filium excuſſit: non item Traianum, aut Marcum,

καὶ τοῦτο σημεῖον τοῦ λαβεῖν αὐτὴν βασιλέα τὸ μέλαιναν μεῖναι. οὐ γὰρ δὴ ἐλθοῦσά γε εἰς αὐτὸν οὐκ ἀλλοχροεῖ. τὴν μὲν γὰρ ἀσπίδα οἶδεν ἐπ᾽ ἄμφω νωμᾶν ἐπὶ δεξιά τε καὶ ἀριστερά, τὴν ψῆφον δὲ ἐπὶ δεξιὰ μόνον, ἐπ᾽ ἀριστερὰ δὲ οὐκ οἶδεν. οὐδὲ ἔστιν αὐτῷ χρυσοῦ τάλαντα, ὥσπερ Ὅμηρός φησι, τῷ Διὶ ζωῆς καὶ θανάτου, οὐδὲ καθέλκεταί ποτε ἡ ῥοπὴ ὑπὸ τῆς θανατηφόρου ἢ ζωηφόρου, ἀλλ᾽ ἐξαίρεται ὑψοῦ ἀεὶ πρὸς τὸν οὐρανόν, χαμαὶ πεσούσης τῆς ἐπὶ τὸν ζίφον ἀγούσης. ἀλλ᾽ οὐδὲ δύο πίθοι κατακείαται ἐν τῷ βασιλέως ἐδάφει, ὥσπερ αὖ Ὅμηρος λέγει ἐν τῷ τοῦ Διὸς οὔδει κατακεῖσθαι δύο πίθους κηρῶν ἐμπλείους, τὸν μὲν, ἐσθλῶν, τὸν δὲ ἕτερον, ἐναντίων· βασιλεῖ δὲ οὐκ ἔστιν ὁ πίθος ὁ τοῦ θανάτου, ἀλλ᾽ ὁ τῆς ζωῆς μόνος μεστὸς ἀεὶ καὶ ὑπερχειλής, ἐξ οὗ ἀκεράτου αὐτὴν ἀρύεται καὶ χορηγεῖ τοῖς ἀνθρώποις. πεπίστευκε γὰρ εὖ ποιῶν τῷ λόγῳ τῷ Ἀσσυρίῳ, ὃς τὴν καρδίαν τοῦ βασιλέως λέγει, εὖ λέγων, ἐν τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖσθαι, ἣν οὐχ οἷόν τε γράμμασι θανατηφόροις ἑαυτὴν συνεπιδοῦναι, ἀλλ᾽ ἀνάγκη τὸν ἐκεῖνα τὰ γράμματα γράφοντα δυσχερῶς ἐξολισθαίνειν τῆς χειρὸς τῆς ἀεὶ χορηγούσης ζωήν. αἴωθέν τι, βασιλεῦ, ἡ Πολιτεία τὸ τῆς θειότητος ὄνομα ὑμῖν ἐπεφήμισεν· οὐχ ὅτι πολὺς χρυσὸς ὑμῖν ἐν ἐξουσίᾳ, οὐδ᾽ ὅτι στέφανοι καὶ ἁλουργίδες ἐν περιουσίᾳ, οὐδ᾽ ὅτι πλούσιον ἐκ πένητος παραχρῆμα ποιῆσαι ῥᾳστώνη ὑμῖν (ταῦτα γὰρ πάντα χαμαλώτερα τοῦ οὐρανοῦ καὶ τῆς πρὸς ἐκεῖνον εἰκόνος) ἀλλ᾽ ὅτι μόνῳ θεῷ καὶ βασιλεῖ ἐν ἐξουσίᾳ ἐπὶ ζωῆς ἐπιδοῦναι. οὐδεὶς γὰρ ἐν ταῖς ἐπικλήσεσι τοῦ θεοῦ τὸν νικητὴν ἤτοι θριαμβευτὴν ἀνακαλεῖται, ἢ τὸν Γερμανικὸν ἢ τὸν Σκυθικόν, ἀλλὰ τὸν Φιλάνθρωπον καὶ τὸν Εὐσεβῆ καὶ τὸν Σωτῆρα. ταύτης ἀνθεκτέον σοι τῆς ἀρετῆς, καί σε οὐδέποτε ἐκείνη ἡ χεὶρ ἀφ᾽ ἑαυτῆς ἀποσείσει, ὡς ἀπεσείσατο Νέρωνα καὶ Δομετιανόν, ὡς τὸν τοῦ Σεβήρου, ἀλλ᾽ οὐ Τραϊανόν γε, οὐδὲ Μάρκον,

οὐδὲ Ἀντωνῖνον τοὺς σοὺς πολίτας καὶ ἀρχηγέτας, ἐξ ὧν πόρρωθεν ἡμῖν ὁ θεὸς τὴν σὴν βασιλείαν ἐξωρμιάζετο. τοῦτο ἐγὼ τὸν ἔπαινον λαμπρότερον ὑπολαμβάνω τοῦ Σκυθικοῦ, καίτοι κἀκεῖνο ἤγειρας μόνος καὶ ἄνευ τῶν ὅπλων· πρὸς τοῦτο δὲ οὐχ ὅπως συνήρατό σοι ὁ σίδηρος, ἀλλὰ καὶ ἠμβλυώθη, ὃ δὴ οὐκ ἤγειρεν ὁ Φιλίππου ὁ μέγας Ἰνδῶν διαβὰς ἐκ Μακεδονίας. ἀλλὰ Δαρείου μὲν ἐκράτει καὶ Πώρου, τῆς Κλείτου δὲ παρρησίας ἡττήθη, καὶ οὐκ ἠμύνατο οἴνῳ τὸν οἶνον, ἀλλὰ σιδήρῳ· οὐδὲ τὴν αὐθάδειαν πράως ἠνέσχε τὴν Φιλώτα πρὸς τὴν ἑταιρείαν σοβαρώτερον ἐκλαλήσαντος, ἀλλὰ προσαπώλεσε τῷ Φιλώτᾳ καὶ Παρμενίωνα. ἀλλ' οὐ σύ γε ὦ θεοφιλέστατε αὐτοκράτορ, ἀλλὰ διὰ τοὺς μηδὲν ἠδικηκότας καὶ τοῖς ἁμαρτάνουσιν ἔδωκας συγγνώμην, καὶ παραπλησίως ἀθῷον ἀφῆκας τῷ καθευδήσαντι δυστυχῶς τὸν μάταια παροινήσαντα. οὕτω σοι καὶ μικρὰ ῥοπὴ πρὸς φιλανθρωπίαν αἰτία μεγάλης ἐστίν. αἴτιον δέ, ὅτι πέφυκας θεοφιλής· ἕκαστος δὲ μικροῦ δεῖται ὑπεκκαύματος ἐπὶ τὴν ὁρμὴν τῆς φύσεως. καὶ πάλαι μὲν οὐ διεκέκριτο ἐν τῷ τοιῷδε ἐγκλήματι ἀδίκημα δυστυχήματος, ἀλλ' ἐν ἴσῳ καθειστήκει τὸ βουλεύσασθαί τι τῶν ἀθέσμων καὶ τὸ πείθεσθαι μὴ προελόμενον. καίτοι τῆς φύσεως ἔγκλημα ἦν τοῦτο, ἢ τοῦ ἀνθρώπου, ὅτι τὴν ἀκοὴν ἐποίησεν ἀναπεπταμένην, καὶ οὐχ ὥσπερ τὰ βλέφαρα καὶ τὸ στόμα ἐφ' ἡμῖν κλείειν καὶ ἀνοιγνύναι, οὕτω καὶ τὰ ὦτα, ἀλλ' αὐτὴ μόνη σχεδὸν καὶ ἡ αἴσθησις ἐκπέφευγε τὴν ἐφ' ἡμῖν ἐξουσίαν, καὶ δέχεσθαι ἀνάγκη πᾶν τὸ προσπίπτον αὐτῇ, ὥσπερ οἴκημα ἄθυρον καὶ ἀνεῳγμένον. σὺ δὲ τὴν μὲν ἀκοὴν ἐξεῖλες παντάπασι τῶν ἐγκλημάτων, κόλασιν δὲ καὶ ῥήμασι συνεχώρησας, καὶ τῆς πράξεως αὐτῆς οὐ δεχομένης ὑπερβολήν, προσήκω ῥῆμα τοῦ ἔργου θαυμασιώτερον. ἁπάντων γὰρ ἡμῶν τὴν ἀνεξικακίαν τεθαυμακότων, σὺ δὲ βραδυτῆτα αὐτῆς ᾐτιῶ. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἀγανακτοῦντος

atque Antoninum, populares maioréſque tuos, à quibus iam tum Imperium tuum Diuina Prouidentia moliebatur. Hoc ego trophæum multo Scythico illo celebrius arbitror. Quanquam iſtudipſum ſolus nullóque armorum pręſidio conſtituiſti: in hoc tantum abeſt, vt ferrum quicquam contribuerit, vt eius quoque hebetata ſit acies: cuiuſmodi nunquam Philippi ille filius erexit, qui ad Indiæ vſque fines è Macedonia penetrauit: ſed Darium quidem ac Porum facilè vincebat, ab vna vero Cliti vinolentia petulantiáque victus eſt. Neque vino vinum, ſed ferro vindicauit: neque Philotæ contumaciam moderatè tulit, cum nonnihil inſolentius apud ſcortum iactaſſet, ſed cum Philota etiam Parmenionem interfecit. Non ita tu, Diuiniſſime Imperator, qui propter innocentes etiam iis qui deliquerant, errati gratiam feciſti, atque eum qui inania quędam affectarat, pariter cum eo qui infelici quodam fato obdormierat, liberaſti: Adeo tibi vel leue aliquod momẽtum magni inſtar ad clementiam eſt. Cauſa autem hæc eſt, quòd naturâ diuinus ſis: vnuſquiſq; porro ad id in quod naturâ propẽſus eſt, paruo admodum fomite atque incitamento opus habet. Olim in eiuſmodi criminibus, nihil inter culpam ac fortunam diſcernebatur; parque & idem erat noxæ genus nefarium aliquid ac ſceleſtum moliri, & idipſum præter voluntatem audiſſe. Atqui hoc erat naturam hominis arguere, quod apertas ac patulas aures dediſſet, nec quemadmodum palpebras atque os, ſic etiam aures claudere aut diducere in poteſtate noſtra eſſe voluiſſet: cũ fere vnus hic ſenſus poteſtatem noſtram atque libertatem effugiat, ac quicquid in eum incurrerit, velvt ianua carentibus & apertis ædibus, ita neceſſario ſint illi omnia ſuſcipienda. Tu verò auditum prorſus ab crimine ſeparaſti. Animaduertere autem in ſontes, non aliter quàm verbis tenus voluiſti. Quo tam illuſtri facinore, cum nihil præſtantius eſſe poſſet, adieciſti opere ipſo admirabiliorem vocem. Nã cum omnes patiẽtiam facilitatémque tuam miraremur, ſolus tarditatem illius incuſabas. Quod nihil aliud erat, niſi ideo dolebas,

quòd conuictum ſcelus venia non præueniſſes, nec ea quæ reum detinebat ſententia, eam quę abſolueret, celeriorem feciſſes. Quanquam tarditate illa quid eſſe poteſt velocius? Non enim paulatim iram remiſiſti, nec pedetentim reis formidinem minuiſti, nec poſt iudicium ſententiæ atque animi dubius hæſiſti, quidnam conſilij capeſſeres: ſed triſtem illam condemnationis ſententiam, diuinitus data altera pręuertit, tam repente atque omni cunctatione remota, prius vt à multis quàm inuiſa illa ac difficilis audiretur. Tum ego eam ſolum vocem audiui, quæ lampadum illam geſtationem, quæ in honorem Vulcani celebratur, celeritate ſuperaret, quæque per curſores & veredarios ex aliis alia in ſpatia tam immenſa ac diſſita propagaretur, velvti faces quæ ad ſignum dandum edito ex loco eriguntur: vt carnificum manus iam extentas, diſtrictóſque & imminentes gladios, vox vna ſalutaris reprimeret. Dicamus itaque tardam illam fuiſſe clementiam, quam impendentes ceruicibus gladij, nequaquam anteuerterint. At Homericus ille Iupiter (ſi qua Homero fides habenda eſt) quantumuis filius eſſet, Sarpedonis fatum retexere ac reſoluere nō ſuſtinet, cúmque id velle cœpiſſet, ad Iunonis preces ſententiam mutat. Hic vero princeps, non minorem inexorabilis Iudicij neceſſitatem, ſine vlla pœnitentia diſſoluit, accedente ad illius voluntatem vxoris conſenſu, quæ conſilij perpetuo ſocia eſt ac particeps: nec non vtriuſque authoritatem ſequente vnico ac longè chariſſimo filio, quem iiſdem inſtitutis ac moribus innutriunt atque aſſuefaciũt, patrimum verè matrimúmque & ambidextrum: namque vti parentibus ſimilior ſit, plurimum eius intereſt, eius vt pietate ſit ac clementia præditus. Atque illi quidem ita liberati ſunt. Quorum vero priora erant crimina, & naturæ magis aurium, quàm voluntati atque arbitrio tribuenda, num ijs ad ſecuritatem diuturnitate temporis, aut aliqua longa cunctatione opus fuit? non illico ex eorum animis metus omnis abſterſus eſt, ac velvt ij qui nunquam in eius ſuſpicionem criminis venerant,
ſubitum

ὅτι μὴ προὔλαβες τῇ συγγνώμῃ τε ἔλεγχον τοῦ πλημμελήματος, μηδὲ ταχυτέραν ἐποίησας τῆς κατεχούσης ψήφου τὴν ἄφεσιν. ἐπεὶ τῆς βραδυτῆτος ἐκείνης τί ἂν γένοιτο ἀθροώτερον; οὐ γὰρ κατὰ μικρὸν ἐφῆκας τῆς ὀργῆς, οὐδὲ κατ' ὀλίγον ἠλάττωσας τὸν φόβον τοῖς ὑπευθύνοις, οὐδὲ ἐνδιέτριψας τῇ γνώμῃ μετὰ τὸ δικαστήριον ἐφ' ὅτῳ ὁρμήσεις. ἀλλὰ κατέλαβε τὴν σκυθρωπὴν ψῆφον ἡ θεόσδοτος οὕτως ἀκαρῆ καὶ ἀμελητί, ὥστε καὶ προτέραν πολλοῖς τῆς χαλεπῆς ἀκουσθῆναι. καὶ τότ' ἐγὼ μόνον ᾐσθόμην φωνῆς νικώσης τῷ τάχει τὴν τῷ Ἡφαίστῳ τελουμένην λαμπαδηφορίαν, καὶ διὰ πομπίμων ἐξ ἄλλων εἰς ἄλλους σταδίους τόσους καὶ τόσους ὥσπερ φρυκτωρίας διαπεμπομένην· ὥστε ἀνατεταμένας τὰς χεῖρας τὰς τῶν δημίων, μετέωρα ἤδη τὰ ξίφη κατασχεῖν τὴν φωνὴν τὴν σωτήριον. ταύτην οὖν φαῖμεν βραδεῖαν φιλανθρωπίαν, ἣν οὐ προὔλαβον αἱ μάχαιραι ἐπικείμεναι τοῖς αὐχέσιν. ἀλλ' ὁ μὲν Ζεὺς ὁ παρ' Ὁμήρῳ, καίτοι παιδὸς ὄντος τοῦ Σαρπηδόνος (εἰ δεῖ πείθεσθαι Ὁμήρῳ κομψευομένῳ) ὀκνεῖ ἀναλῦσαι τὴν πεπρωμένην· καὶ θελήσας μεταγινώσκει, παρακληθεὶς ὑπὸ τῆς Ἥρας· βασιλεὺς δὲ ἀνάγκην οὐχ ἧττον ἀπαραιτήτου δικαστηρίου παραλύει ἀμεταμελήτως, συμψήφου τῆς ὁμοζύγου οὔσης αὐτῷ, καὶ ἀεὶ βουλευούσης εἰς μίαν, ἑπομένου δὲ ἀμφοῖν καὶ τοῦ παιδὸς τοῦ ἀγαπητοῦ (ὃν ἐν τοῖς αὐτοῖς ἤθεσι καὶ ἐκτρέφουσι καὶ ἐξασκοῦσιν) ἀμφιθαλοῦς ἀτεχνῶς καὶ ἀμφιδεξίου. οὕτω γὰρ ἂν μᾶλλον ἐοικὼς ἢ τῶν γεναμένων, εὐσεβεῖ τε αὐτῷ καὶ φιλανθρώπῳ εἶναι προσήκει. ἀλλ' ἐκεῖνοι μὲν οὕτως· ὧν δὲ τὰ ἐγκλήματα πρότερα ἦν καὶ τῆς φύσεως μᾶλλον τῶν ὤτων ἢ τῆς προαιρέσεως ἁμαρτήματα, ἆρ' οὗτοι ἐδεήθησαν χρόνου ἢ μακρᾶς γέ τινος μελλήσεως πρὸς τὴν ἄδειαν, ἀλλὰ μὴ παραυτίκα ἐξεκέκουπτο αὐτῶν ὁ φόβος τῆς διανοίας, καὶ ἀθρόον ἑώρταζον ἑορτήν,

ὥσπερ οἱ μηδεπώποτε ἐγκεκλημένοι, καὶ ἐκ μορφῆς ἀστρατεύτου καὶ ὑποπτολωκίας μετεμορφοῦτο εἰς χλιδῶσαν καὶ γέμουσαν πειθοῦς; ταύτην ἐγὼ τὴν μεταμόρφωσιν ἠγάσθην ἢ τὴν παρ' Ὁμήρῳ μετεμόρφωσεν Ἀθηνᾶ τὸν Ὀδυσσέα, ἐκ ῥικνοῦ καὶ ῥάκια ἠμφιεσμένου μεταβαλοῦσα εἰς εὐείμονα καὶ σφριγῶντα, ἡνίκα τῷ παιδὶ ἔμελλεν ἀναγνωσθῆναι. ἐπιπόλαιος γὰρ αὕτη τοῦ σώματος ἡ μεταβολή· σὺ δὲ τὰς ψυχὰς αὐτῶν ἐν τῷ σώματι μετεμόρφωσας. καὶ τὴν σὴν αὖ ἔγωγε ῥάβδον οὐχ ἧττον ἂν εἴποιμι καλὴν καὶ χρυσῆν ἢ τὴν τοῦ Ἑρμοῦ φησὶν Ὅμηρος. ἐγείρει γὰρ αὕτη οὐκ ἐξ ὕπνου, ἀλλ' ἐκ θανάτου· αὕτη φυλακτήριόν ἐστιν ἀρρηκτότερον τοῦ σιδήρου· αὕτη μᾶλλον διατηρήσει τὴν σὴν βασιλείαν ἢ πυρκαϊαὶ καὶ φλεβῶν ἐντομαὶ καὶ πελέκεις, ἃς οἱ τυραννικώτατοι Ῥωμαίων προσάγοντες ὁσημέραι τοῖς ἀνθρώποις οὐκ ἐπεῖχον τὸ μῖσος, ἀλλ' ἐξηγρίαινον. οὐ μὴν οἱ σοὶ πρόγονοι καὶ ἀρχηγέται, ἀλλ' αἰδοῖ μᾶλλον ᾤοντο δεῖν καὶ εὐνοίᾳ πλέον ἢ φόβῳ κατέχειν τοὺς ὑπηκόους. δυσκαταγωνιστότερον δὲ φυλακτήριον εὔνοια φόβου. φόβῳ μὲν γὰρ εὔνοιαν οὐκ ἴσμεν καταλυθεῖσαν, εὐνοίᾳ δὲ, δυνάμεις πολλάς. αὐτίκα τοῖς μὲν ἐκ πρᾳότητος εὐδοκίμοις τῶν αὐτοκρατόρων ὅσοι μὴ λίαν ὀλίγωροι καὶ ἐκκεχυμένοι, εἴτις καὶ ἀνέφυ ἐπιβουλὴ, καὶ αὐτὴ κατεσβέσθη πρὶν ἐξαφθῆναι· τοῖς δὲ χαλεποῖς ἐκείνοις καὶ ἀνημέροις ἀεὶ τοὺς ἁλισκομένους ὑποτεμνόμενοι οὐκ ἐπέλιπον οἱ κατεπιχειροῦντες. γελοῖος γὰρ διδάσκαλος ἦν τῆς τυραννικῆς ἀσφαλείας ὁ τοὺς ἀστάχυας ἀποτέμνων τοὺς ὑπερέχοντας τοῦ λῃίου. οὐ γὰρ τοσούτους γε ἂν ἀποτέμοι ὥστε μή τινας ἀπολείπεσθαι ὑψηλοτέρους τῶν ἀτμήτων ἀεὶ μενόντων. τοῦτο γὰρ δὴ τὸ χαλεπώτατον τῆς τῶν τυράννων δειλίας, ὅτι πάντας κτείνοντες οὐ δεδίασιν, ἄχρι τοῦ μηδένα φοβεῖσθαι προελθεῖν οὐ δύνανται.

ſubitum ac repentinum diem feſtum celebrarunt, atque ex inculta illa abiectáque ſpecie, in elegantiorem venuſtiorémque mutati ſunt? Hanc ego mutationem magis admiratus ſum, quàm Vlyſſeam illam, quę ab Homero commemoratur, cum eum ex rugoſo pannoſoque ſene, veſtimentorum cultu ſplendidum, atque ætatis flore pollentem Minerua reddidit, tunc cum à filio cognoſcendus erat: Hæc enim ſpecie tenus ac ſuperficie corporis facta mutatio eſt: Tu illorum animas in corporibus transformaſti. Nec minus ego virgam tuam pulchram atque auream dixerim, quàm Mercurij illa ab Homero dicatur. Neque enim à ſomno, ſed à morte reuocat: hæc ipſa munimentum eſt ferro omni ſolidius, hæc imperium tuum multo magis cuſtodiet, quàm incendia illa, venarúmque inciſiones; aut ſecures, quas crudeliſſimi olim Romanorũ tyranni, cum ſubditis admouerent, eorum non repreſſerunt odia, ſed acerbiora fecerunt. Non ita maiores authoréſque ſanguinis tui, qui quidem pudore potius ac beneuolentia, quàm metu continendos eſſe ſubditos putarunt. Eſt autem beneuolentia timore validius atque inexpugnabilius præſidium. Nam beneuolentiam vincere atque euertere, quod quidem ſciamus, nunquam timor potuit, beneuolentia, vires opéſque quamplurimas ſuperauit. Argumento eſt quod qui ex Imperatoribus manſuetudinis opinione claruerunt, niſi fortè negligentes admodum atque effuſi fuerint, ſi qua in illos ſuborta conſpiratio eſt, nullo negotio eſt, priuſquam exardeſceret, reſtincta. Crudelibus contra ac truculentis iſtis, qui conuictos deprehenſoſque perpetuo necarũt, nunquam qui eos auderent aggredi, defuerunt. Quã eſt vero ridiculus ille Tyrannorum ſecuritatis magiſter, qui eminentes ſegetum ſpicas virga demetebat? neque enim tot vnquã demetere poteſt, quin aliquę ſemper ex his quæ integræ nec decurtatæ maneant, grandiores ſuperſint. Etenim illud in Tyrannorum metu infeliciſſimum euenit, quòd cùm ſibi ſuſpectos omnes è medio tollant, eò tamen peruenire nequeant, neminem vt amplius ſuſpectum habeant.

Venit & mihi in mentem tuæ illius hortationis (Imperator) qua iudices cum illos in iudicium mitteres, adhortatus es: Tum ad eum qui ante omnia ſalutis Principum rationem habendam eſſe dixerat, Imo ſanè dixiſti, famæ potius atque exiſtimationis. Neque enim vitæ longitudo Principi, ſed excellentia quædam virtutis perſequenda eſt. Alioqui Dionyſius ac Tiberius in dominatu conſenuerant: verùm iſtorum ſenectus, nihil aliud quā prolixior quædam infamia fuit. Qui autem ita ſentit, ac pluris famam quàm ſalutem exiſtimat, quid aliud quàm maleuolentiores eos eſſe ſtatuit, qui ſibi ad ſplendorem & gloriam impedimento ſunt, quàm qui corpori ſuo ac vitę inſidias ſtruunt? Quare non iam ego tibi Platonis, nec mehercule Ariſtotelis ſententias accinam, nec aliud à me prçceptum, aut cohortationem adferam: ſed cuius tu ipſe author ſententiæ fuiſti, hanc vnam abs te intelligi ſatis ſupèrque erit, atque illud in omni actione conſiderare, plúſne inſit honeſtatis, quàm commodi, an ſyncera ac perturbationis expers ratio ad agendum progrediatur, num affectu aliquo aut commotione animus offuſcetur. Difficillima enim animi illa perturbatio eſt, quæ in ampliſſima poteſtate rationem anteuertit. Ob id merito Perſæ Cyrum Patrem, Cambyſem Dominum, Darium Cauponem nominabant. Facit vero Patrem ciuium, iuſtitia: iracundia dominum: cauponem Auaritia. Sola autem diuina eſt Patris appellatio, (nam hominum parentē etiam Iouem Poëtæ nominant) ex duabus reliquis illa ferarum, hæc mancipiorum eſt propria. Atq; vt inter apum examina, rex vnus ſponte naſcens atque à nullo edoctus prouenit, quem circum vltro, ac cum gaudio examen omne perſtrepit, ac conglobatur: ſic etiam inter homines eiuſmodi interdum oritur, rarius tamen ille ac longiori temporis interuallo, cum ambo illa conueniunt ac conſequuntur, animi ſcilicet pulchritudo, cum decore corporis atque forma. Atque is demum procul dubio magnus ille Princeps eſt, cuius non claudicans aut manca, ſed integra eſt atque abſoluta pulchritudo.

οἶδά σου καὶ τὴν ἱερὰν ἐγκέλευσιν, ὦ βασιλεῦ, ἣν ἐνεκελεύσω τοῖς δικασταῖς, παραπέμπων ἐπὶ τὴν κρίσιν. καὶ πρὸς τὸν εἰπόντα ὅτι πρὸ πάντων φροντιστέον ἐστὶ τῆς ἀσφαλείας τῶν αὐτοκρατόρων, Μᾶλλον μὲν οὖν, ἔφησθα, τῆς ἀγαθῆς δόξης. οὐ γὰρ ζωῆς μῆκος διωκτέον τῷ βασιλεῖ, ἀλλ' ὑπεροχὴν ἀρετῆς. ἐπεὶ καὶ Διονύσιος καὶ Τιβέριος ἐγκατεγήρων ταῖς μοναρχίαις, ἀλλὰ τὸ γῆρας αὐτῶν οὐδὲν ἄλλο ἦν ἢ μακροτέρα κακοδοξία. ἀλλ' ὅγε οὕτω φρονῶν, καὶ περὶ πλείονος τὴν ἀγαθὴν δόξαν ἢ τὴν σωτηρίαν ποιούμενος, τί ἄλλο ἢ κακονουστέρους ὑπολαμβάνει τοὺς προσβούλεσθαι αὐτῷ ἐμποδὼν ὄντας τῶν τῷ σώματι ἐπιχειρούντων; ἐγὼ οὖν οὐκ ἄν σοι προσάδοιμι ἔτι τοὺς Πλάτωνος λόγους, καὶ μὰ Δία τοὺς Ἀριστοτέλους, οὐδὲ δὴ ἐμαυτοῦ τι ἂν εἴποιμι παράγγελμα ἢ νουθέτημα· ἀλλ' ἣν αὐτὸς ἐγέννησας γνώμην, ταύτην ἀπόχρη σοι μόνην εἰδέναι τε καὶ ἐπισκοπεῖν, πότερον ἐν τῇ πράξει πλέον τὸ καλὸν ἢ τὸ κερδαλέον, καὶ πότερον ἀθόλωτος ὁ λόγος ἐξορμᾶται ἐπὶ τὴν πρᾶξιν, ἢ ἐπαχλύεται ὁ λογισμὸς ὑπό τινος πάθους. χαλεπώτατον γὰρ ἐκεῖνο τὸ πάθος ὃ προεκπηδᾷ τοῦ λόγου ἐν ἐξουσίᾳ. καὶ διὰ τοῦτο Πέρσαι καλῶς Κῦρον μὲν πατέρα, Καμβύσην δὲ δεσπότην, Δαρεῖον δὲ κάπηλον ἐπωνόμαζον. ποιεῖ δὲ πατέρα μὲν δικαιοσύνη, θυμὸς δὲ δεσπότην, κάπηλον δὲ φιλοχρηματία· θεία δὲ μόνη ἡ τοῦ πατρὸς ἐπωνυμία· (πατέρα γὰρ ἀνθρώπων καὶ τὸν Δία οἱ ποιηταὶ ἐπονομάζουσι) τῶν δὲ ἄλλων ἡ μὲν, θηριώδης, ἡ δὲ, καὶ ἀνδραποδώδης. φύεται μὲν οὖν καὶ ἐν σμήνεσιν αὐτοφυής τις καὶ αὐτοδίδακτος βασιλεὺς ᾧ πειθόμενοι καὶ συμπεριπλέκονται ἑκούσιον τὸ σμῆνος καὶ σὺν χαρμονῇ· φύεται δὲ καὶ ἐν ἀνθρώποις, ἀλλὰ σπανίως γε τοῦτο καὶ ἐν μακρῷ χρόνῳ, ὅταν ἄμφω συμπέσῃ καὶ συνωμολογήσῃ τῷ κάλλει τῆς ψυχῆς καὶ ἡ τοῦ σώματος ἀγλαΐα. καὶ τοῦτ' ἐστὶν ἀτεχνῶς ὁ μέγας βασιλεὺς, καὶ οὔτε χωλὸν οὔτε κολοβὸν αὐτοῦ τὸ κάλλος, ἀλλ' ἄρτιον καὶ ὁλόκληρον.

ὥστε Ἀλέξανδρος μὲν ἐμακάριζε τὸν Ἀχιλλέα ὅτι Ὁμήρου ἔτυχε κήρυκος· ἐγὼ δὲ ἐμαυτὸν εὐδαίμονα ὑπολαμβάνω, ὅτι σε κηρύττειν ἔλαχον οἱ ἐμοὶ λόγοι. καὶ τοῦτο οὐκ ἄν τις φαίη κολακείαν μᾶλλον ἢ ἀλήθειαν. ὧν γὰρ ἴσμεν αὐτοκρατόρων ἢ ὧν ἀκούομεν, πλὴν δυοῖν τοῖν ἐνδοξοτάτοιν, οὐδεὶς ἂν ἕτερος τὸν αὐτόν σοι τρόπον ἐκ τιμῆς τοιοῦτον μετεχειρίσατο.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΗΣ ΦΙληκοΐας τοῦ βασιλέως.

ΛΟΓΟΣ ΕΚΤΟΣ.

ΑΡΑ ὅστις εὐδόκιμος εἶναι ἐσπουδάκει ἐφ' ἱππηλασίᾳ, καὶ τῆς τοῦ Νέστορος ἐφίεται ἐπωνυμίας, (ἣν ἐκείνῳ δίδωσιν Ὅμηρος ἐν τῇ ποιήσει, ἱππότην αὐτὸν καὶ ἱππηλάτην συνεχῶς ἐπονομάζων) τούτῳ οἷόν τε ὀλιγώρως ἔχειν τῆς ἱππικῆς τέχνης, καὶ οὐχ ἅπαντα ἐκπονεῖν ἀκριβῶς ὅσα ἀποδείξει αὐτὸν ἀγαθὸν ἱππέα; οἷον ἀναβαίνειν τε ἵππον ῥᾳδίως, καὶ ἐγκαθίζεσθαι κούφως, καὶ ἀποπηδᾶν ξὺν ῥᾳστώνῃ, καὶ τὰ χαλινὰ ἐπέχειν τε ἵνα χρεὼς, καὶ αὖθις ἵνα χρὴ, ἀφιέναι, θαρρῦντα μὲν τοῖς λείοις καὶ ἀναπεπταμένοις δαπέδοις, εὐλαβούμενον δὲ τὰ δυσπόριστα καὶ στενόπορα· ὥς που καὶ παρ' αὐτῷ τῷ Ὁμήρῳ ἀγανακτεῖ πρὸς τὸν Ἀντίλοχον ὁ Μενέλεως ἐν τῷ ἀγῶνι τοῦ ἱππικοῦ δρόμου ὃν ἐπὶ Πατρόκλῳ ἔθηκεν Ἀχιλλεὺς, ὅτι ἐπιθυμίᾳ τῆς νίκης τὸν κίνδυνον οὐ προορῶν, μὴ ἀνέχων τοὺς ἵππους, ἀλλ' ἐπισπέρχων ἐν χωρίῳ στενῷ καὶ ἀποκρήμνῳ. εἶεν. ὅστις δὲ ἐπὶ τοξικῇ ἐλλόγιμος εἶναι ἔρωτα ἔχει, πότερον ἐν ἄλλῳ τῳ διατρίβει μᾶλλον ἢ ἐν τῷ μελετᾶν συνεχῶς, εὐτόνως τε ἅμα καὶ ἐπισκόπως πέμπειν τοὺς οἰστούς; καὶ τρίβονται αὐτοῦ αἱ χεῖρες περὶ τὴν νευρὰν καὶ τὰς γλυφίδας, καὶ τοσαύτη αὐτοῦ ἡ μελέτη καὶ ἡ ἐπιστήμη

Quamobrem vti Alexander fœlicem Achillem prędicabat, quod Homerum præconem habuiſſet: ſic ego me beatum eſſe arbitror, quod præconium tuum mea ſortita ſit oratio. Neque hoc quiſquam ab adulatione potiùs quàm ab veritate profectum dixerit: horum enim quos hactenus ſcimus, aut audiuimus, Imperatorum, præter celeberrimos duos, nullus ſanè alius eadem qua tu ratione tantum crimen ac facinus vindicaſſet.

DE IMPERATORIS AVDIENDI cupiditate.

ORATIO VI.

FIERI NE vllo pacto poteſt, vt qui equitandi peritia pręſtare voluerit, quique ſibi cognomentum illud Neſtoris appetierit, quod ei in Poëſi ſua Homerus affinxit, (cum equitem illum ipſum & equôrum agitatorem vocat) is omnino equeſtrem artem negligat, neque in iis ſedulò elaboret omnibus, ex quibus præclarus eques efficiatur? Cuiuſmodi eſt equum expeditè conſcendere, inſidere leuiter, nullo negotiò deſilire, fræna vbi opus eſt adducere, rurſumque vbi oportuerit relaxare: ita per plana atque patentia permiſſo audacter equo, vt tranſitu difficilia atque anguſta vitentur. Velvt apud eundem Homerum quodam in loco Antilocho Menelaus ſuccenſet, in curruli certamine, quod in Patrocli honorem Achilles inſtituerat, quod nimirum præ cupiditate vincendi, minime periculũ præuideret, neque equos inhiberet, ſed in anguſto præ ruptóque loco concitaret. Eſto ita hæc ſeſe habeant. Quid ſagittandi dexteritas? num qui in ea excellere velit, alia in re operam potius ſuam ac ſtudium collocat, quàm vt aſſidue condiſcat validè ſimul & ad ſcopum ſagittas dirigere? Ideóque in neruo creniſque tractandis manus illius atteritur, & tantum eius ſtudium, tantáque peritia eſt,

quantã Cretenſis Meriones habuiſſe fertur, vt ſi à columba forſitan aberrauerit, funiculum ſaltem attingat. Iam vero qui Hoplomachus eſſe in eóque laudem ac gloriam nominis aſſequi ſtudet: num illum dixerimus (Auditores optimi) armorum ſcientia ſpreta, abiectáque penitus, cum omnino neſciat neque ad dexteram neque ad læuam flectere tergum exſuccũ, hanc nihilominus gloriã ac commendationem ſperare, & ex ea ſibi arte, quam nunquam exercuerit, laudem prędicationémq; velvt per ſomnium deſpondere? Ac ne vobis Gubernatorem nauis, aut Paſtorem Medicúmue percenſeam, eóſque omnes demonſtrẽ, cum in arte ſua laudati ac celebres eſſe cupiunt, cupere itidẽ oportere, & ea quæ propria artis officia ſunt exequi; venio ad eius argumenti caput, de quo mihi dicendũ propoſui. Vtrúmne igitur ſi quis ſublimi in ſolio conſidens, amictus purpurea veſte, vniuerſas prope terras ac maria regens, tam quibus præſidet, quam quæ ipſe conſeruat, aut quibus iram condonat, ſi is, inquam, ſynceræ ac citrâ adulationem oblatæ laudis deſiderio teneatur, non illius animus cœleſti confidere decreto ac ſententia videtur: eóque quod ſextum iam annum, ſine vlla labe ac macula Imperium adminiſtret, magis probro ac vituperio, quàm ferro inuulneratus? Recordamini igitur primi illius conſeſſus, ac Bœotij carminis, propter quod conſeſſus eſt habitus. Neque enim ſatis ille vir habuit ex appoſitis dapibus ad ſeſe vltro ingrediens quoddam carmẽ accipere, ſed ſuccenſebat, accuſabátque quod iamdudum ad ſe Philoſophia nõ ventitaret, nec vt olim ſolebat crebro in regiam comitata deduceret. Nam Phocio quidem ille vir bonus, cum dicenti ſibi Atheniẽſes ſtudioſius acclamantes videret, Nũquid, ait, imprudẽs mali aliquid dixi? Imperator autem non loquentem, ſed tacentem Philoſophiam habet ſuſpectam: atque eius ſilentium tanquam indicium quoddam inopiæ rerum geſtarum ac facinorum habet. Igitur, qui cum vltro ad ſeſe præconiũ veniret, & idipſum ſublime prorſus, ac ſublimibus verbis inſtructum, atque ex ipſo prope Helicone miſſum,

pedeſtrem

ὅση καὶ ἡ τοῦ Κρητὸς Μηριόνου. ὥστε καὶ εἰ τῆς πελειάδος ἀποτυγχάνει, τῆς μηρίνθου γε μὴ ἁμαρτεῖν. τὸν δὲ ἐφ' Ὁπλομαχίᾳ βουλόμενον ἐπαίνου τυχεῖν τί ἄρα φῶμεν, ὦ Ἀθηναῖοι, παντάπασιν ἀμελοῦντα Ὁπλομαχίας, καὶ ἄπειρον μὲν τοῦ ἐπὶ δεξιὰ, ἄπειρον δὲ τοῦ ἐπ' ἀριστερὰ νωμῆσαι βῶν ἀζαλέην, τοῦτον ἐλπίζειν τὴν εὐφημίαν, καὶ ὀνειροπολεῖν τέχνης ἐπαίνους ἣν οὐκ ἐξήσκησεν; ἵν' οὖν μὴ καὶ τὸν κυβερνήτην ὑμῖν ἐπάγω, καὶ τὸν ποιμένα, καὶ τὸν ἰατρὸν, καὶ ἅπαντας δεικνύοιμι τούτοις, ὅταν ἐφίωνται ἐπαίνων τῶν ἐπὶ τέχνῃ, ἐφίεσθαι χρῆναι καὶ τῶν ἔργων τῶν ἐκ τῆς τέχνης, ἐπ' αὐτὸ δὴ ἔρχομαι τὸ κεφάλαιον ὧν προὐθέμην. ἆρα εἴ τις ὑψοῦ προκαθήμενος, καὶ ἁλουργίδα ἠμφιεσμένος, καὶ ἐπιτροπεύων σχεδόν τι ἅπασαν γῆν τε καὶ θάλασσαν ὅσης τε αὐτὸς προστατεύει καὶ ὅσην ῥύεται, καὶ ὅσῃ συγχωρεῖ τὴν ὀργὴν, δεῖται τούτων ἐπαίνων ἀληθινῶν, καὶ οὐκ οἶδεν αὐτὸν θωπείας αὐτῷ προσιόντας, τούτῳ ἄρα ἡ γνώμη οὐ τεθάῤῥηκεν ὑπὸ τῆς ἔξωθεν ψήφου, καὶ ὃ μεταχειρίζεται ἤδη ἕκτον ἔτος ἀκέραιός τε καὶ ἄτρωτος μᾶλλον ὑπὸ ψόφου ἢ σιδήρου; ἀναμνήσθητε τοίνυν τοῦ προτέρου συλλόγου καὶ τοῦ μέλους τοῦ Βοιωτίου ἐφ' ᾧ ὁ σύλλογος. οὐ γὰρ ἀπόχρη τῷ ἀνδρὶ τούτῳ εἰσιόντι μέλος πεποιημένον τῆς προκειμένης θοίνης ἀπολαύειν, ἀλλ' ἐδυσχέραινε καὶ ᾐτιᾶτο ὅτι μὴ εἰσφοιτᾷ ἤδη χρόνοις αὐτῷ ἡ Φιλοσοφία, μηδὲ θαμίζει δορυφοροῦσα εἰς τὰ βασίλεια, ὡς πάλαι εἰώθει. Φωκίων μὲν γὰρ ὁ χρηστὸς, ἐπεὶ δημηγορήσαντι αὐτῷ προθυμότερον συνεπήχησεν ὁ δῆμος Ἀθηναίων, Μή τι ἄρα, ἔφη, κακὸν εἰπὼν λέληθα ἐμαυτόν; βασιλεὺς δὲ οὐ λέγουσαν Φιλοσοφίαν, ἀλλὰ σιωπῶσαν, ὕποπτον ποιεῖ, καὶ τὴν σιωπὴν αὐτῆς ἀντὶ σημείου λαμβάνει τῆς ἐνδείας τῶν ἔργων. ὅστις οὖν ἐπαινεῖ αὐτὸν εἰσιόντος, καὶ τοῦτο ὑψηλοῦ τε καὶ δι' ὑψηλῶν ὀνομάτων, καὶ ἐξ αὐτοῦ σχεδὸν τοῦ Ἑλικῶνος,

παρεισκοπεῖ τὸν πεζὸν ἐπαινέτην, καὶ λιπαρῶς ἔχει τοῦ ἀκομμώτου ὕμνου καὶ ἀνηδύντου, οὐκ ἔνδηλός ἐστιν ἐπίπροσθεν ἄγων ἀλήθειαν καλλιεπείας; τοῦτο δὲ οὐκ ἂν ἄλλως αὐτῷ συμβαίνοι, εἰ μὴ ἑλκύσειεν πρῶτον εἰς ἑαυτὸν καὶ τὰ ἑαυτοῦ ἔργα ἐπισκοπῶν, πλοῦτον ὁρῴη πράξεων ἀγαθῶν καὶ βασιλικῶν, ἃς οὐκ ὀκνεῖ ἄδειν ἐπιψηφίζουσα ἡ φιλοσοφία. ἐπίσταται γάρ, ὡς ἔοικε, καὶ τοὺς μὲν ἄλλους λόγους ὅσοι εἰσφοιτῶσιν αὐτῷ παρὰ τῶν ποιητῶν καὶ τῶν συγγραφέων, ἑτοιμότερον ὡς τὰ πολλὰ αὐτοποιουμένους τοῦ δοκεῖν τοῦ ὄντος, καὶ τοῦ ὠφελίμου τοῦ κεχαρισμένον. ταῦτά τοι καὶ εἰσιέναι ἐσκευασμένους πρὸς ἡδονήν, ὥσπερ Ὅμηρος λέγει τὴν Ἥραν εὖ ἐντυνάσαν ἑαυτὴν ἀφικέσθαι παρὰ τὸν Δία, ἀμπεχόνῃ τε ἁλουργεῖ καὶ καλύπτρᾳ καὶ ἐλλοβίοις, καὶ ἐπὶ πᾶσι τῷ κεστῷ αὐτῷ τῆς Ἀφροδίτης. οὕτω δὴ καὶ τούτους τοὺς λόγους πολλὴν ἐνδύεσθαι τὸν ἔξωθεν κόσμον σχημάτων τε καὶ ὀνομάτων, καὶ τούτων εὖ μὲν ἐπειλεγμένων καὶ συνηρμοσμένων τῇ γνώμῃ, ἐνδήλους εἶναι ὅτι οὐ μόνα θαυμάζουσιν ὅσα θαυμαστὰ ἀληθινῶς, ἀλλὰ καὶ ὅσα οἱ πάλαι οἴονται μακαριστὰ εἶναι, δύναμιν καὶ τύχην καὶ ἐξουσίαν. μόνην δὲ δεῖ ἄρα ταύτην τὴν τέχνην ζητεῖν καὶ γινώσκειν, τίς ἀληθινῶς βασιλεύς, καὶ τίνα σημεῖα αὐτοῦ καὶ γνωρίσματα· ὅτι οὐ χρυσὸς ἀετός, οὐδὲ δράκοντες λεπτῶν ὑφασμάτων, οὐδὲ μὰ Δία τοξεύεσθαι ἐπίσκοπα καὶ ἀκοντίζειν· (ταῦτα γὰρ οἶμαι καὶ Νέρωνι ὑπῆρχε κιθαρῳδοῦντι, καὶ Δομετιανῷ μελαγχολῶντι) ἀλλ' εἰ ἡ ψυχὴ ἄνω ὁρῶσα πρὸς τὸν τοῦ παντὸς βασιλέα συντεταμένη, καὶ ἀρχομένη ἐκεῖθεν ὅσα οἷόν τε ἀρύεται ἐκ τοῦ οὐρανοῦ τῇ ἐπὶ τῆς γῆς βασιλείᾳ· ὧν καὶ σὺ ὦ χρηστὲ ἀρυόμενος, οὐκ ἐδεήθης τῶν τοξοτῶν οὐδὲ τῶν ὁπλιτῶν, οὐδὲ Ἀρμενίων οὐδὲ Ἰβήρων, οὐδὲ τῆς ἵππου τῆς πεφραγμένης, ὥστε τὴν φλόγα σβέσαι τὴν Σκυθικήν.

pedeſtrem nihilominùs laudatorem circumſpicit, ac minimè fucatæ, omniſque lenocinij experti prędicationi adhæreſcit, non is apertè nitori orationis veritatem anteponit? Hoc autem non aliunde accidere ipſi poteſt, quàm ex eo quod primum in ſeſe reſpiciens, ac ſuamet facta conſiderans, ingentes quaſdam præclarorum ac regalium facinorum opes intueatur, quas ſuffragio ſuo ſententiáque comprobans Philoſophia nihil prædicare vereatur. Neque enim iſtud ignorare videtur, cæteras orationes, quæ a Poëtis aut ſcriptoribus alijs ad ſeſe ventitant, id quod veriſimile eſt multo quàm quod verum eſt, libentiùs conſectari: ac quod iucundum, ac plauſibile ſit, vtili anteponere: propterea ad voluptatem cultu ipſo atque habitu comparatas ingredi: quemadmodum Iunonẽ Homerus dicit, cum ſeſe eleganter ornaſſet, ad Iouẽ veniſſe purpurea veſte, flãmeo, atque inauribus, & ad hæc omnia cingulo ipſo Veneris inſtructam. Sic etiam eiuſmodi orationes plurimũ exterioris ornamenti ex figuris ac nominibus circumfuſum habere, atque ijs quidem ſtudioſè arceſſitis, aptéque ſententiæ illigatis: ſed hoc tamen perſpicuè præ ſe ferẽtibus, non ea ſe ſola mirari, quæ reipſa admirabilia ſint, ſed ea præterea quæ vulgus beata ac prædicabilia putet: nimirum vires, fortunam atque potentiam. Soli autẽ illi ſapientiæ arti conuenit, vt quis verè Rex dicendus, quæve ſigna eius atque indicia ſint, inquirat ac perſpiciat: quomodo non in Aquila aurea, nõ in Draconibus ſubtiliter cõtextis poſita ſint: nec in eo quod ad ſcopum quiſquam ſagittam, aut iaculum ſcienter contorqueat: (hæc enim opinor & in Nerone Citharœdo, & in furioſo illo Domitiano inerant) ſed quod animus ſurſum erectus, & in moderatorem rerum omnium ac Principem Deum intentus ſit: indidémque gubernatus atque adminiſtratus, quæcumque poteſt ad terreni inferioriſque regni vtilitatem hauriat. Vnde & tu (optime Imperator) hauriens, nihil ſagittarijs aut ſcutatis, nec Armenijs aut Iberis, nec graui equite opus habuiſti ad Scythicum illud incendium reſtinguendum:

Solo quippe conſilio, prudentiáque tua per ſeſe flamma illa concidit. Neque vero humi defixos oculos habes,nec ea ſollicitudine animus tuus angitur, vndénam aurum tibi aut argentum comparetur: ſed vnde tibi potius egregiorum theſauri facinorum multiplicentur, quos quidem ſolos prędari ac diripere nemo poteſt. Hæc igitur vt appareet (ſapientiſſime Princeps) cum eſſe ſolius huius ſcientię documenta ac diſciplinam cognoueris, nihil ab ea vereris palam ac coram omnibus munus illud cui ſe ſponte addixerit, velvt annuum vectigal exigere. Neque verò exactioni huic magiſtratum quempiam, aut militem prępo-nis, ſed inſtas ipſemet, ac cogis, ac per te penſitationem hanc recipere cogitas. Ac forſitan & ingreſſus ipſe conclaue meum ac theſaurum occupabis. Quæ cum ita ſint, duplici mihi nomine lætandum iure video, tum quod ita meæ delitiæ cõparatæ atque affectæ ſint,vt eius artis quæ à mendacio abhorreat,amore teneantur: tum quod Philoſophia ſola orbis terrarum Imperio prædicando ac collaudando par eſſe videatur. Verum illud (optime Princeps) ſic habeto, contrariam eius quam ſuſpicaris cunctãdi mihi occaſionem fuiſſe, nec recentium Argumẽtorum inopiam,ſed copiam retardaſſe. Nam cum plura illuſtria facinora pręſtare ſoleas,atque in dies imo ſingulas horas, velvt prioribus attexas, deinceps mihi complexu difficiles de tuis rebus orationes facis. Neque enim quæcumque hodierna die texueris,ea ſubinde reſoluis, ſed magis ac magis varia virtutis texta,quaſi inculcata licia condenſas:ita fit,vt cum in animũ induxerim facinus aliquod tuũ aut egregium dictum,ſyncero atque incorrupto pręconio commendare,repente alia atque alia deinceps quam plurima confluant, quæ ea quæ mihi propoſueram,obruant, atque occultent:cúmque ſubito miſſis prioribus poſteriora tractare cœpero, tertium quiddam aut quartum occurrens, priorum laudem ac prędicationem extrudit. Quare idem mihi quod liguritorib. conuiuis accidit:ex eo quod apponitur,libo aliquid ſemper ac deguſto, ita vt nullo ex ferculo plenè me atque ad ſatietatem vſque repleam:

ἀλλὰ μόνῃ τῇ σῇ βουλῇ καὶ τῇ σῇ γνώμῃ ἐφ' ἑαυτῆς ἡ φλὸξ ἐκείνη ἀπεμαράνθη. οὐδὲ κάτω σοι νεύει τὰ ὄμματα, οὐδὲ ὁ νοῦς ἐν φροντίδι ἐστὶν ὁπόθεν τὸ χρυσίον ἔσται σοι ἢ τὸ ἀργύριον, ἀλλ' ὁπόθεν σοι πλεονάσουσιν οἱ τῶν ἀγαθῶν πράξεων θησαυροὶ, οἱ μόνοι ἄσυλοι καὶ ἀνάλωτοι. ταῦτ' οὖν γινώσκων, ὡς ἔοικεν, ὦ σοφώτατε, μόνης ταύτης μαθήματα καὶ διδάγματα τῆς ἐπιστήμης, εἰσπράττεσθαι αὐτὴν οὐκ ὀκνεῖς ἐν μέσῳ τε καὶ ἐφ' ἁπάντων τὸ ἔργον ἐφ' ᾧ ἔταξεν ἑαυτὴν, οἷόν τινα ἐτήσιον εἰσφοράν. καὶ οὐκ ἐφίστης μόνῃ τῇ εἰσπράξει ἄρχοντά τινα καὶ στρατιώτην, ἀλλ' αὐτὸς κατεπείγεις, καὶ αὐτὸς ἐπαναγκάζεις, καὶ αὐτὸς ἀποδέχεσθαι τὴν εἰσφορὰν ταύτην διανοῇ. τυχὸν δὲ καὶ αὐτὸς εἰσιὼν αὖ καταλάβοις τὸ ταμιεῖον. διπλῆ οὖν μοι προσήκει ἐπιγαυροῦσθαι, καὶ ὅτι τὰ παιδικά μοι οὕτως διοικεῖται, ὥστε ἐρᾶν τέχνης δυσχεραινούσης τῆς βαττολογίας, καὶ ὅτι φιλοσοφία πεπίστευται μόνη ἀξιόπιστος εἶναι καὶ ἐπαινέτις παμβασιλείας. ἀλλ' εὖ τοι γίνωσκε ὦ χρηστὲ ὅτι τὸ αἴτιον τούτου τοῦ ὄκνου τοὐναντίον ἐστὶν οὐχ ὑπόλειψις, οὐ σπάνις νεουργῶν ὑποθέσεων, ἀλλὰ πλῆθος. ἀεὶ γὰρ ἐπιδεικνύμενος πλείω τὰ ἀγαθὰ, καὶ προσυφαίνων ὁσημέραι καὶ ὅσαι ὧραι, οὐκ ἀναγκάλας μοι ἔτι τοὺς λόγους ποιεῖς, οὐδ' ἐᾷς αὖ τὴν μερον ὑφάνης, μόνον αὖθις ἀναλύεις· ἀλλὰ καταπυκνοῦταί σοι μᾶλλον ἀεὶ τὰ ποικίλματα τῆς ἀρετῆς· καὶ ὁπότε μοι ἐπὶ νοῦν ἔλθοι πρᾶξίν τινα παρὰ σοῦ πεπραγμένην ἢ καλῶς ῥηθέντα λόγον ἀδεκάστῳ ὕμνῳ ἐπικοσμῆσαι, εὐθὺς ἐπιρρέοντα ἄλλα καὶ ἄλλα πολλὰ τὰ ἐφεξῆς καταχώννυσί τε καὶ ἐπισκιάζει ἐφ' ἃ ὡρμήθην· καὶ αὖθις ὁπόταν τὰ πρῶτα ἀφεὶς, τὰ δεύτερα μεταχειρίζωμαι, τρίτος τις καὶ τέταρτος ἀριθμὸς ἐπιὼν ἐκθλίβει τὴν ἐπὶ τοῖς προειρημένοις τιμήν. πάσχω οὖν ὥσπερ οἱ λίχνοι τῶν δαιτυμόνων, ἀπογεύομαι ἀεὶ τοῦ ἀεὶ παραφερομένου ἁρπάζων, ἐμπίπλαμαι δὲ οὐδενὸς ἱκανῶς·

ἢ ὥσπερ μᾶλλον αἱ κύνες αἱ θηρεύτειραι, ἑνὸς μὲν αὐταῖς ἀναφανέντος θηρίου, προσκαρτεροῦσιν ἐκείνῳ καὶ προσλιπαροῦσιν, ἄχρις οὗ ἕλοιεν· εἰ δὲ πολλὰ ἅμα καὶ πολλαχόθεν ὑποκινοίη, ἀεὶ τὸ φανὲν μεταθέουσαι, ἀποφυγγάνειν τὰ πρόσθεν ἐῶσι· ἤπου καὶ τὸν Διὸς Ἡρακλέα οὐ νέμεσις τοῖς τότε ὑμνοποιοῖς εἰ ῥᾷον ἐπῄνουν ἐναρχόμενον τῶν ἄθλων μᾶλλον ἢ ἐπιδιδόντα. οὕτω δὴ καὶ τὰ σὰ ὦ φέριστε ἔχει. προσαύξεις ἀεὶ τοὺς ἄθλους τοὺς βασιλικούς, καὶ ἐπιδίδως τῷ ἀριθμῷ, καὶ οὐκέτι μοι εὐθαρσὴς ἡ Μοῦσα τῷ δρόμῳ τῶν ἔργων ἁμιλλωμένη. οὐ γὰρ ὑπόπτεροι αὐτῆς οἱ λόγοι, οὐδὲ κοῦφοι καὶ ὑπηνέμιοι, ἀλλὰ σχολαῖοί τε καὶ βραδεῖς, καὶ περιαθροῦντες ἕκαστον τῶν πραττομένων, οὐ μόνον ὅ,τι ἐπράχθη ἀλλὰ καὶ ἐξ ἧς γνώμης, καὶ ὁπηνίκα, καὶ πρὸς ὅντινα, καὶ ὑφ' ὅτου. πολλάκις γὰρ τὸ μὲν ἔργον οὐ λίαν μέγα, ἡ γνώμη δὲ μεγάλη καὶ ἀξιέπαινος· οἵα που καὶ ἡ πρῴην ἐγκράτειά τε καὶ ὁρμὴ ἐπὶ τὸν Ῥῆνον, ἔργον μὲν αὐτῇ οὐκ ἠκολούθησεν ἐμφανὲς τοῖς πολλοῖς, ἡ διάνοια δὲ ἡ ὑπερήφανος καὶ βασιλικὴ τιμωρῆσαι τῷ ἀρχηγέτῃ πρὸ ὥρας ἀνηρπασμένῳ, καὶ τὸ λείψανον ἐκείνης περισῶσαι τῆς γενεᾶς. καὶ ὅτῳ τοῦτο μικρὸν δοκεῖ, ἐνθυμηθήτω ὅτι μόνη ἡ γνώμη καὶ ὁρμὴ καὶ ἡ ἐπιβολὴ τὴν τόλμαν ἔστησε τῆς ἑσπέρας ἤδη, ὥσπερ ὁ Ἀχιλλεύς, ἡνίκα ἀπόμαχος ἦν, οὔπω τῶν ὅπλων αὐτῷ ἐκ τοῦ οὐρανοῦ κεκομισμένων, ἀλαλάξας τε μόνον καὶ ἐκβοήσας καὶ ἐξαλλόμενος τῆς σκηνῆς, ἔσβεσεν ἀναπτομένην ἤδη τὴν φλόγα τοῦ ναυστάθμου τοῦ Ἑλληνικοῦ, καὶ τοὺς Τρῶας κατεπλήξατο τῆς αὐθαδείας. ταῦτα οὖν μοι ἐπὶ ἕκαστον ἐπισκοποῦντι ἀτρέμα χρῆσθαι ἀνάγκη τῇ πινακίδι καὶ τῷ σιδήρῳ. ἐπεὶ καὶ ὅτι τῶν εἰσφορῶν ἐπεκούφισας ἄχθος. ἐνταῦθα οὖν πάλιν ἐμοὶ τοῦ ποσοῦ θαυμαστότερον τὸ ὁπότε· ἡνίκα ἂν αὔξησιν ἐδέδιμεν καὶ ἐπιθήκην, σταθμώμενοι ἀεὶ τῇ δαπάνῃ ἐπιδιδούσῃ,

vel potiùs idem quod venatoribus canibus contingit, qui ſi in vnam dumtaxat feram inciderint, conſtanter adhærent, atque eius veſtigia perſequũtur, donec ceperint: ſin plures ſimul variiſque ex partibus excitauerint, dum eam quæ apparuerit, identidem ſequuntur, priores fugientes relinquunt. Nimirum & antiqui illi Cantores minimè reprehendendi erant, ſi Herculem Iouis filium in ipſo certaminum aditu facilius quàm in progreſſu incrementóq; laudarent. Huiuſmodi tua ſeſe res habet (Imperator optime) tu enim Regalia certamina auges perpetuò, atque ad numerum adijcis, nec deinceps Muſa noſtra ſatis audaciæ fiduciæque habet, cum facinorum tuorum curſu contendens, propterea quod non pẽnatæ illius orationes, nec leues ac ventoſæ ſunt, ſed lentæ atque cunctãtes: & vnumquodque eorum quæ geruntur, circumſpicientes, nõ modo quid factum ſit, verum etiam qua voluntate factum ſit, quandonã, cum quo, cuius gratia. Sæpe enim factũ ipſum non admodum inſigne eſt, inſignis tamẽ & laudabilis voluntas. Cuiuſmodi prima tua illa ad Rhenum expeditio atque profectio fuit. Etenim opus quidem ipſum manifeſtum pleriſque conſecutum non eſt, animus tamen ingens, & verè Regius, vt Principem ante tempus raptum vlciſcereris, & illius ſtirpis reliquias conſeruares. Quiſquis vero paruum illud fuiſſe arbitratur, ſecum iſtud reputet, voluntate ac ſuſceptione ſola, atque impetu, Occidentis audaciam fuiſſe repreſſam. Velvt Achilles quondam, cum bello abſtineret, vociferans dumtaxat & exclamans atque è tabernaculo proſiliens, excitatã in Græcorũ naualibus flammam reſtinxit, Troianóſque à pertinaci inſolentia deterruit. Hæc igitur cum ſingillatim cõſidero, pedetentim vti pugillaribus ac ſtylo neceſſe eſt. Quando & illud ipſum quòd tributorum onus leuaſti, in eo mihi rurſus magis tempus ipſum quàm eius quod detraxiſti magnitudo, admiratione dignum videtur. Nã cum id metueremus, ne augeri atque intendi tributa oporteret, atq; hoc ex eo conijceremus, quod in dies maiore impendio opus eſſet: commodùm ecce ſubleuato onere, maius hoc,

quod nec opinato, ac præter ſpem acciderat, quàm ipſummet beneficium feciſti. Quippe hactenus non ſine comminatione, ac vi, frumentum ad nos conuehebatur; nunc vero penna omni & cogitatione velocius ſponte ac nullo iubente comportatur. Quin mare ipſum voluntati Imperatoris obſequitur, atque hyberna nauigatio, onerarijs nauibus, æſtiua commodior atque pacatior eſt. Non igitur horrea ſitu atque araneis obſita, ſed plena ac redundantia ſunt, priſtináque illa quæ nos olim deſtituerat fiducia reuertit. Ita iam de vêris fertilitate bene ſperantes, hyemem traducimus. Quamobrem neq; dignatur Princeps per ſeſe huiuſmodi theſauros inſpicere, ſed cum eos in quibus aurum aſſeruatur, alijs cuſtodibus permittat, frumenti duntaxat horrea perluſtrare non dubitat, nec infra maieſtatem ſuam arbitratur. At Crœſus Lydorum Princeps, Regali magnificentia dignius putabat refertas auro cellas, quàm frumento, monſtrare. Itaque apud Solonem Athenienſem, non frumenti aceruos, ſed auri ramenta venditabat: quæ non terræ munera, ſed arrogantis fluuij erant infructuoſæ opes ac ſteriles. Quorum qui copia circumfluunt, fame enecantur. Cuiuſmodi ille voti ſui fructum retulit, qui in magna auri abundantia, inedia conſumptus eſt. Quapropter Solon minimè mortalium omnium beatiſſimum Crœſum pronuntiauit: Sed Athenienſem illum, & Argiuos adoleſcentes, ac nihil non potiùs quàm Crœſum nominauit. Verùm beatiſſimũ haud dubiè ac feliciſſimum Imperatorem illum pronunciaſſet, cuius opibus tantus alitur exercitus, quantus in Romano Imperio nullus hactenus fuit, ſeparatim quidem ad Tigrim fluuium. Alitur ampliſſima hæc ciuitas atque vniuerſa populi multitudo. Nec alit eos ſolùm, ſed etiam quod ſuperiorum temporum fraude atque iniquitate defuerat, rependit: nec rependit ſolum, ſed etiàm annonæ ac congiario adijcit: cum tamen præclarè nobiſcum agi videatur, ſi non aliquid detrahatur. Quare nihil nobis perpetua peregrinorum eiectione opus eſt, velut Matrici olim ciuitati, id quod egeſtate omni atrocius remedium eſt.

τότε ἀφελὼν τῶν φορτίων τῆς χάριτος, μεῖζον ἐποίησας τὸ παρ' ἐλπίδα. ἀμέλει τέως μὲν ξὺν ἀπειλῇ καὶ ξὺν ἀνάγκῃ ξυνεφοίτα ἡμῖν ἡ σιτοπομπία· νῦν δὲ θᾶττον πτεροῦ καὶ νοήματος ἑκούσιος καὶ αὐτοκέλευστος ἀφικνεῖται. ὑπηρετεῖ καὶ ἡ θάλαττα τῇ τοῦ βασιλέως ὁρμῇ, καὶ ὁ χειμέριος πλοῦς τοῦ θερινοῦ ἀκυμότερος ταῖς ὁλκάσιν. οὔκουν αἱ σιτοθῆκαι μεσταὶ εὐρῶτος καὶ ἀραχνίων, ἀλλ' ὑπερχειλεῖς καὶ ὑπέραντλοι, καὶ ἐπιδημήκει ἡμῖν τὸ θάρσος ὃ πάλαι ἐπιλελοίπει, καὶ χειμάζομεν ἤδη εὐέλπιδες ὑπὲρ τῆς τοῦ ἦρος εὐετηρίας. ὥστε οὐδὲ ἀπαξιοῖ βασιλεὺς αὐτόπτης γίνεσθαι τούτων τῶν θησαυρῶν, ἀλλὰ τὰ μὲν τοῦ χρυσοῦ ταμεῖα ἑτέροις φύλαξιν ἐπιτρέπει, τὰ σιτοφυλάκια δὲ οὐκ ὀκνεῖ οὐδὲ ἔλαττον ἑαυτοῦ ποιεῖται αὐτὸς περινοστεῖν. Κροῖσος δὲ ὁ Λυδῶν δυνάστης ᾤετο βασιλικώτερος εἶναι χρυσοῦ μᾶλλον ἔμπλεα τὰ ταμεῖα ἢ σίτου ἐπιδεικνύναι. ὥστε καὶ πρὸς Σόλωνα τὸν Ἀθηναῖον οὐ πυρῶν σωροῖς, ἀλλὰ χρυσοῦ ψήγμασιν ἐκαλλωπίζετο, οὓς οὐχ ἡ γῆ αὐτῷ ἐδορυφόρει, ἀλλὰ ποταμὸς ἀλαζών, πλοῦτον ἄκαρπον καὶ ἄβλαστον, καὶ οἱ εὐποροῦντές τι λιμῷ ἀπόλλυσθαι, ὥσπερ ἐκεῖνος ὤνητο τῆς εὐχῆς, ἐν ἀφθονίᾳ χρυσοῦ τροφῆς ἐνδεὴς τελευτήσας. τοιγάρτοι Κροῖσον μὲν οὐκ ἀπέφηνεν ὁ Σόλων ὀλβιώτατον τῶν τότε ἀνθρώπων, ἀλλὰ τὸν Ἀθηναῖον καὶ τοὺς Ἀργείους νεανίσκους, καὶ ἅπαντα μᾶλλον ἢ Κροῖσον. βασιλέα δ' αὖ ἀπέφηνεν ὀλβιώτατόν τε καὶ εὐδαιμονέστατον ᾧ πλοῦτος τοσοῦτον βόσκει στρατὸν ὅσον οὔ ποτε ἡ Ῥωμαίων ἡγεμονία, χωρὶς μὲν ἐπὶ τῷ Τίγρητι, βόσκει δὲ τὸ μέγα τοῦτο ἄστυ καὶ τὸν πολὺν δῆμον· καὶ οὐ μόνον βόσκει, ἀλλὰ καὶ ἐκτείνει τὸ ἐνδεῆσαν ὑπὸ τῆς πάλαι ῥᾳδιουργίας· καὶ οὐκ ἐκτείνει μόνον, ἀλλὰ καὶ ἐπαύξει τὸ σιτηρέσιον, ὅτε ἀγαπητὸν ἦν μὴ ἐλαττῶσαι. οὔκουν δεῖ ἡμῖν ξενηλασίας συνεχοῦς, καθάπερ τῇ μητροπόλει, φαρμάκου τῆς ἐνδείας χαλεπωτέρου.

ἀλλ' ἐπιρρέουσιν ἀκωλυτότερον σὺν τῇ τῶν καλῶν περιουσίᾳ οἱ χρησόμενοι αὖθις ἐπ' ἐξουσίας. τοιοῦτοι μὲν δὴ τῶν ἔργων τοῦ βασιλέως τὸ ὑπὲρ ὅτου καὶ τὸ ὁπότε, τό, τε δὴ ὑψηλόνουν καὶ τελεσιουργὸν καὶ μεγαλεῖον, ζητεῖτε ἄρα παρὰ τοῦ λόγου· καὶ οὐκ ἐμπελάζει ὑμῶν τοῖς ὀφθαλμοῖς, οὐδὲ τοῦ ἄστεος τὸν κύκλον ὁρᾶτε ἐξ ἡμιδεοῦς γέμοντα ἤδη ἀφράστου ἡδονῆς, καὶ οὐ τὰ κενὰ τοῦ περιβόλου κρείττονα τῶν συνοικουμένων, οὐδὲ γεωργουμένην εἴσω τείχους μείζονα χώραν ἢ κατοικουμένην, οὐδὲ ὀρφνὸν τὸ κάλλος τῆς πόλεως καὶ διεσπασμένον· ἀλλ' ἐμπέπλησται ἅπας καὶ ἐξύφανται, οἷα πέπλος ἄχρι τῶν θυσάνων πεποικιλμένος χρυσῷ καὶ πορφύρᾳ, αὐλῇ τε βασιλέως ἐπωνύμῳ καὶ λουτροῖς δὴ καὶ στοαῖς καὶ ἡβητηρίοις, καὶ τὸ κράσπεδον πάλαι τῆς πόλεως, νῦν ὀμφαλός. ὦ πάτερ, ὦ δαῖμον Κωνσταντῖνε, ἆρα αἰσθάνῃ ὅτι τὴν πόλιν ὁ βασιλεὺς αὐτὴ λαγαρᾶς καὶ ὑποσόμφου μεστὴν ἐποίησεν ἀγλαΐας, καὶ τὸ κάλλος αὐτῆς ἤδη ἀληθινόν, καὶ οὐκέτι σκιαγραφία. καὶ δὴ οὐ τὰ μὲν κοινὰ ἐπιδίδωσι, τὰ δὲ ἴδια ἀπολισθαίνει, ἀλλ' αὔξεται ὥσπερ ζῷον ἅμα ἡ πόλις, καὶ μιᾶς ὥσπερ ἅπαντας κατεχούσης ὥσπερ ἐπιπνοίας ἐκ τοῦ ζήλου τοῦ βασιλικοῦ καὶ ἄρχοντας καὶ ἰδιώτας, ὃς μὲν περίδρομον ἐγείρει, ὃς δὲ θάλαμον, ὃς δὲ ἀνδρῶνα, ὃς δὲ ἑπτάκλινον ἢ ἐννεάκλινον οἶκον, τῶν δὲ καλλύνεται ἡ τύχη καὶ τὰ ἐδάφη λίθῳ Λακαίνῃ καὶ Λιβύσσῃ καὶ Αἰγυπτίᾳ· καὶ δείκνυσιν ἀπειρόκαλον τὸν Μενέλεων, χαλκῷ τοὺς τοίχους τῆς οἰκίας ἐπαλείψαντα καὶ ἀργύρῳ· ἀπολαύει δὲ καὶ τὰ προάστεια τῆς περὶ τὸ ἄστυ φιλοτιμίας. χέρσῳ τε θαλάττης ἐπιούσης, καὶ θεάτρων ἁμίλλης, νεῶν πορθμῶν χερσωθέντων. μεστὴ δὲ ἡ πόλις τεκτόνων καὶ οἰκοδόμων καὶ ποικιλλόντων καὶ παντοδαπῆς δημιουργίας, καὶ εἴποις ἂν αὐτὴν ἐργαστήριον μεγαλοπρεπείας. ὥστε εἰ κατὰ λόγον ὁ ἔρως ἐπιδιδοίη τῷ βασιλεῖ, εἰς νέωτα ἡμῖν ἑτέρου κύκλου δεήσει, καὶ ἀμφισβητήσιμον ἤδη ἔσται τις μείζων καὶ εὐπρεπεστέρα ταῖν πολέοιν,

eſt. Quin multi ſimul cum bonorum abundantia nullo prohibẽte cõfluunt, qui liberè ac pro poteſtate iis vtãtur. Eiuſmodi in præclaris Imperatoris factis finis ac temporis opportunitas ſpectatur. Animi porro magnitudinem, efficacitatem, ac magnificentiã forſan ab oratione requiritis. Nec ea oculis veſtris obuerſantur, neq; ciuitatis ambitum videtis ex rudi atq; inchoato tanta, quanta verbis exprimi nõ poteſt, amœnitate cõpletum. Sic vt non iã vacua intra pomœrium vrbis ſpatia frequentatis atque habitatis ampliora ſint, nec plus aratione loci quã ædib. ac domiciliis occupemus, nec mõtuoſa ciuitatis ac diſtracta ſpecies, ſed plena omnis ac cõtexta ſit: velvt veſtis quædã ad fimbrias vſque auro ac purpura diſtincta, cùm Palatio de nomine Imperatoris appellato, tum balneis, porticibus, gymnaſiis: vt quæ extrema erat quondã ora ciuitatis, ac fimbria, ex ea nũc vmbilicus ſit factus. O pater, ô felix Conſtãtine, num ciuitatem tuã ab Imperatore ſentis ex inani laxáq; omni decore eſſe atque elegantia cumulatam, verámque eius eſſe non iam adumbratam pulchritudinem? Neque vero cum publica promoueantur, priuata minuuntur interim, atq; excidunt: ſed tanquam animal quoddam vniuerſa ſimul gliſcit, atque augetur Ciuitas, & tanquã vno eodẽq; ex ſtudio Imperatoris, afflatu Magiſtratus ęquè atque priuatos corripiente, hic veſtibulum excitat, ille thalamũ, alter repoſitam viris ædium partẽ, alter ſeptem aut nouẽ capax lectulorum cubiculum, Parietes alius, ſolúmq; Laconico, & Libyco, atque Ægyptio marmore conſternit, atq; ineptum fuiſſe Menelaum conuincit, qui ædium ſuarum parietes ære atque argento infecerit. Quinetiã in ſuburbana adeo ipſa Vrbis ambitio ac magnificentia redundat, inducto ibidem in terrã mari, & nauale ſpectaculũ manufacto ſinu ac freto prębente. Iã Ciuitas ipſa Fabris, Architectis, Phrygionariis, atq; omni ſacrificij genere referta: vt eã magnificentię officinã eſſe dicas. Adeóq; ſi proportione Imperatoris amor ac ſtudiũ excreuerit, in ſequenti nobis anno altero Ciuitatis ambitu opus erit. Itaq; deinceps dubiũ erit vtra ambarum maior ſit atq; illuſtrior ciuitatũ,

quam Theodoſius Conſtantinopoli, an quam Byzantio Conſtantinus adiunxerit. Ego verò (Auditores optimi) ſi voluntati meæ corpuſculi huius ratio accommodari poſſet, vitæ mihi atque annorum ſpatium prorogari cuperem: non quo alia quapiam voluptate fuerer (Iam pridem enim mihi omnes, nec immerito, emortuæ, ac reſtinctæ ſunt) ſed vt vel tertiæ adhuc vrbis ſpectator eſſe poſſem, quam non multo poſt tempore Princeps adſtructurus eſt. Nec ſine aliqua ſpe, eiuſmodi ſtudio ac deſiderio teneor. Vſque eò enim mihi ad depellendam corporis infirmitatem præſens in Imperatore remedium eſt, vt cum ad Muſicam rurſus modò vti animum adiungerem, imperaſſet, plus, mihi credite, quàm Hippocratis medicamenta omnia profuerit. Iam enim firmius quam antea progredior, & audiri cum loquor faciliùs poſſum, nec cibus mihi aut potus intercluditur: ſed cum ſedulitate contentionéque animi corpus vna quodammodo refloreſcit, atque excitatur, ac ſenectutem abſtergit. Quare minimè equidem admirer, ſi cum ita me habeam, non poſtremum vobis hoc carmen concinam, (quemadmodum Olores ante mortem in Dei huius honorem canũt, cuius famuli atque interpretes habentur) ſed inſuper Muſarum mihi Princeps melioris ac ſuauioris concentus occaſionem ſit præbiturus. Nam Colchidis quidem medicamina Peliæ filias deceperunt, cum ſe parentem earum promiſiſſet iuuenem è ſene facturam. Princeps autem ad verum me robur ac vigorem reducit, non tam erigendis ſuis illis ædificiis, quàm quòd augeſcat ipſe, & incrementum capiat, maiorque in dies, & audiendi cupidior & docilior reddatur. Ideóque animum ille meum excitat, & laceſſit, ac ſtimulat, nec in ſoporem atque oſcitantiam præ incuria ferri patitur: ſed feſſum iam ac debilitatum, velvt egregium olim militem, reuocat, & ad diſciplinarum ſtudium accingit, præclara ad id ſubſidia miniſtrans, ac quæcumque ad artem neceſſaria ſunt, ſuppeditans. Non igitur ambitione atque honorum ſtudio ductus Prȩfecturæ vrbis manus ſuppoſui,

ἣν Θεοδόσιος προσύφαινε τῇ Κωνσταντίνου, ἣν Κωνσταντῖνος
τῇ Βύζαντος. ἐγώ τοι καὶ αὐτὸς, ὦ μακάριοι, εἴπερ ἑπόμενόν
μοι ἤδη τὸ σῶμα ἦν, βουλοίμην ἂν ἐξικέσθαι ἐπὶ μακρό-
τερον χρόνον, οὔτι ἄλλης ἕνεκεν ἡδονῆς· (πᾶσαι γάρ μοι ἐκ-
λέλυνται, καλῶς ποιοῦσαι) ἀλλ' ὅπως ἂν γενοίμην καὶ τεί-
της πόλεως θεατὴς, ἣν προσοικοδομήσει οὐκ εἰς μακρὰν ὁ
ἀρχηγέτης. καὶ οὐκ ἔξω μοι ἐλπίδος ἐστὶν αὕτη ἡ προθυμία.
οὕτω γάρ μοι ἀλεξίκακος βασιλεὺς καὶ πρὸς τὴν τοῦ σώμα-
τος ἀδυναμίαν, ὥστε, εὖ ἴστε ὦ φίλοι, ὅτι καὶ νῦν με ἐπικε-
λεύσας τὴν μουσικὴν αὖθις ἀναλαμβάνειν, μᾶλλον ἐπήρκεσε
τῶν Ἱπποκράτους φαρμάκων. καὶ βαδίζω ῥωμαλεώτερον ἢ
πρότερον, καὶ φθέγγομαι ἐξάκουστα μᾶλλον, καὶ οὐκ ἀποκέ-
κλεισταί μοι τὰ σιτία οὐδὲ τὰ πόματα, ἀλλὰ τῇ τῆς ψυχῆς
φιλεργίᾳ καὶ τὸ σῶμα συνανηβᾷ καὶ συνανακύπτει, καὶ τὸ
γῆρας συναποξύεται. ὥστε οὐκ ἂν θαυμάσαιμι εἰ οὕτως
ἔχων μὴ ὑστάτην ὑμῖν ταύτην ᾄσαιμι τὴν ᾠδὴν, (ὥσπερ
οἱ κύκνοι ᾄδουσι πρὸ τοῦ θανάτου εἰς τὸν θεὸν οὗ εἰσὶ πρόπο-
λοι καὶ ὑποφῆται) ἀλλ' ἐπιδαψιλεύσεταί μοι ὁ μουσηγέτης καὶ
ἀμείνονος καιρὸν μελῳδίας. τὰ μὲν γὰρ φάρμακα τῆς Κολ-
χίδος ἐξηπάτησεν τὰς Πελιάδας, ὑποσχομένης τὸν πατέ-
ρα αὐταῖς ἀντὶ πρεσβύτου νέον ποιήσειν· βασιλεὺς δὲ εἰς ἀλη-
θινὴν με ἀκμὴν ἐπανάγει, οὐ τοσοῦτον οἷς ἐγείρει οἰκοδομή-
μασιν, ἀλλ' ὅτι αὐτὸς αὔξει ἀεὶ, καὶ ὅτι αὐτὸς ἐπιδίδωσι, καὶ
ὅτι αὐτὸς γίνεται μείζων καὶ φιληκοώτερος καὶ εὐμαθέστερος·
διὰ τοῦτό μοι ἐξεγείρει τὸν νοῦν, καὶ ἐρεσχελεῖ, καὶ ἐρεθίζει, καὶ οὐκ
ἐᾷ καταφέρεσθαι εἰς ὕπνον καὶ χάσμην ὑπ' ἀργίας, ἀλλ'
ἀπαυδῶντα καὶ παρειμένον, οἷόν τινα εὐδόκιμον πάλιν στρα-
τιώτην, ἀνακαλεῖται, καὶ ἀναζώννυσιν ἐπὶ τοὺς λόγους, παρέ-
χων καλὰς ἀφορμὰς, καὶ τῇ τέχνῃ διδοὺς χορηγίαν. οὐκ
ἄρα ἐγὼ σπουδαρχιῶν ὑπέχον τὼ χεῖρε τῇ πολιαρχίᾳ,

ἀλλὰ σφοδρὸν ἔρωτα ἐρασθεὶς τὰ αὐτὰ ἀποφῆναι φρονοῦντα τὸν βασιλέα Πλάτωνι τῷ θεσπεσίῳ ὑπὸ τῆς ἀνθρωπίνης εὐδαιμονίας. καὶ ὅτι μὲν οὐκ ἐλήλεγκται οὔτε βασιλέως ἡ ψῆφος, οὔτε ὁ Πλάτωνος λόγος, ἄλλου ἂν εἴη λέγειν, καὶ οὐκ ἐμόν· ἐγὼ μέντοι οὐκ ἐπ' ἐκείνῃ τῇ δέλτῳ, ἀλλ' ἐπ' ἄλλῃ μείζονι καὶ τελεωτέρᾳ, ἣ καὶ τὰς δέλτους ἐκείνας ἤδη ἔχει ἐπ' ἐξουσίας· ἣν οὐκ ἐποίησαν ἐλεφαντουργοὶ οὐδὲ χρυσοχόοι, ἀλλὰ ποίημά ἐστιν αὐτοῦ βασιλέως, μᾶλλον δὲ γέννημα ἱερὸν ἐξ ἱερῶν ὠδίνων τέλεον εὐθὺς καὶ ὁλόκληρον, ὁ ἀγαπητός, ὁ πολύευκτος, ὁ σεβαστὸς ἐκ τοῦ λίκνου καὶ τῶν σπαργάνων, οὗ τὸ μὲν σῶμα ἐν αὔξῃ ἐστίν, ἡ τιμὴ δὲ οὐκ ἔχει ὅπῃ προβήσεται.

ὅν μοι εἰς χεῖρας ἔθηκεν ἡνίκα ἐλαύνειν ὥρμητο ἐπὶ τὴν ἑσπέραν, ἐπ' ὄψει μὲν τοῦ δήμου, ἐπ' ὄψει δὲ τῆς γερουσίας, καὶ παρεγγύα ἐπιμελεῖσθαι καὶ θεραπεύειν, οὔτε ἀσπίδα νωμᾶν δυναμένῳ, οὔτε δόρυ πάλλειν, ἀλλ' οὐδὲ τόξον εὖ εἰδότι, οὐδὲ σφενδόνης, ἀλλὰ τριβώνιον περικειμένῳ, καὶ ἐγκεκυφότι ὑπὸ γήρως καὶ ἀσθενείας. ἀλλ', ὡς ἔοικεν, ἀνὴρ οὐ τὴν αὐτὴν ἀνήκειν ἡγεῖται παιδείαν βασιλεῖ, προσήκειν καὶ ἰδιώτῃ, οὐδὲ ταὐτὰ παιδεύματα ἁρμόττειν τῷ ἄρξοντι γῆς καὶ θαλάττης καὶ τῷ ταξιαρχήσοντι. δεῦρ' ἴθι οὖν ὦ φίλε παῖ, ἐπὶ τῶν ἐμῶν καθίζου γονάτων, ὅπως ἄν σε ἐκείνων γεύσαιμι τῶν παιδευμάτων καὶ ἀναθρέψαιμι, οὐχ ὥσπερ ὁ Φοῖνιξ τὸν Ἀχιλλέα, σῖτα καὶ ὄψα ἐπάγων, ἀλλὰ τροφεῖα παρέχων ἃ μόνοις σκευάζει φιλοσοφία τοῖς νέοις βασιλεῦσιν, καὶ εἴσω τῆς αὐτοκρατοῦς ἡλικίας, λόγους ἐγκάρπους καὶ ὑψηλοὺς καὶ ὠφελίμους, καὶ παλαιῶν κλέα αὐτοκρατόρων, οἷς Κῦρος ὁ μέγας ἐτράφη, καὶ Νουμᾶς ὁ Ῥωμαῖος, καὶ Μάρκος ὁ κλεινός, καὶ Τίτος ὁ γενναῖος, οὗ τὸ λαμπρὸν καὶ μέγα ἐκεῖνο ῥῆμα, ὅτι Τήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ εὖ ἐποίησα. συμπαιδαγωγήσουσι δέ σε καὶ Πλάτων ὁ κλεινὸς καὶ ὁ θεσπέσιος Ἀριστοτέλης, οἳ καὶ τὸν μέγαν Ἀλέξανδρον ἐπαιδαγώγησαν,

ſed quod vehementer optabam, eadem de hominum fœlicitate, cum Diuino Platone ſentientem Imperatorem oſtendere. Quàm vero erroris conuicta non ſit Imperatoris ſententia, aut Platonis illud dictum, ab altero potius quàm à meipſo prædicandum eſt. Ego vero non iſtiuſmodi tabella magnopere glorior, ſed de maiori ac perfectiori altera, quæ iam illas tabellas in ſua poteſtate continet, quam non eboris aut auri artifices procuderunt, ſed ipſiuſmet Imperatoris opus eſt, vel ſacer fœtus potius ſacro item ex partu repente conſummatus, ac perfectus, vnicus, omnium votis expetitus, iam tum ab ipſis cunabulis ac faſciis Auguſtus appellatus, cuius augetur quidem corpus, verum honor ipſe nihil habet quò vlterius progrediatur: quem mihi tũ in manus commiſit, cum ad Occidentem expeditionem pararet, idque vniuerſo populo ac Senatu ſpectante, cum illud mandaret mihi, illius vt curam ſuſciperem ac diligenter fouerem, qui neque agitare clypeum nec vibrare haſtam poſſem, ſed nec arcu fundáve vti ſcirem, palliúmque dumtaxat gererem, ac pr ę ſenio atque imbecillitate curuatus eſſem. Sed vti apparet non eandem ille diſciplinam arbitratus eſt Principi atque priuato homini conuenire: nec iiſdem quibus Ordinum Ductor inſtitutis eum imbui oportere, qui terra marique imperaturus eſſet. Adeſdum itaque, Chariſſime fili, genibúſque meis inſide, vti ipſe te diſciplinis informem atque inſtituam, non quemadmodum Achillem Phœnix cibum atque obſonium ingerens, ſed ea aliméta ſubminiſtrans, quæ pueris Principibus infráque eam ætatem, quæ ſui arbitrij ſit, Philoſophia ſola pręparat, fructuoſas inquam illas diſciplinas, ac ſublimes, & vtilitatis plenas, veterum Imperatorum decora, atque ornamenta: quibus magnus olim Cyrus educatus eſt, & Romanus Numa, & præclarus ille Marcus, atque egregius Titus, cuius magna illa atque inſignis vox extat: Hodie non imperaui, nihil enim boni cuiquã feci. Accedet ad hoc magiſterium informationémque tui illuſtris Plato, ac diuinus Ariſtoteles, à quibus Magnus eſt Alexander inſtitutus:

quem etiam ex obſcuro regno orbis vniuerſi dominum reddiderunt. Ab eiuſmodi Præceptoribus ſi tu informatus atque educatus fueris, tu qui ſcientiarum Pręſidis Dei nomen tibi vendicas, cito votum illud parentum tuorum implebitur:

Multo hic patrem diſcrimine vincit.

Aut moderatius illud & facilius:

Sequitur veſtigia Patris.

Tum de te gaudebit Mater non modò ex acie cum ſpoliis redeunte, ſed & concionante, ac ius dicente, & iuſtitię comitatu aſſeſſúque ſepto, quæ quidem prima illa Palatium implet.

HORTATORIA AD PHILOSOphiam ad Nicomedienſes.

ORATIO VII.

ATQVI & Prodico quondam & Gorgia Athenis commorantibus, non ineptè quidam Sophroniſci filio Socrati operam dabant. Quanquam vterque ornatiſſimas atque omni ſuauitate plenas orationes oſtentaret: vt ab Auditoribus etiam mercedem exigeret: Socrates vero comptum nihil, aut argutum, ſed rudia quædam ac quotidiana è re nata diſſereret, ac vel pecuniam vltro ipſe daret, ſi quis aures dicenti ſibi accommodare vellet. Num igitur & vos eum aſpernabimini, qui hoſpitalibus epulis non admodum iucundis excipere vos cupiat, nec eiuſmodi, aures vt veſtras permulceant, quales ſæpenumero congregatis vobis exhibentur; ex quibus inuitàtores veſtros diligitis, quòd elegantes ac perhumani ſint, nec in apparatu conuiuij parci, aut ſordidi: ſed Syracuſana perpetuo menſa Siculáve propoſita quamplurimas ac multiplices voluptates concilient; atque alij vernaculum quoddã carmen; alij Aſſyrium, & ex Libano profectum canentes, cùm domeſtico vos tum peregrino concentu demulceant. Igitur

καὶ ἐξ ἀδόξου χωρίου κύριον ἐποίησε μὲν ὅλης τῆς γῆς. ἐὰν οὗτοί σε ἐκθρέψωνται καὶ παιδεύσωνται, ἐπώνυμε τοῦ λογίου θεοῦ, ταχέως ἔσται ἐπιτελὴς ἡ τῶν σῶν γονέων εὐχή·

Παῖς δή γε πολλὸν ἀρείων.

ἤ, εἴγε μετριωτέρα καὶ δυνατωτέρα,

Παῖς δ' εἰς ἴχνια βαίνοι.

καὶ τότε σοι ἐπιχαιρήσει ἡ μήτηρ οὐ μόνον ἐκ πολέμου ἐπανιόντι μετὰ σκύλων, ἀλλὰ καὶ δημηγοροῦντι καὶ θεμιστεύοντι, καὶ τὴν δίκην πάρεδρον ποιουμένῳ, ἧς πρόσωπον αὕτη ἐμπίπλησι τὰ βασίλεια.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΤΡΕΠΤΙΚΟΣ Νικομηδεῦσιν εἰς φιλοσοφίαν.

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

ΑΛΛΑ καὶ Προδίκου ποτὲ καὶ Γοργίου διατριβόντων Ἀθήνησι, προσεῖχόν τινες οὐ φαύλως καὶ Σωκράτει τῷ Σωφρονίσκου. καίτοι Πρόδικος μὲν καὶ Γοργίας πολυτελεῖς τε ἐπεδείκνυντο καὶ γέμοντας ἡδονῆς λόγους, ὥστε καὶ μισθὸν εἰσεπράττοντο τοὺς ἀκροωμένους· Σωκράτης δὲ οὐδὲν ποικίλον οὐδὲ σοφόν, ἀλλὰ ἁπλᾶ τινα καὶ συνήθη καὶ ὅπως ἔτυχε διεξῄει· καὶ ἡδέως ἂν καὶ ἀργύριον ἔδωκεν, εἴ τις αὐτῷ παρασχεῖν ἐβούλετο. μὴ οὖν δὴ καὶ ὑμεῖς παρίδοιτε τοῦ ξενίζειν ἐπιχειροῦντος οὐ λίαν κεχαρισμένοις ξενίοις, οὐδὲ γοητεύειν δυναμένοις τὰς ἀκοάς, οἵων θαμὰ ἀπολαύετε συλλεγόμενοι, καὶ τοὺς ἑστιάτορας ἀγαπᾶτε, ὅτι δὴ δεξιοὶ καὶ φιλάνθρωποι καὶ οὐ σμικρολόγοι ταῖς παρασκευαῖς· ἀλλὰ Συρακουσίαν ἀεὶ τράπεζαν ἢ Σικελικήν τινα παρατιθέντες, πολλὰς καὶ ποικίλας ἡδονὰς ὑμῖν μηχανῶνται. καὶ οἱ μέν τινες ἐπιχώριον ᾄδοντες μέλος, οἱ δέ, Ἀσσύριον καὶ ἐκ Λιβάνου, κηλοῦσιν ὑμᾶς τῇ τε οἴκοθεν ἁρμονίᾳ καὶ τῇ θύραθεν.

εἰ μὲν δή τι καὶ παρ' ἡμῶν τοιόνδε προσδοκῶντες συνεληλύθατε, ὥρα ὑμῖν ἀπιέναι, μηδὲ ἐνοχλεῖσθαι μάτην· εἰ δὲ δή ποτε καὶ Λυκοῦργον ἑστιάτορα ὑπομεῖναι δυνήσεσθε, τάχα ἂν ὑμᾶς ὑποδεξώμεθα οὐχ οὕτω μὲν πολυτελέσι ξενίοις, ὑγιεινοτέροις δὲ ἴσως, ἃ μὴ θαυμάσαι μόνον ἐστὶν, ἀλλὰ καὶ ὄνασθαί τι θαυμάσαντας· εἰσὶ μὲν γὰρ καὶ οἱ παρ' ἡμῶν λόγοι Μνημοσύνης τε καὶ Διὸς ἔκγονοι, καθάπερ οἱ κομψοί τε ἐκεῖνοι καὶ φιλοπαίγμονες. πάμπολυ δὲ διαφέρουσι τῶν ἀδελφῶν· καὶ τὴν διαφορὰν εἰ βούλεσθε ἀκούειν, ἔχοιμ' ἂν λέγειν. ἀλλ' ὅπως μή με ἀδολέσχην καὶ περιττολόγον νομίσητε, καὶ ἀποπλανώμενον εἰκῇ τῶν προκειμένων. καὶ γὰρ δὴ καὶ τοῦτο τοῖς ἡμετέροις πρόσεστι λόγοις· ἐλεύθεροι σφόδρα εἰσὶ καὶ αὐτόνομοι, καὶ ἔξεστιν αὐτοῖς ἐκ τοῦ παρέργου μὴ μίαν τινὰ ὁδὸν ἠναγκασμένην βαδίζειν, ἀλλ' ἐὰν αὐτοὺς ἑτέρα τῆς προκειμένης μᾶλλον ἀρέσαι μεταβαίνουσιν εὐθέως, καὶ οὐ πλανῶνται. τὴν δ' οὖν μάλιστα διαφορὰν ὧδε ῥᾳδίως ἂν μάθοιτε. πάντα ὅσα ἐπίκηρα καὶ τῆς ἀσθενοῦς φύσεως μέτοχα, δυοῖν μάλιστα τούτοιν ἴσμεν δεόμενα, ἀναπαύλης τε τῶν ξυνεχῶν πόνων, καὶ αὖ ἐπιμελείας, εἰς τὸ μὴ χείρω γίνεσθαι. καὶ ψυχὴν τοίνυν οὕτως οἰηθῶμεν τῶν μὲν τινων ἀναπαυόντων λόγων, τῶν δέ τινων ἐπιμελουμένων προσδεῖσθαι. διὰ τοῦτο οἱ μὲν ὅταν παρέλθωσιν εἰς τὸ τῶν Μουσῶν θέατρον, (ποιοῦσι δὲ τοῦτο συνεχῶς καὶ πολλάκις) προσμειδιῶσί τε ὑμᾶς καὶ περισαίνουσι, καὶ περιχυθέντες ἀσπάζονται τὸν κορυφαῖον τῶν θεατῶν· οἱ δὲ τὰ μὲν πολλὰ οἰκουροῦσι, καὶ ἰδίᾳ βούλονται τὰς ἐπιμελείας ποιεῖσθαι· ἢν δέ ποτε καὶ πρὸς δῆμον αὐτοὺς ὁ θεὸς κινήσῃ, αὐστηροί τε εἰσὶ καὶ οὐχ ἡδεῖς εὐθέως, καὶ τοσοῦτον ἀπέχουσι τοῦ θωπεύειν, ὥστε καὶ πολλάκις ἐπιτιμῶσι τοῖς θεαταῖς, ὅταν τι πλημμελὲς αὐτοῖς συγγινώσκωσιν. ἀλλ' ἡμῖν γε, ἅτε πρὸς ἄνδρας φιλοσόφους ποιουμένοις τοὺς λόγους, καὶ τὰ πολλὰ ὑγιαίνοντας, τοὺς σοφωτέρους μιμητέον τῶν ἰατρῶν,

Igitur ſi quid à me ſimile audituri conueniſtis, abire vobis per me quidem licet, nec fruſtra moleſtiam ſuſtinere. Sin eſt vt Lycurgum inuitatorem ferre nonnunquam poſſitis, excipiemus ſanè vos vt non opiparis adeo dapibus, ſic fortaſſe ſalubrioribus, quæ non admirationem modo vobis, ſed cum admiratione coniunctam vtilitatem adferāt. Licèt enim noſtræ quoque orationes Mnemoſynes, ac Iouis fœtus, velvt ſcitæ illæ ac ludibundæ, ſint, plurimum tamen ab Sororibus ſuis diſtāt; diſcriménq; adeo ipſum, ſi modo audire non grauemini, facilè vobis explicabo. Verum ne me obſecro ſermonis nimium, ac loquacem eſſe, aut temerè à propoſito declinare putatote. Idipſum enim ſermonibus orationibúſq; noſtris inſitum eſt, liberæ admodum ſuiſque legibus vtentes ſunt, & hoc conceſſum habent, vt à parente profectæ non certam aliquam ac definitam viam tenere cogantur; ſed ſi alia quàm quæ propoſita eſt, magis arriſerit, tranſgrediantur illico, nec longius aberrent. Ergo quodcumque illud diſcrimen eſt, facilè hac ratione noſcetis. Omne illud quod caducū & mortale & naturę imbecillioris particeps eſt, duabus his maximè rebus indigere cernimus, intermiſſione ſcilicet perpetui laboris, & cura aliqua, prouiſionéque, ne deterius euadat aliquando. Quare eodem modo & animum noſtrum cogitemus alios ad relaxationem ac quietem, alios ad curam & ſollicitudinem deſiderare ſermones. Propterea illi cum in Muſarum theatrum prodeunt (faciunt vero id aſſiduè ac ſæpius,) arrident vobis ac blandiuntur, atque eum circumplexi ſalutant, qui principem inter ſpectatores locum habet. Hi vero ferme domi ſeſe continent, priuatimque ſtudia ſua obire deſiderant. Sin eos aliquando Deus in publicum compulerit, moroſi, nec ſtatim iucundi ſunt: tantumque ab adulatione abſunt, vt ſæpenumero vel auditores ipſos increpent, vbi aliqua in re erratum ab iis deprehenderint. Verum nobis quidem qui apud ſapientes, magnáque ex parte ſanos homines diſputamus, prudentiores imitandi ſunt Medici,

qui amariora medicamina melle circumlitis poculis propinant. Ac fortaſſis vos ipſi orationi noſtræ tractabiliores facilioréſque præbeatis, ſi cum voluptate medeatur: non ſecus quàm aurigæ alicui perito, qui habenis currum regere malit, calcaribus ac flagello parcere. Quidnam igitur dicendum maximè nobis eſt, quo prodeſſe vnà vobis ac placere poſſimus? Neceſſe enim omnino eſt vt eam agendi vobiſcum rationem adhibeam: neceſſitatis autem cauſa eiuſmodi eſt. Quiſquis ille Deorum eſt, qui me huic attribuere ciuitati voluit, & egregium illum erga vos in me amorem excitauit, neque immunem me, ac rerum mearum ſatagentem manere in quiete & otio permittit: velut plerique amatores veſtri faciunt; neque porro amarioribus ad remedium vti medicamentis ſinit, ne imprudentes ab iis quos amamus, curatione ipſa ob eius moleſtiam excludamur. Nam ſi vos ego ſolus amarem, poſſem libere de meis illis deliciis inſoleſcere, cùm ne vllus mihi riualis præferretur metuerem nihil. Iam vero etiam alios videtis eodem amore captos, mihíque vos illorum elegantia videtur ac dexteritas abſtractura, ita vt nos tanquam ſeueriores ac grauiores contempturi ſitis. Quare id ego apud vos dicere compellor, quod iam dudum reticere in animo meo decreueram. Non eſt Philoſophiæ Aula Gratiis deſtituta, nec procul à Muſæis noſtris habitant Deæ, neque chorum vnquam vobis honeſta voluptate carentem inſtituerimus: ſed Venerem perpetuò coniungere cum Muſis conabimur: Germanæ quippe inuicem ſunt, communionéque mutua delectantur. Sed vt illud intelligatis, quàm inter ſeſe conciliari Deæ illæ ac ſociari poſſint, libet aliquid ex iis qui occulti hactenus fuerant ſermonibus efferre. Duplex itaque in nobis verſatur genus, Auditores Optimi, dupléxque ipſis aſſignata manſio; atque animi ſunt ab iis diuiſa domicilia. Horum alios fouet mihi alitque Rhetorica, alios præſtans atque eximia Philoſophia. Quòd ſi eiuſmodi ſermonum matres noſſe, ac quali ſit vtraque natura prædita cognoſcere velitis,

οἱ τὰ πικρότερα τῶν φαρμάκων μέλιτι τὴν κύλικα περιχρί-
σαντες πίνειν διδόασι. τάχα δ' ἂν καὶ ὑμεῖς ἑαυτοὺς πειθηνίους
μᾶλλον παρέχοιτε μεθ' ἡδονῆς θεραπεύοντι τῷ λόγῳ, καθά-
περ ἡνιόχῳ δεξιῷ τὴν τέχνην ἐξ ἡνίας ἄγειν ἐπιχειροῦντι τὸ
ἅρμα, κέντρου δὲ φειδομένῳ καὶ μάστιγος. τί ἂν οὖν λέγοντες
ἅμα τε ὠφελοίημεν ὑμᾶς καὶ ἀρέσκοιμεν; πολλὴ γάρ μοι
ἀνάγκη τὸν τοιόνδε τρόπον τῆς πρὸς ὑμᾶς ὁμιλίας τιμᾶν. αἰτία
δὲ τῆς ἀνάγκης ἥδε· ἐμὲ θεῶν ὁ τῇδε τῇ πόλει παραθεῖναι βου-
ληθεὶς, καὶ τὸν ἔρωτά μοι τὸν καλὸν τοῦτον κινήσας, οὔτε μένειν
ἀξύμβολον ὑμῖν ἡσυχῇ ξυγχωρεῖ τὰ αὐτοῦ πράττοντα, καθά-
περ τοὺς πολλοὺς ὑμῶν ἐραστάς· οὔτε μὴν πικροτέροις φαρμά-
κοις ἐᾷ κεχρῆσθαι πρὸς τὴν βοήθειαν, μὴ λάθωμέν τοι τῆς
θεραπείας δι' ἀηδίαν ὑπὸ τῶν ἐρωμένων ἀποσταθέντες. καὶ γὰρ
εἰ μὲν μόνος ὑμῶν ἑάλων ἐγὼ, κἂν ὑπῆρχεν ἄν μοι μετ' ἐξου-
σίας τοῖς παιδικοῖς ἐναβρύνεσθαι, παρατίμησιν ἀντεραστοῦ μὴ
δεδιότα· νῦν δὲ ὁρᾶτε γὰρ ἤδη καὶ ἑτέρους ὁμοίως κεκινημένους,
καί μοι τὸ σφόδρα αὐτῶν ἐπιδέξιόν τε καὶ εὔχαρι οἰχήσεσθαι
ἄγειν ὑμᾶς δοκεῖ, ὥστε ἡμῶν δὴ τῶν σεμνοτέρων ὑπερορᾶν. διόπερ
ἀναγκάζομαι πρὸς ὑμᾶς ἐξειπεῖν ἃ πάλαι κατέχειν ἐδόκουν
ἐν ἐμαυτῷ. οὐκ ἔστι χαρίτων ἔρημος ἡ φιλοσοφίας αὐλὴ, οὐδὲ
ἀποσκηνοῦσιν αἱ θεαὶ πόῤῥω που τῶν ἡμετέρων Μουσείων. οὐδ' ἂν
στησαίμην ποτὲ ὑμῖν χορὸν ἀμοιροῦντα σώφρονος ἡδονῆς· ἀλλὰ τὴν
Ἀφροδίτην ἀεὶ συμπλέκειν ταῖς Μούσαις προθυμησόμεθα. ἀ-
δελφαὶ γὰρ ἀλλήλων, καὶ ἀσπάζονται τὴν κοινωνίαν. ὡς δ' ἂν ὅτι καὶ οὐκ
ἀδιάφορος ἡμῖν ἡ ἁρμονία τῶν θεῶν τούτων εἰδείητε, ἐθέλω τι
βραχὺ πρὸς ὑμᾶς τῶν τέως κεκρυμμένων ὁμολογῆσαι λόγων.
διττὸν ἡμῖν ἐνοικεῖ γένος, ὦ φίλοι, διτταὶ δὲ αὐτοῖς καταγωγαί· καὶ
διενείμαντο τὰ τῆς ψυχῆς οἰκητήρια. τιθηνοῦνται δέ μοι τοὺς μὲν
ῥητορικὴ, τοὺς δὲ ἡ πάγκαλος φιλοσοφία. εἰ δὲ ὑμῖν καὶ τὰς μητέ-
ρας τῶν λόγων εἰδέναι πόθος, καὶ οἷα τις ἑκατέρα τὴν φύσιν γινώσκειν,

ἀκούοιτε ἂν τῶν παίδων, ὅσα πολλάκις ἐν εἰκόσι παίζοντες ἑκάστην αὐτῶν ὑπογράφουσι τῶν εἰκόνων. Φιλοσοφία μὲν δὴ καὶ σχῆμα σεμνὸν, καὶ σῶμα εὐμέγεθες, καὶ στολὴ πρέπουσα, ἐν οἵᾳ δὴ καὶ τὰς ἀρετὰς οἱ γραφεῖς τὰς φιλοσοφίας συννόμους δεικνῦντες γράφουσι. πλόκαμοί τε οὔτε ἄφετοι μεθίενται πλανᾶσθαι, οὔτε ἐκ ποικιλίας κομμωτικῆς ἀναπλέκονται, ἀλλὰ μέσον τινὰ ἔχουσι κόσμον εὐταξίας τε καὶ τρυφῆς. φιλοσοφία γάρ τοι κατὰ φύσιν κάλλος ἄφραστον ἔχουσα, πᾶν ὅ,τι περ ἂν ἐπείσακτον ἀτιμάζει τε καὶ οὐ προσίεται. ἐντεῦθεν οὐδὲ ὑπογράφει τὰ ὄμματα, οὐδὲ τεχνητὸν ἔρευθος αὐτῇ τὰς παρειὰς χρώννυσιν· ἀλλὰ καὶ ἐπανθεῖ μὲν ἐρύθημα τῷ προσώπῳ σωφροσύνης πλῆρες, βλέμμα τε αἰδοῦς γέμει, καὶ οἷον τὴν αἰδῶ καὶ τοῖς προσβλέπουσιν ἐνδιδόναι. ἤδη γοῦν τισι καὶ θέα ψιλὴ τῆς θεοῦ ταύτης ἤρκεσεν εἰς κοσμιότητα τὸν βίον μεταρρυθμίσαι. καὶ ὅγε Πολέμων Ἀττικὸς, ὁ κώμοις τε καὶ αὐλοῖς καὶ μέθαις πολλὰ πρότερον ἐντρυφήσας, ὅτε τὴν Ξενοκράτους σύνοικον φιλοσοφίαν προσέβλεψεν, αὐλοὶ μὲν ἐκεῖνοι φροῦδοι, καὶ κῶμοι καὶ ἔρως ὁ πάνδημος τῆς Πολέμωνος ἐκπεσόντες ψυχῆς ἠμελήθησαν· ὁ δὲ ἔρωτα τὸν καθαρώτατον τῆς φιλοσοφίας ἀντιλαβὼν, εἰς τοσοῦτον τῷ πόθῳ προὔκοψεν, ὥστε καὶ τελεταῖς τοῦ θεοῦ τιμηθῆναι. ῥητορικῆς δὲ (πάντως γάρ που καὶ ταύτης τὴν εἰκόνα ποθεῖτε) γυναία μὲν τίς καὶ αὐτὴ καὶ πάγκαλη· ἀτὰρ οὐ τῇ φύσει μόνον ἀρκεῖται, πολλάκις δὲ θέλει καὶ τοῖς ἔξωθεν καλλωπίζεσθαι. καὶ αὐτῇ πολὺς μὲν ποικίλος κόσμος τὸ σῶμα σκέπει, ἀγάλλεται δὲ καὶ θεάτροις Ἑλληνικοῖς, καὶ τοὺς παῖδας ἐκ νεαρᾶς ἡλικίας εἰς δημοσίας παρόδους ἐθίζει. οἱ δὲ οὕτως εἰσὶ τῆς μητρὸς γνήσιοι καὶ χορείας ἐρῶντες, ὥστε πολλάκις καὶ τὰς μητέρας συμπείσαντες, καὶ ἀναμιχθέντες ἀλλήλοις, ἕνα σχεδὸν θαυμάσιόν τινα καὶ οἷον τὸν Μυσῶν ἐκεράσαντο. ἐὰν δὲ ἐθέλοιεν μὴ σὺν ἀλλήλοις χορεύειν,

hoc de ipſarum filiis audire poteſtis, quomodo velut in imaginibus ludentes, ſæpius earum vnamquamque deſcribāt. Philoſophiæ itaque & maieſtatis plenus habitus, & procera corporis ſtatura & veſtibus decens. Quo quidē cultu etiam virtutes Philoſophiæ contubernales ac ſocias repręſentare pictores ſolent. Crines neque ſparſim neglecti, atque errantes, neq; comendi lenocinio in cirros contorti, ſed medio quodam ornatu, qui ad modeſtiam ſit, & elegantiam compoſitus. Nam Philoſophia natiuam habens pulchritudinem tantam, quāta verbis explicari non poteſt, quicquid adſcititium ac fucatum eſt, repudiat, ac reiicit. Quare neque oculos depingit, neque emētitus rubor genas illius inficit: ſed modeſtiæ plenus citra artem toto ex vultu effloreſcit. Aſpectus ipſe verecundiam pręferens, ita vt eam in contuentes adeo ipſos transfundat. Iā enim quibuſdā, vel ſolus Deæ iſtius aſpectus ſatis fuit, vitam vt ſuam ad modeſtiam componerent. Polemo quidem ille Atticus, qui in comeſſationibus, ac tibiis, atque ebrietate, plurimū antea per luxum ac laſciuiam verſari ſolitus eſſet, cum ad Xenocratis contubernalem Philoſophiam oculos adieciſſet, tibię illę extēplo omnes euanuerunt; comeſſationéſque, & vagus atque impudicus amor, Polemonis animo excidentes, contemptui deinceps fuerunt. Pro quibus caſtiſſimo Philoſophiæ amore ſuſcepto, eò vſq; inſatiabili animi cupiditate peruenit, vt etiā Deæ illius ſacris initiaretur. Rhetoricæ porro (planè enim eius quoque imaginem expetitis) generoſa quidem ipſa eſt, ac pulcherrima ſpecies, ſed natura tamen minimè contenta eſt, quin ornatu etiam extrinſecus arceſſito gaudet. Proinde plurimum de varia illa venuſtate corpori illius obtēditur. Ac Theatris etiam Gręcis mirum in modum exultat: & pueros iam inde à teneris annis prodire in publicū aſſuefacit. At illi adeo Parentis ſuæ germani ſunt, itáque choreis capiuntur, ſæpe vt, cum matribus perſuaſerint, ſecúmque inuicem permixti fuerint, vnum quendam chorum admirabilem ac Muſarum ſimilem tēperatione perficiant. Sin autem ſeparati à ſe inuicem, choreas inſtituant,

à ſe mutuo & accipiunt & inferunt detrimentum. Cúmque Philoſophiæ liberorum chorus grauitatis plenus, voluptatis ac gratiæ ſit omnis expers, contrà iſte nullis modeſtiæ frænis coercitus, ſæpe in inconditam atque ab omni elegantia remotam perturbationem erumpit. Quare is demum præſtantiſſimus omnium chorus eſt, in quo iuncti inuicem ſociatique fratres voluptatem vnà cum moderatione permiſcent; cuiuſmodi ſeſe vobis inſtituturos perpetuò confirmant. Viciſſim autem pro eo ſtudio à vobis poſtulant non aurum neque gloriam: non enim auri cupidi, aut ambitioſi ſunt: ſed veræ humanitatis affectum, mutuumque erga ſe amorem, ac beneuolentiam. Nunc enim fidem mihi nondum adhibent, nec ſe putant à vobis ſimili affectu diligi. Quin me inſuper ſermonem apud vos quemdam inſtituere iubent, quem ego oppidò antiquum & ſtudio non indignum proferam. Fabulandi enim neſcio quo modo cupidum genus noſtrum eſt, & garrire ſæpius videmur, quòd vetuſtarum narrationum plus æquo auidi atque inſatiabiles ſimus. Olim igitur cum amorem peperiſſet Venus, cætera quidem formoſus & parente ſua dignus videbatur; hoc vnum deerat, quòd in iuſtam ac pulchritudini congruentem ſtaturam non excreſceret, neque augeſceret corpus, ſed diu qualis editus fuerat, permaneret. In hac tanta nouitate rei cum & Mater, & nutrices infantis Gratiæ quid agerẽt neſcirent, Themidem adeuntes (nondum enim Apollo Delphos obtinebat) orabant exitum vt aliquem puero tam inauditæ támque inuſitatę calamitatis oſtẽderet. At illa: Ego, inquit, vos ea anxietate ac moleſtia liberabo: nondum enim naturam noſtis infantis. Tuus ille, Venus, amor germanus ac ſyncerus vtcumque naſci ſolus poteſt, creſcere ſolus non poteſt: ſed Anterote tibi opus eſt, ſi Erotem cupis creſcere. Natura autem hæc amborum fratrum erit; mutuo alter alteri incrementi cauſa erit, cum enim ſeſe inuicem aſpexerint, æqualiter adoleſcent, ſin alteruter deerit, ambo minuentur. Sic Anterotem Venus parturit, ſtatimque gliſcere Eros cœpit, & pennas

ζημιοῦνταί τε ὑπ' ἀλλήλων καὶ ζημιοῦσιν ἀλλήλους τὰ ἴσα. καὶ ὁ μὲν τῶν φιλοσοφίας παίδων χορὸς σεμνότητος γέμων, ἡδονῆς καὶ χάριτος ἄμοιρος· ὁ δὲ, ἀχαλίνωτος ὢν κοσμιότητι, πολλάκις καὶ εἰς ἀταξίαν ἄμουσον ἐκβακχεύεται. κάλλιστος δὴ χορῶν ἐκεῖνος, ὅταν ἀλλήλοις συναφθέντες οἱ ἀδελφοὶ ἡδονὴν εἰς τὸν χορὸν καὶ κοσμιότητα μίξωσιν, οὓς δὴ καὶ ὑμῖν στῆσαι συνεχῶς ἐπαγγέλλονται· αἰτοῦσι δὲ ὑμᾶς ἀντὶ ταύτης τῆς προθυμίας οὐ χρυσὸν οὔτε δόξαν, οὔτε φιλόχρυσοι εἰσὶν οὔτε φιλότιμοι, ἀλλὰ φιλανθρωπίαν ἀληθινὴν καὶ ἴσον ἔρωτα. νῦν γὰρ ἔτι μοι ἀπειθοῦσι, καὶ οὐκ οἴονται παρ' ὑμῶν κατὰ τὸ ὅμοιον ἀντερᾶσθαι. ἀλλά με εἰπεῖν τινα λόγον κελεύουσιν ὑμῖν, ὃν ἐγὼ λέξω μάλα ἀρχαῖον ὄντα καὶ σπουδῆς ἄξιον. φιλόμυθόν τε γάρ πως γένος ἐστὶ τὸ ἡμέτερον, ἀδολεσχεῖν τε τὰ πολλὰ δοκοῦμεν, ἀκρατῶς τε καὶ ἀκορέστως ἔχοντες τῶν παλαιῶν λόγων. ὅτε τὸν ἔρωτα ἐγέννησεν ἡ Αφροδίτη, τὰ μὲν ἄλλα καλός τε ἦν ὁ παῖς, καὶ τῇ γεννησάσῃ προσήκων· ἀτὰρ οὐκ ηὔξετό γε εἰς μέγεθος τῷ κάλλει πρέπον, οὐδὲ ἐπεδίδου τὸ σῶμα, ἀλλ' ἔμενεν πολὺν δὴ χρόνον οἷος ἐτέχθη. ἠπορεῖτο οὖν πρὸς τὸ πρᾶγμα ἥ τε μήτηρ καὶ αἱ τροφοὶ τοῦ βρέφους αἱ Χάριτες· καὶ φοιτῶσαι πρὸς τὴν Θέμιν, (οὔπω γὰρ εἶχε Δελφοὺς ὁ Απόλλων) ἐδέοντο λύσιν τινὰ ἐξευρεῖν τῷ παιδὶ τῆς ἀτόπου καὶ θαυμαστῆς συμφορᾶς. εἶπεν οὖν ἡ Θέμις, Αλλ' ἐγὼ, ἔφη, παύσω ὑμᾶς ἀπορουμένας. νῦν γὰρ οὔπω ἴστε τὴν φύσιν τοῦ βρέφους. ὁ Ερως ὁ σὸς ὁ ἀληθινὸς, ὦ Αφροδίτη, τεχθείη μὲν ἂν ἴσως καὶ μόνος, αὐξηθείη δ' ἂν οὐδαμῶς μόνος· ἀλλά σοι δεῖ καὶ Αντέρωτος, εἰ βούλει τὸν Ερωτα αὐξηθῆναι. ἔσται δὲ αὕτη φύσις τις δὲ τοῖς ἀδελφοῖς· ἀλλήλοις αἴτιοι τῆς αὔξης ἄμφω γενήσονται. ὁρῶντες μὲν γὰρ ἀλλήλους ἴσα βλαστήσουσι· θατέρου δὲ ἀπολειφθέντος, ἄμφω μειώσονται. οὕτω δὴ κύει τὸν Αντέρωτα ἡ Αφροδίτη· καὶ ἀνέδραμέ τε παραχρῆμα ὁ Ερως.

καὶ τὰ πτερὰ ἔφυσε, καὶ ὑψηλὸς ἦν· ἅτε δὴ ἐν τοιαύτῃ τύχῃ καθεστηκώς, ἄτοπα ὑπομένει πάθη πολλάκις, καὶ τοτὲ μὲν θάλλει, τοτὲ δὲ φθίνει· πάλιν δὲ αὔξεται, δεῖται δὲ ἀεὶ τἀδελφοῦ συνόντος· καὶ μέγαν μὲν ἐκεῖνον ὁρῶν, μείζων φαίνεσθαι φιλονεικεῖ· σμικρὸν δὲ καὶ ὀλίγον φωράσας, πολλάκις οὐδὲ ἐθέλων ἀπομαραίνεται. οἴεσθε οὖν τί με ἴσως σεμνὸν εἰρηκέναι· ἐγὼ δὲ λέγω ὅτι τῶν λόγων αὐτερᾶν ἀνάγκη τοῖς βουλομένοις τοὺς λόγους αὔξειν καὶ τὸν ἔρωτα αὐτόν. τῷ τοι καὶ ἐλπίσας ἐγώ, τὸν θεὸν ἐδεξάμην τε καὶ ἐνίδρυσα τῇ ψυχῇ· καὶ αὐτὸν οὐκ ἐθέλω ψεύσασθαι τῆς ὑποσχέσεως. ὑπεσχόμην δὲ εἰσοικιζομένῳ τὸ πρῶτον, αὐτίκα οἱ καὶ τὸν ἀδελφὸν συμπλέξεσθαι τοῖς παιδικοῖς ἐνοικήσοντα. ἢ τίνι με ἄλλῳ δοκεῖτε πρὸς τὸν πόθον ὑπάγεσθαι; πότερον τῇ παραδόξῳ ταύτῃ καὶ μακρᾷ θαλάττῃ; ἀλλ' οὐδὲν ἐμοὶ μᾶλλον προσήκει θαλαττουργίας ἢ τοῖς Ἀρκαδικοῖς στρατιώταις. ἢ τοῦ ποταμοῦ τοῦ Φρυγὸς τῇ φιλανθρωπίᾳ; ἀλλὰ καὶ τὸν Νεῖλον ἄγαμαι τὸν Αἰγύπτιον, οὐχ ὅτι ληΐων πατήρ, ἀλλ' ὅτι ῥεῖ διὰ τῶν σοφῶν Αἰγυπτίων. ἢ τῷ μετέχει ταυτησὶ τῆς προσοίκου λίμνης; διὰ τί οὖν οὐκ ἐπόθησα τὴν Μαιῶτιν λίμνην τὴν τῶν ἑξακισχιλίων σταδίων; ὅτι δὴ σφόδρα ἀμαθεῖς αὐτὴν οἰκοῦσι καὶ βάρβαροι. μεγάλα μὲν γὰρ καὶ ταῦτα τῶν ὑμετέρων. καὶ προσθείη γέ τις ἕτερα πλείω. τῶν τὰ τοιαῦτα τιμώντων, ἢ λουτρῶν τε ἀμήχανα κάλλη, καὶ θεάτρων καὶ ἱπποδρόμων. ἀτὰρ ὑμῖν γε ὦ φίλοι, (οὐδὲν γὰρ ὑμᾶς δέομαι ἀποκρύπτεσθαι, ἀλλ' ὅ,τι γε ἐστὶ τὸ κινῆσαν τὸν ἔρωτα) ἐπεὶ πρός γε τὰ τοιαῦτα μεγαλοψυχία τις οὐκ ἀγεννὴς καὶ πάτριος ἡμῖν ὑπάρχει, καὶ οὔτ' ἂν ἄνδρα ποτὲ ἀγαπήσαιμι ὅτῳ τὰ μὲν τῆς ψυχῆς ἀγαθὰ μὴ σφόδρα περιείη, τὰ δὲ ἔξωθεν περικέοιτο πολλὰ καὶ ποικίλα, (καθάπερ τῷ κολοιῷ περιτίθησιν ὁ μῦθος τὰ πτίλα, ἐν τῷ ἀγῶνι τοῦ κάλλους ἀλλότριον αὐτοῦ περιεργαζόμενος κόσμον χήτει οἰκείου καὶ ξυγγενοῦς).

& pennas producere, ac fieri grandior. Itaque tanquam ei ſorti ac conditioni obnoxius mirabiles ſæpe caſus varietatéſque ſuſtinet, modò vigens creſcénſque, aliàs marceſcens, rurſum incrementum capiens: ſed fratris perpetuo ſocietatem deſiderat: quem cum magnum animaduerterit, maior eſſe contendit: eundem vbi paruum ac contractum deprehenderit, ſæpenumero ipſe marcet, minuitúrque vel inuitus. Forſitan putetis grande aliquid & arcanum à me eſſe dictum. Ego vero hoc dico; iis qui doctrinas creſcere, ipſúmque amorem fieri grandiorem velint, neceſſario eaſdem illas eſſe redamandas. Ob id magna ſpe fretus, Deum illum excepi, atque in animo meo collocaui, nec promiſſi fidem fallere vllo modo ſtatui. Hoc autem tum primum introeunti ſum pollicitus ſtatim ei fratrem affuturum, qui in eorum, quos vnicè amarem, pectoribus reſideret. Nam qua tandem alia de cauſa putatis me in tantum veſtri deſiderium inductum? Num admirabili hoc & longiſſimo mari? Atqui ego nihilo magis quàm Arcadici milites Nauticam exercere ſcio. Num Phrygij humanitate fluminis? Atqui & Ægyptiũ Nilum diligo, non quia frugum parens, ſed quod per ſapientes Ægyptios fluat. Num vicinæ paludis magnitudine? Cur igitur Mæotidem Paludem ſex ſtadiorum millia patentem non adamaui? Quod nimirum vaſti illam & inculti homines accolãt & barbari. Sunt enim veſtra hæc magna fateor, pluráque his addi poſſunt ab eorum aliquo, qui eiuſmodi res magni faciunt; velut Balnearum, Theatrorum, ac Circorum incredibilis pulchritudo. Verum aliud quiddam eſt (optimi Ciues) neque enim celare vos cupio, quod cum in me amorem excitauit, quandoquidẽ aduerſus illa omnia generoſa quædam altitudo mentis in nos à Patre transfuſa eſt. Neque eum vnquam dilexerimus, qui cum animi dotibus non admodum ſit inſtructus, externorum bonorum & multorum & variorum copia redundet (non aliter quàm Gracculo fabula conquiſitas plumas affingit, qui de pulchritudine certamen ſuſcipiens, proprij cognatique penuria, alienum ſibi ornatum arceſſebat.)

Non ſi quidem ædes habitet Spartani Regis ædibus præſtantiores, aut aranearum telis ſubtiliori veſte induatur, (qualia Vulcani fuiſſe vincula Homerus teſtatur, quę cum videri non poſſent, adulteros nihilominus firmis ac validis nexibus conſtringunt) ac reliquo omni cultu ornatúque largiſſimè veſtiatur, ac denique talis ſit corporis ſpecie, qualem ego aliàs Perſarum cuiuſdam Regis effigiem Perſica in tabella videre me memini. Iuuenis quidam formoſus eſt regio in ſolio conſidens, Tiarã in capite gerens ex Hyacintho ac Smaragdo factam, eiuſdémque operis latiſſimum torquem, nec non purpurea læna auro diſtincta circumdatus. Tametſi igitur ea ſit alicuius ſpecies, nunquam tamen illum pictura præſtantiorem exiſtimabimus. Quanquam quid eſſe poteſt ingratius, quàm eum, qui anima præditus videatur, Pictorum operibus eſſe ſimillimum, quæ oculos quidem, velut ſpirantia ac mẽte prędita aperiunt omnibus, ſi vero rogare aliquid, ac percontari velis, cum grauitate quadam & maieſtate tacent? Quare eiuſmodi ego hominem nunquam ſtudio atque obſeruantia proſequar, neque Ciuitatem in qua Muſarum, & Mercurij, atque Apollinis templa ſine honore ſint, Theatra dumtaxat, & balneæ, ac miſellorum caballorum curricula in pretio habeantur: neque vos amplexi vnquam fuiſſemus, niſi virtutis ſtudio deditos cognoſceremus, ne ſi quidem anguſtior veſter ille ſinus eſſet ac purior. Neque ſi Sangarius pro frumento auri ramenta *** ſecundùm Socratem, cum vnius alicuius hominis, tum vniuerſæ ciuitatis eſt. Quemadmodum itaque hominem illum, opinor, bonũ appellamus, nõ qui agros multos multáſq; domos poſſideat, aut veſtium calceamentorúmque plurimùm, aut qui ex menſa opiparè inſtructa veſcatur, atquę aureis poculis bibat, ſed qui prudentia imprimis, ac mente valeat, & diſciplinis ſit addictus: Non abſimili opinor ratione & vrbem illam commendamus, nõ in qua venália quãplurima ſint, referto ac redundante foro: aut ebriorum hominum frequens turba, aut argenti aurique magna vis temere atq; inconditè ſuper mẽſas poſita,

οὐδ᾽ ἂν οἴκησιν μὲν οἰκοίη τοῦ Σπαρτιάτου βασιλέως ἀμεί-
νονος, ἀμφιέννοιτο δὲ λεπτότερα τῶν ἀραχνίων (οἷα τὰ Ἡφαί-
στου δεσμά φησιν Ὅμηρος, ἃ οὐχ ὁρώμενα, ὅμως δεῖ τοὺς ἀκο-
λάστους ἰσχυροῖς τισι καὶ ἀρρήκτοις δεσμοῖς) καὶ τὸν ἄλλον δὲ
πολὺν ἀμπέχοιτο κόσμον, καὶ τοιαύτην ἔχοι μορφὴν οἵαν
ἐγώ ποτε εἶδον Περσικὴν γραφὴν τῶν Περσικῶν τινὶ βασι-
λέων. νεανίσκος ἐστὶν ὡραῖος ἐπικαθήμενος θρόνῳ βασιλικῷ,
Τιάραν ἔχων Ὑακίνθου τε καὶ Σμαράγδου, καὶ στρεπτὸν περιοδ-
τον πλατὺν, καὶ χλαῖναν ἁλουργῆ τε καὶ χρυσόπαστον ἠμ-
φιεσμένος. ὅμως κἂν ταύτης τις αὐτὸν τῆς εἰκόνος, οὐ πάνυ
τιμιώτερον αὐτὸν τῆς γραφῆς ἡγησόμεθα. καίτοι τί ἂν γένοιτο
ἀηδέστερον ἢ μετέχειν δοκοῦντα ψυχῆς, τοῖς τῶν ζωγράφων
ἔργοις προσεοικέναι; ἃ βούλεται μὲν καὶ πᾶσιν ἀνοίγειν ἐθέλει
τοὺς ὀφθαλμοὺς, ὡς ζῶντα δὴ καὶ νοῦν ἔχοντα· ἂν δὲ ἀνερέσθαι
τι καὶ μαθεῖν σπουδάσῃς, μετὰ πολλῆς σεμνότητος ἡσυχάζει.
οὔτ᾽ οὖν ἄνδρα τὸν τοιόνδε διὰ σπουδῆς ἂν ἔχοιμέν ποτε, οὔτε
πόλιν ἐν ᾗ μὴ τίμια τὰ Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἀπόλλωνος
τεμένη, θέατρα δὲ καὶ βαλανεῖα, καὶ οἱ τῶν ἀθλίων ἱππα-
ρίων δρόμοι· οὔτε ἂν ὑμᾶς ποτε ἠσπασάμεθα, εἰ μή τι καὶ
ἀρετῆς μεταποιουμένους ἔγνωμεν· οὔτ᾽ εἰ πολλῷ στενότερος
ὑμῖν ὁ κόλπος ἦν ἅμα καὶ καθαρώτερος, οὔτ᾽ εἰ ὁ Σαγγάριος
ἀντὶ σίτου χρυσίου ψῆγμα *** κατὰ Σωκράτην, ἔστι μὲν ἀνδρὸς
ἑνός, ἔστι δὲ ὅλης πόλεως. ὥσπερ οὖν ἄνθρωπον, οἶμαι, σπου-
δαῖον λέγομεν, οὐ τὸν πολλοὺς μὲν ἀγροὺς, πολλὰς καὶ οἰκίας πε-
παμμένον, πολλὰ δὲ ἱμάτια καὶ ὑποδήματα, καὶ δειπνοῦντά
τε ἐκ πολυτελοῦς τραπέζης, καὶ πίνοντα ἀπὸ χρυσῶν ἐκπω-
μάτων, ἀλλ᾽ ὅστις νοῦν ἔχει πολὺν, καὶ παιδείας ἐπιμελεῖται. τὸν
αὐτὸν δὴ τρόπον καὶ πόλιν οὐκ ἐν ᾗ πολλὰ μὲν ὤνια τρυφώ-
σης ἀγορᾶς· πολὺς δὲ ἀνθρώπων μεθυόντων ὄχλος, πολὺ δὲ
ἀργύριον καὶ χρυσίον ἐπὶ τῶν τραπεζῶν εἰκῇ κείμενον,

πατέρων τε ἄκλειστοι πύλαι, καὶ ἵππων συνεχεῖς ἅμιλλαι τῶν εὐπολέμων, μᾶλλον δὲ πολεμοποιῶν ἀληθέστερον. οὐ γὰρ ἔνεστι τὴν τοιαύτην μὴ ὕπουλον εἶναι καὶ νοσεῖν ἐντεῦθεν· ἀλλ' ἐνίοτε μὲν αὐτῆς λανθάνει τὰ ὑποιδαίνοντα, καὶ σφόδρα δὴ εὐδαίμων δόξειε τοῖς τὰ φαινόμενα θεωμένοις, ἐνίοτε δὲ ἐκλάμψαντα καὶ ἐκραγέντα δίδωσιν αὐτῇ τὸ τοῦ Σοφοκλέους ἀκούειν οἰκείως, Πόλις δὲ ὁμοῦ μὲν θυμιαμάτων γέμει, Ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων. Ἀλλὰ Φωκυλίδης τά τε ἄλλα ἀληθῶς λέγει, καὶ ὅτι σμικρὰ πόλις μετὰ φρονήσεως ἐπὶ σκοπέλου κατοικοῦσα, κρείττων Νίνου ἀφραινούσης. ἐγὼ δὲ θέλω μὲν καὶ τὴν γῆν ὑμῶν καρποὺς ἀμείνους τῶν ἄλλων ἐκτρέφειν· περὶ πλείονος μέντοι ποιοῦμαι τὰς ψυχὰς ὑμῶν παιδείαν βλαστάνειν, ἣν ξυλλέγουσι μὲν ἐκ τῶν Ἀπόλλωνος λειμώνων αἱ Μοῦσαι, ψυχαῖς δὲ ἐρωτικαῖς καὶ φιλοκάλοις ἐννεοττεύουσί τε καὶ ἐνεργάζονται. αἳ δ' ἂν τὸ σμῆνος αὐτῶν εὐμενῶς προσδέξωνται, περιφρονοῦσί τε εὐθὺς, καὶ τὰ ἐν ποσὶν ἀτιμάσασαι περιπολοῦσι τὸν οὐρανόν. καὶ αὗταί εἰσιν ἃς Εὐελπίδης ὁ σοφὸς οὔτε πολιτῶν φησὶν ἐπὶ πημοσύνας, οὔτε εἰς ἀδίκους πράξιας ὁρμᾶν, ἀλλ' ἀθανάτου καθορᾶν φύσιος κόσμον ἀγήρων. τῷ γὰρ ὄντι παιδείας ἀληθινῆς μείλιχον καὶ ταπεινὸν καὶ πρᾷον τὸ ὄμμα, οἷον ἐν ζάλῃ κονιορτοῦ τε καὶ πνεύματος ἀποσκεπομένης τινὶ καρτερῷ τειχίῳ, μᾶλλον δὲ αὐτῆς ἀποσκεπούσης τοὺς ἑαυτῆς θιασώτας, καὶ φραγνυμένης ἕρκει παντὸς Ἀδάμαντος ἀρρηκτοτέρῳ, ὃ μήτε ὕβρεως ἰσχυρὰ προσβολὴ, μήτε ἡδονῆς δολερὰ μηχανήματα εὐπετῶς σαλεύσειεν ἄν. στέργει δὲ δυνάσται καὶ τύχης φορὰς ἀσταθμήτους. μόνον γὰρ τοῦτο τῶν τειχῶν ἀτεχνῶς Ἀπόλλωνος ἔργον. ἐκεῖνο δὲ οὐκ ἦν, οἶμαι, τὸ Τρωϊκόν. οὐ γὰρ ἂν ἥλω ῥᾳδίως ἐκ μικρᾶς ἀπάτης. μὴ λεγέτω οὖν ἡμῖν Ὅμηρος

aut Theatrorum apertę perpetuo fores, atque equorum ad bellum idoneorum, ſeu bella potius concitantium aſſidua certamina. Fieri enim non poteſt vt non eiuſmodi ciuitas latens aliquod vlcus foueat, atque inteſtino morbo laboret; ſed nonnunquam tumidæ inflatæq; partes latēt; vt iis qui ea dumtaxat quæ apparent, intuentur, felix eſſe videatur: nonnumquam vero prodeuntes atque erumpētes faciunt vti meritò in eam Sophoclis illud conueniat,

Vrbs porro plena pariter eſt ſuffitibus,
Clamoribúſque pariter, & ſuſpiriis.

Phocylides vero cum cætera omnia, tum illud verè dixit, vrbem cum prudentia, in ſcopulo ſitam, Nini oppido prudentia deſtituto antecellere. Equidem Tellurem veſtram cupio prǽſtantiores vobis fructus cæteris omnibus proferre: pluris tamen facio animos veſtros diſciplinæ ac ſcientię germen edere, quam ex Apollinis pratis colligunt Muſæ, & in animis eorum operātur ac nidificant qui in amorem ſunt honeſtarúmque rerum ſtudium propenſi. At illi, ſi earum examen benignè atque humaniter exceperint, alas producunt illicò, iiſque quæ ante pedes ſunt contemptis, cœlum ipſum obeūt, ac percurrunt: ſúntque ex eorum numero quos Euripides ille ſapiens ait:

Non damna ſuis ciuibus vnquam
Struere, aut facinus perſequi iniquum,
Sed perpetuæ naturæ decus,
Expers ſenij cernere.

Re vera enim ſinceræ diſciplinæ benignus eſt ac demiſſus & mitis aſpectus, quę velvt in pulueris ventíque turbine firmiſſimo muro protegitur; vel ſuos ipſa potius aſſeclas protegit, atque adamante omni validiore munimento, quod nec acri contumeliarum atque iniuriarum impreſſione neque doloſis voluptatis machinis facilè quati aut labefactari poſſit, & incertos ac temerarios impetus Fortunę ſuſtineat. Solus enim hic murus verè ab Apolline fabricatus eſt, non ille, quantum arbitror, Troianus: nam non adeo facilè eſſet exigua fraude captus. Quamobrem hoc nobis Homerus prædicare deſinat,

Apollinem ac Neptunum Laomedonti operam ſuam locantes, illum muris ac turribus cinxiſſe, neque, vbi aqua & igni peractum opus eſt, fraudatum mercede ſua Deorum ſeruitium mentiatur. Hæc enim poëtico more ſcitè elegantérque fingenti pueri quidem aſſentientur, ac mẽtem adiicient: Nos autem apud illum ea magis probamus, in quibus Græcorum Regem decem à Diis homines poſtulantẽ inducit, non bellicoſos, cuiuſmodi Achilles fuit, ſed conſiliarios Neſtoris ſimiles, qui extrema iam in ſenectute erat, penitúſque ad dimicandum inutilis. Quem vſque eò ingraueſcens ætas oppreſſerat, ægre vt helciarium lorum abſcinderet. Nimirum Prudentiam is robori anteferebat, & pręclarè inſtitutum atque eruditum fuiſſe, quàm optimo loco natum eſſe, præſtantius putabat. Atque ita ſanè omnia Neſtor illi dicta factáque ſua hoc digna voto exhibet. Contrà vero generoſus ille, ac fraxineam haſtam quatiens Achilles, ille immortalibus equis vectus, trium ac viginti vrbium euerſor, quòd adhuc inſtitutio ei ac diſciplina deerat, nullo modo Phœnicem audiebat. Quinetiam ob captiuam puellam eiulat, & ob amici neceſſarium obitum humi pręimpatientia volutatur: atque illius velvt furioſi violenter alij manus cohibent: idémque cadauer permutat auro, & accepta mercede conciliatur, aliáque peccat quamplurima. Quibus omnibus id Poëta declarare voluit, neque corporis robur, neque celeritatem pedum, nec eximiam pulchritudinem ei, qui iſtis dotibus citra prudentiam ſit præditus, multum vtilitatis afferre. Verum magnifica illa ſpecioſáque, ſi quidem exornentur diſciplina, non omnino reiicienda videantur; ſin eius præſidio careant, inſigniorem improbitatem efficiunt. Quare neque in altero opere, alteróque Philoſopho, qui adeo fortiter ac conſtanter fortunæ reſiſtit, aliud Poëta ſignificare mihi videtur, niſi Prudentiam cæteráſque virtutes ad omnia inexpugnabiles atque inuictas eſſe: quarum quiſquis munimento firmiſſimè cinctus fuerit, non abiecto, inquit, animo, nec demiſſis oculis procedit: ſed

ὅτι Λαομέδοντι θητεύοντες Ἀπόλλων τε καὶ Ποσειδῶν ἐπυργώσαντο τὴν Ἴλιον, μηδ' ὅτε διὰ πυρὸς καὶ ὕδατος ἐξειργάσθη, καταψαλλέσθω δουλείαν ἄμισθον τῶν θεῶν. τὰ παιδία γὰρ αὐτῷ προσέξει τε καὶ πειθήσεται τῷ συνήσει κομψευομένῳ ποιητικῶς. ἀλλ' ἐκεῖνα αὐτοῦ μᾶλλον ἀποδεχόμεθα, ἐν οἷς πεποίηκε τὸν βασιλέα τῶν Ἀχαιῶν αἰτοῦντα οἱ παρὰ τῶν θεῶν δέκα γενέσθαι οὐ πολεμιστὰς οἷος Ἀχιλλεὺς, ἀλλὰ συμβούλους οἷος ὁ Νέστωρ ὁ πάνυ πρεσβύτης καὶ πρὸς τὰς μάχας ἀχρεῖος· ὃν οὕτω βαρύνεσθαι τῷ γήρᾳ φησὶν ὥστε καὶ σπάιον ἱμάντα διατεμεῖν μόλις. φρόνησιν γὰρ, οἶμαι, ῥώμης τιμιωτέραν ἡγεῖται, καὶ τὸ παιδευθῆναι καλῶς, τοῦ γεγενῆσθαι. οὕτω δὲ αὐτῷ ὁ μὲν Νέστωρ ἅπαντα καὶ λέγει καὶ πράττει τῆς εὐχῆς ἐπαξίως· ὁ δὲ γενναῖος Ἀχιλλεὺς, ὁ τὴν μελίαν ἐκείνην πάλλων, καὶ τοῖς ἀθανάτοις ἵπποις ὀχούμενος, καὶ τὰς τρεῖς καὶ εἴκοσιν ἐκπορθήσας πόλεις, ὅμως ἐπειδὴ παιδείας ἐνδεῶς εἶχεν ἔτι, οὐδὲν πάνυ προσῆκε τῷ Φοίνικι· ἀλλὰ κλάει μὲν δι' αἰχμάλωτον κόρην, κυλινδεῖται δὲ χαμαὶ δι' ἑταίρου θάνατον ἀναισχύντως· καὶ αὐτοῦ κατέχουσιν ἕτεροι πρὸς βίαν τὰς χεῖρας ὥσπερ μεμηνότος. νεκρὸν δὲ ἀπολύει χρυσίου, καὶ μισθοῦ διαλλάττεται, καὶ ἄλλα πλεῖω πεποίηται πλημμελῶν· ἐνδεικνυμένου τοῦ ποιητοῦ ὡς οὔτε γονέων ἐπιφανείας, οὔτε σώματος ῥώμης, οὔτε ποδῶν ὠκύτητος, οὔτε κάλλους ὑπερβολῆς ὄφελος μέγα τῷ κεκτημένῳ, δίχα φρονήσεως. ἀλλὰ τὰ λαμπρὰ ταῦτα καὶ σεμνὰ, παιδείας μὲν κατακοσμούσης, οὐ πάνυ τι ἂν ἄτιμα δόξειεν, αὐτὴ δὲ ταύτης ἐπιφανεστέραν ποιεῖ τὴν μαθητείαν. οὐκοῦν οὐδὲ ἐκ τῆς ἑτέρας ποιήσεως καὶ θατέρου τοῖν φιλοσόφοιν, οὕτω παρατεταγμένως καὶ καρτερῶς ἀμυνομένου τὴν τύχην, ἄλλο τι ἐμοὶ δοκεῖ λέγειν ὁ ποιητὴς ἢ ὅτι φρόνησις καὶ ἡ σύμπασα ἀρετὴ ἄμαχός ἐστι πρὸς ἅπαντα καὶ ἀήττητος, καὶ ὁ ταύτην ἰσχυρῶς περιβεβλημένος βαδίζει, φησὶν, οὐκ ἀγεννὲς, οὐδὲ κάτω βλέπων,

ἀλλ' ὡς ἐκεῖνος ἐβάδιζε πρὸς τὴν Ναυσικάαν, ἡνίκα γυμνὸς καὶ μόνος διαφυγὼν τὸν κλυδώνιον, ὅμως ἐπειδὴ τὸ ἀρετικὸν αὐτὸ ἱματίων ἠμφίεστο, ἐπῄει πρὸς τὴν θυγατέρα τοῦ βασιλέως, οὐ πτωχῷ, φησὶν, ἐναλίγκιος, οὐδὲ ἱκέτου ἐν σχήματι καταπεπληχότος· ἀλλά τινα ἄρρεν εἰκόνα, οἷα τῆς ἀρετῆς εἰκονογράφος,

Ἤϊεν ὥστε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς·

ἡ δὲ ἀλκὴ ἦν ἄρα ὁ λόγος, ὃν ἀφελέσθαι μόνον τὸ δαιμόνιον οὐκ ἐξίσχυσε, καίτοι τὰ χρήματά γε ἀφελόμενον, καὶ τὰς ναῦς, καὶ τοὺς στρατιώτας, καὶ νὴ Δία γε τὸν χιτῶνα τὸν τελευταῖον, ἐν οἷς οὐκ ἦν ἡ δύναμις ἡ Ὀδυσσέως. τῇ γοῦν ἀλκῇ ἐπεποίθει, καὶ ἐκείνων ἀπολωλότων.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΝ ἀξιώσαντα λέγειν ἐκ τοῦ παραχρῆμα.

ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

ΑΛΛ' εἰ καὶ σφόδρα ἦν σοφὸς ὁ Φειδίας ἐν χρυσῷ καὶ ἐλέφαντι μορφὴν ἐπιδείξασθαι θείαν ἢ ἀνθρωπίνην, ὅμως χρόνου γε ἐδεῖτο καὶ σχολῆς πλείονος εἰς τὰ ἔργα. λέγεται οὖν, ἡνίκα ἐδημιούργει τὴν Ἀθηνᾶν, οὐδὲ εἰς τὴν κρηπῖδα τῆς θεοῦ μόνην ὀλίγου χρόνου προσδεηθῆναι. εἰ οὖν τις αὐτὸν αὐθημερὸν ἐκέλευσεν ἐπιδείξασθαι τὴν τέχνην, τί ἂν ἔδρασεν; ἢ πῶς ἐπείσθη τῷ ἐπιτάγματι ἄν; σκόπει δῆτα εἰ καλῶς ἂν πρὸς τὸν ἐραστὴν ἀπεκρίνατο ὅτι, ὦ χρηστὲ καὶ τῶν ἐμῶν ἔργων φιλοθεάμον, εἰ μὴ συγχωρεῖς μηδὲ ἐπιτρέπεις καιρὸν ὥστε καινόν τι καὶ νέον δημιουργῆσαι, σὺ δὲ ἐπίσκεψαι τὴν Ἀθηνᾶν τὴν ἐν τῇ πόλει, ἢ τὸν Δία τὸν Ὀλυμπίασι, καί σοι ταῦτα ἀποχρήσει πρὸς τὸν Φειδίαν θαυμάσαι. κἄγωγε, ὦ μακάριοι,

ſed quemadmodum obuiam ille Nauſicaæ prodibat, cum nudus ſolúſque è tempeſtate ereptus, pro eo quod virtute pro veſtimētis erat obuolutus, obuiam Regis filiæ contendit, non mendici, ait, ſimilis, nec demiſſi abiectique in ſpecie ſupplicis, ſed tanquam virtutis effictor aliam eius rei imaginem excogitauit:

Montanus properauit vti Leo robore fretus.

Robur autem nihil aliud quàm eloquendi facultas fuit, quam vnam auferre caſus non potuit, tametſi & opes omnes, & claſſem, & milites, ac poſtremo denique tunicam etiam ipſam abſtuliſſet; in quibus nequaquam vis erat Vlyſſis poſita. Quare etiam iis amiſſis, ac profligatis, ſuo nihilominus robore confidebat.

AD EVM A QVO ERAT VT EX tempore diceret, rogatus.

ORATIO VIII.

ATQVI etiamſi ad exprimendam auro, atque ebore Dei aut hominis effigiem peritus eſſet admodum Phidias, temporis nihilominus otijque abundantiam ad opera perficienda requirebat. Sic igitur ferunt; cum is Mineruæ ſimulacrum effingeret, in vnam baſim ac crepidinem non parum inſumpſiſſe temporis. Quod ſi quis eodem illum die iuſſiſſet artis ſuæ ſpecimen exhibere, quid demum faceret aut quomodo imperanti morem gereret? Vide itaque quàm bene hunc fere in modum amatori ſuo reſpondiſſet: Tu quidem bone vir, operúmque noſtrorum ſpectandorum cupide, niſi mihi quantum ſat eſt ſpatij, permittas, nouum vt aliquod, ac recens opus perficiam, agedum Mineruæ ſimulacrum, quod in vrbe eſt, aut Iouis apud Olympios, intuere, ſatis ſuperque illa tibi ad Phidiæ admirationem fuerint. Ego vero (Auditores Optimi,)

Amatorem quoque meum, quando & is ita videtur affe-ctus, vt hodierna die opus aliquod meum efflagitet, libenter hortarer priùs vt aliquod ex iis quæ iam à me fabricata ſunt, inſpiciat. Neque enim, arbitror, ad locum aliquem, vbi opera ipſa collocata ſint, neceſſe erit pergere. Quippe artis meæ ſimulacra mecum ipſe circumfero, quę cùm vno in loco fingantur, cum ipſo tamen artifice quolibet euagantur. Sed hoc vnum mihi quæſo concedito: ſine me iuſto aliquo temporis ſpatio imaginem tuam exprimere. Non enim tam peritus tantáque facultate præditus ſum, vt è re nata, ac tumultuaria opera picturas perficiam, quod miſelli Sophiſtæ aſſolent. Sed neque Magiſtratum omnem exprimere poſſum, verùm illum dumtaxat qui eam tabulam parauerit, quæ cum effigie ipſa iuſtitiam capiat, cum potentia clementiam, ac multorum inſuper aliorum tam Deorum quàm bonorum Dæmonum multitudinem, quam è Socratis diſciplinà pictoribus fas ſit deſcribere. Itaque rarum mihi, nec adeo frequēs opus iſtud eſt, vt pote cuius admodum pauca hábeam Archetypa. Quam vero tu mihi tabulam affixam proponis, pulchra illa, & magna eſt, nec in anguſtiis pictura noſtra verſabitur. Verum ad dexteram quidem legem ſtatuam, quæ te à puerilibus annis educauit, tibique nunc eadem aſſidet. Altera ex parte Iuſtitiam, quæ te vtinam nunquam relinquat! Præter has alium inſuper chorum appingam, quem mihi exemplar ipſum monſtrauerit: & vero monſtrabit haud dubiè, adeo vt non deſint quę præcipua ſunt. In præſentia vero quoniam tantum mihi otij non ſuppetit, aliquid tibi ex reconditis proferendum eſt. Omnino enim orationum pulchritudo non talis eſt, vt in nouis recénſque editis vigeat; in vetuſtis marceſcat: ſed qualeſcumque tandem fuerint initio conſtitutæ, tales in omne tempus perſeuerant.

τὸν ἐμὸν ἐραστὴν, ἐπειδή μοι καὶ αὐτὸς οὕτως ἔχειν δοκεῖς ὡς καὶ τήμερόν τί μου ποθεῖν δημιούργημα, παρακαλέσαιμ' ἂν παριδεῖν τι τῶν εἰργασμένων. οὐδὲν γὰρ δεήσει, οἶμαι, βαδίζειν εἰς τὸ τοῦ ἔργου· φέρω γὰρ ἐν ἐμαυτῷ τὰ τῆς ἐμῆς τέχνης ἀγάλματα, ἃ δημιουργεῖται μὲν καθ' ἕνα τόπον, συμπερίεισι δὲ ἁπανταχόσε τῷ τεχνίτῃ. τοσόνδε μέντοι μοι χάρισαι, ἔασόν με κατὰ χρόνον ἐργάσασθαι τὴν σὴν εἰκόνα. οὐ γὰρ οὕτως εἰμὶ σοφὸς οὐδὲ εὔπορος ὥστε αὐτοσχεδιάζειν ὥσπερ ἔτυχε τὰς γραφὰς, καθάπερ οἱ δαιμόνιοι σοφισταί. ἀλλ' οὐδὲ ἅπαντα γράφειν ἄρχοντα δύναμαι, ἀλλ' ὃς ἄν μοι τόνδε τὸν πίνακα εὐπρεπίσειεν, ὃς χωρήσει μὲν δικαιοσύνην μετὰ τῆς εἰκόνος. χωρήσει δὲ πραότητα μετ' ἐξουσίας, πολλῶν τε ἄλλων θεῶν καὶ δαιμόνων ἀγαθῶν ὅμιλον, ὃν διαγράφειν θέμις τοῖς ἀπὸ Σωκράτους γραφεῦσιν. οὐ σφόδρα πω μοι συνήθες τὸ ἔργον, ἅτε δὴ σφόδρα ὀλίγων εὐποροῦντι τῶν ἀρχετύπων. ὃν δὲ σύ μοι πίνακα πήγνυσαι, καλός τέ ἐστι καὶ μέγας, καὶ οὐ στενοχωρήσεται ἡ γραφή. ἀλλὰ στήσωμεν ἐπὶ δεξιὰ τὸν νόμον ὃς παιδευθέντα σε ἐθρέψατο καὶ νῦν συνθακεῖ· στήσω δὲ ἐπὶ θάτερα τὴν δίκην, ἥ σε μήποτε ἀπολείψοι. καὶ δὴ καὶ τὸν ἄλλον χορὸν, ὃν ἄν μοι τὸ παράδειγμα ὑποδεικνύοι· ὑποδείξει δὲ εὖ οἶδα, ὥστε μὴ ἐπιλείπειν τὰ χρεία. νῦν δὲ, οὐ γάρ μοι τοσαύτη σχολὴ, παρασχετέον τι σοὶ τῶν ἀποθέτων. πάντως οὐκ ἔστι τὸ λόγων κάλλος οἷον ἀρτιτόκοις μὲν ἴσμεν ἐπανθεῖν, πρεσβυτέρων δὲ ἀπομαραίνεσθαι, ἀλλ' οἷοί περ ἂν ἐξ ἀρχῆς τεθῶσι, τοιοῦτοι καὶ τὸν ἅπαντα μένουσι χρόνον.

ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΩΝ ἠτυχηκότων ἐπὶ Οὐάλεντος.

ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ.

ΟΙΜΑΙ σε θαυμάζειν, ὦ βασιλεῦ, τί δή ποτε οὐ παραχρῆμα ἐπὶ τῇ Νίκῃ καὶ ἐφεξῆς τοῖς πεπραγμένοις τὸ παρὰ τῶν λόγων τοῖς ἔργοις χαριστήριον προσενήνοχα· ἀλλὰ τοσοῦτον χρόνον διαλιπὼν δόξαιμ' ἂν ἴσως ἀπολυτᾶν ὑπερήμερος τοῖς τὰς μνᾶς ὥσπερ δανείσματα λογιζομένοις, μηκέτι δὲ ἐνθυμουμένοις ὅτι τὰ εἰς φιλοσοφίαν ὀφλήματα βραδύτερον ἐκτιννύντας, οὐδὲν θαυμαστὸν τοῦ καιροῦ μᾶλλον τυγχάνειν τῶν λίαν ἐσπουδακότων· καὶ δὴ τοῦτο αὐτὸ πρῶτον δεῖ σοφώτερον καταστῆσαι, ὅτι βέλτιον διαλύει τὸ χρέος ὁ λόγος εἰς τὸν παρόντα χρόνον ἀναβαλλόμενος, ἢ εἰ τῶν πραγμάτων εὐθὺς κατηπείχθη. μικρὸν δὲ ἄνωθεν. πρέπει γάρ, οἶμαι, κατὰ τὴν Θηβαίαν λύραν, τοῦ λόγου θέσθαι πρόσωπον τηλαυγές. δύο εἰσὶν ἀρχαί, φιλανθρωπότατε αὐτοκράτορ, διακυβερνῶσαι τὸν βίον, ὡς ἔπος εἰπεῖν, τὸν ἀνθρώπινον· ὧν ἡ μὲν ἐξήρτηται τῆς ἡμετέρας κρίσεως καὶ ὁρμῆς, ἡ δὲ ἐκ τῶν ἔξωθεν αἰωρεῖται. καὶ τῆς μὲν ἡμεῖς κύριοί τε καὶ αὐτοκράτορες, καὶ τὸ εὖ ἢ κακῶς παρ' ἡμᾶς ἐπὶ ταύτης ἐστί· τὴν δὲ ἐνείμαντο πλείους ἡγεμονίαι. ἢ γὰρ πρόνοια τοῦ κρείττονος, ἢ ἀνάγκη, ἢ τὸ αὐτόματον τὰς ἔξωθεν ἡμῖν αἰτίας ἐπιτροπεύουσιν. ἀγαθοὶ μὲν οὖν καὶ μοχθηροί, καὶ ἐπαίνων ἄξιοι, καὶ τοὔμπαλιν κατηγορίας κατ' ἐκείνην ἐσμὲν τὴν μερίδα τὴν ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἧς ταυτὶ πάντα ὁρμητήρια· εὐτυχεῖς δὲ ἢ κακοδαίμονες καὶ μακάριοι, ἢ τοὐναντίον, διὰ τὰς ἔξωθεν ἐπιτροπείας. εἰς ταύτας, ὦ βασιλεῦ,

DE HIS QVI VALENTE IMPERANTE IN CALAMITATEM INCIDERUNT.

ORATIO IX.

MIRVM tibi videri arbitror (Imperator) quid tandem cauſæ ſit quod non illico ſecundùm victoriam, réſque à te geſtas ampliſſimas, tibi oratione mea gratias habuerim. Verum ego tanto interuallo iis forſitan iuſtum ac legitimum tempus ſupergreſſus videbor, qui velvt in fœnore menſes computant, non illud animaduertunt, eos qui Philoſophiæ nomina tardiùs diſſoluunt, nequaquam mirum eſſe ſi oportunitati temporis non minus reſpondeant, quàm qui maturè admodum id agere ſtuduerunt. In quo quidem manifeſtius illud ante omnia conſtituendum eſt, dilatam in præſens tempus Orationem debitioni noſtræ commodiùs ſatisfacere, quàm ſi ſtatim à rebus geſtis feſtinanter eſſet ſuſcepta. Verum paulo altiùs quod dico repetendum eſt. Duo ſunt (Imperator humaniſſime) Principia quibus hominũ, vt ita dicam, vita gubernatur. Horum aliud ex iudicio voluntatéque noſtra aptum, atque ſuſpenſum eſt, aliud ex rebus externis dependet. Huius domini ſumus ac liberam poteſtatem habemus, idque quod in eo bonum aut malum cernitur, à nobis ipſis proficiſcitur: illud in plures dominatus eſt diſtributum. Nam aut diuina Prouidentia, aut neceſſitas, aut caſus ipſe externas nobis cauſas tractat atque moderatur. Quamobrem boni, malíne, vel laude & prædicatione, vel è contrario vituperatione digni ſecundùm illam animi noſtri partem ſumus, cuius illa ſunt omnia velvt arces ac receptacula quædam, ex quibus ad agendum erumpit. Sed felices, aut infelices, fortunati, aut è contra miſeri, per externam adminiſtrationem efficimur. Cum igitur (Imperator)

humanas omnes actiones in ea Principia Philoſophia partiatur,ſiue naturę potius noſtrę partitionem ſequatur, tum in vnoquoq; quod à nobis editum videtur exemplo, diligenter conſiderat, vndénam id omne proficiſcatur, num ex interioribus,atque ex ditionis noſtræ poteſtatiſq; finibus proceſſerit, num aliquid eorũ quæ ſunt extra nos in eo quod geſtum eſt,dominationem teneat,ſit ne virtutis teſtimonium an felicitatis:vituperiúmne an miſerationem requirat. Et nunc ſi quis vnumquodq; eorum quæ à nobis geruntur inſpiciat,alterutrã ad partem aut ad vtrãque neceſſe eſt pertinere. Nonnunquam enim licèt plurimum à ſe inuicem diſtent,inter ſeſe temperantur. Cúmq; duo ſint tempora,in quæ actiones noſtræ diuiduntur,belli ſcilicet & pacis, hæc quidẽ magna ex parte in nobis eſt poſita,bellum vero etiam fortunam ſibi vendicare cernimus. Iam enim quibuſdam qui nihil ad obtinẽdam victoriam, fiduciæ ac ſpei certiſſimæ prętermiſiſſent,qui & virtute Imperatorum,& opum ac copiarum magnitudine,& æquiore belli cauſa freti eſſent,minimè cõſentaneus exitus reſpondit. Ita fit vt cum melioribus apparatibus cõſequens ac congruus euentus acciderit,dubiũ ſit vtrũ id fortunæ munere cõceſſum ſit,an ab eius qui vicit, ingenio ſit ac prudentia facinus profectum. Propterea itaque (humaniſſime Imperator) poſt tuam illam victoriam, qua ſuperioris tẽporis procellam ſedaſti, hactenus mihi quietem ac ſilentium imperaui,minimè illud ignorans, pleroſque eſſe qui laudum iſtarum partem aliquam ducerent ſuam. Nam vt externam cauſam omittam,eámque quæ propius authorem ipſum ſpectat Deum,à quo plerumque belli viciſſitudines,& quaſi momenta librantur: non modo Centuriones,aut Duces,atque Ordinũ Præfecti, ſed & armatorum militum quilibet atque Equitum, fundibularius etiam ac ſagittarius aliquid ſibi de victoriæ gloria atq; honore decerpunt. Nec Achillẽ ſolum apud Homerũ,ſed & ridiculũ illũ Therſitẽ captiuos ſibi vendicantẽ audimus. Quanquã ita dici de te poterat, vt licèt totũ ſoli tibi facinus tribueretur,nõ omnino ſubeſſet adulationis ſuſpicio.

Nam

ταῖς ἀρχαῖς φιλοσοφία τὰ ἀνθρώπινα ἔργα διελομένη πάν-
τα, μᾶλλον δὲ τῇ διαιρέσει τῆς φύσεως ἡμῶν ἀκολουθήσασα,
καὶ ἐφ᾽ ἑκάστου παραδείγματος περισκοπεῖν εἴωθεν ὧν πράτ-
τειν δοκοῦμεν, πόθεν ὁρμᾶται πᾶν, ἆρα ἔνδοθεν καὶ ἐκ τῶν
ὁρίων τῆς ἡμετέρας ἐπικρατείας, ἢ τι τῶν ἔξωθεν ἡμῶν κυ-
ριεύει τοῦ πεπραγμένου, πότερον ἀρετῆς μαρτύριον ἢ εὐ-
τυχίας, καὶ ψόγον ἢ οἶκτον μᾶλλον ἐπιζητεῖ. καὶ νῦν καὶ τῶν
ἡμετέρων ἔργων ἕκαστον ἐπισκοποῦντι ἔν τι τῆς ἑτέρας μερί-
δος χωρίον ἀμφοτέρων μετέχειν ἀνάγκη. ἔστι γὰρ ὅτε καὶ πόρ-
ρωθεν διεστῶτε καὶ ἀναμίγνυσθον, καὶ δυοῖν ὄντων καιρῶν εἰς
οὓς αἱ πράξεις ἡμῶν διαιροῦνται, πολέμου φημὶ καὶ εἰρή-
νης, τῆς μὲν ἐφ᾽ ἡμῖν τὰ πλείω, τοῦ δὲ πολέμου ὁρῶμεν καὶ
τὴν τύχην ἀμφισβητοῦσαν. ἤδη γάρ τισι καὶ μηδ᾽ ὁτιοῦν
παραλιποῦσι τῆς εἰς νίκην βεβαίας ἐλπίδος, ἀλλὰ καὶ στρα-
τηγῶν ἀρετῇ καὶ δυνάμεως περιουσίᾳ καὶ αὐτῇ τῇ τοῦ πολέ-
μου ἀφορμῇ νομιμωτέρᾳ χρωμένοις, τὸ τέλος ἀλλόκοτον
ἀπήντησεν. ὥστε καὶ ἡνίκα δὴ ἀκόλουθον ἐκβῇ ταῖς ἀμείνοσι
παρασκευαῖς, ἀμφίβολον εἶναι πότερον τῆς τύχης δῶρόν ἐστιν,
ἢ τῆς γνώμης κατόρθωμα τοῦ κρατήσαντος. διὰ ταῦτα τοί-
νυν, ὦ φιλανθρωπότατε αὐτοκράτορ, ἐπὶ μὲν τῇ νίκῃ τέως
ἦγον τὴν ἡσυχίαν, δι᾽ ἧς κατέστησας τὸν πρῴην χειμῶνα· εἰ-
δὼς ὅτι πολλοὶ τῶν ἐπαίνων τούτων ἀμφισβητοῦσι. χωρὶς γὰρ
τῆς ἔξωθεν καὶ δαιμονιωτέρας αἰτίας, ἢ τὰ πολλὰ ταῖς ἐν τοῖς
πολέμοις τροπὰς ταλαντεύει, οὐ μόνον λοχαγοὶ καὶ στρατηγοὶ
καὶ ταξίαρχοι, ἀλλὰ καὶ τῶν ὁπλιτῶν ἕκαστος καὶ τῶν ἱπ-
πέων καὶ σφενδονήτης καὶ τοξότης μεταποιεῖται τῆς ἐπὶ τῇ
νίκῃ φιλοτιμίας. καὶ οὐ μόνον Ἀχιλλέως ἀκούομεν ἀμφισβη-
τοῦντος παρ᾽ Ὁμήρῳ τῶν αἰχμαλώτων, ἀλλ᾽ ἤδη καὶ τοῦ γε-
λοίου Θερσίτου. καίτοι περὶ σοῦ λέγοντα ἦν καὶ ἐκ τοῦ μόνου
τὸ ὅλον ἔργον ποιούμενον, μὴ παντάπασι κολακεύειν δοκεῖν.

ὁ γὰρ πολλάκις ὥσπερ ἐν τροπῇ πνευμάτων τῆς κρίσεως τῶν πραγμάτων μεταβαλλούσης, καὶ οὐ μόνον τῶν πολλῶν τούτων στρατιωτῶν, πρὸς τὴν τοῦ μέλλοντος ἐλπίδα κραδαινομένων, ἀλλ' ἤδη καὶ τῶν ἐν σεμνοτέρῳ προσχήματι, ἐπὶ μιᾶς γνώμης μείνας ἀεὶ καὶ ἐπὶ τοῦ αὐτοῦ χρώματος, καὶ μήτε ἐπάρας μήτε ὑφεὶς τῆς φωνῆς, μόνος σὺ μάλιστα ἦσθα ὦ βασιλεῦ. καίτοι τίνα οὐκ ἂν ἐξέπληξε, καὶ λίαν ὄντα (καθ' Ὅμηρον) ταλασίφρονα, ὁ κατακλυσμὸς ἐκεῖνος καὶ ἡ ζάλη καὶ ἡ τρικυμία, ἀωρεὶ μὲν ἀρξαμένη, πολλὴ δὲ ἐν ὥρᾳ κατασκευασθεῖσα, ὅτε θεοῖς ἐχθρὸς ἄνθρωπος, ἐν ὑπογραφέως ἀεὶ μοίρᾳ διαβιούς, ἐκ τοῦ μέλανος καὶ τῆς καλαμίδος ἐτόλμησεν εἰς νοῦν ἐμβαλέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν, ὄλεθρος ἐξ ὀλέθρου, τυφὼν ἀτεχνῶς, ἐκ τοῦ Κιλικίου Κωρύκου, ἐκ τῶν πνιγέων ἀναδύς, καὶ μέτρον τὸ πανταχόθεν ἀδόκητον τῆς τόλμης ποιησάμενος ὁρμητήριον, ὑπὲρ τὸν Κρίξον, ὑπὲρ τὸν Σπάρτακον ἐθρασύνετο. καὶ γὰρ ἐκεῖνοι μαχαίρας ἁρπάξαντες ἐξ ὀπτανείου, καὶ τοῖς τῶν δημιοπρατῶν ὅπλοις ἐνσκευασάμενοι τῶν μονομαχούντων ἐν τοῖς σταδίοις, τὸ μὲν αὐτίκα γελοῖοι τοῦ σχήματος ἐνομίσθησαν, τῆς καινουργίας δὲ αὐτοῖς συναυξούσης τῆς ἐπισπωμένης ἀεὶ τὸν πολὺν συρφετόν, καὶ πρὸς τὰ ξένα, καὶ παράλογα κεχηνότα, τοὺς μὲν ὁμοίους συμπείσαντες, τοὺς ἀμείνους δὲ βιασάμενοι, ἐν ἀκαρεῖ φοβεροὶ κατέστησαν οὐ μόνον πρεσβύταις οὐδὲ στρατηγοῖς τῶν πάλαι Ῥωμαίων, ἀλλ' ἤδη καὶ ὑπάτοις καὶ αὐτοκράτορσιν. αἴτιον δὲ ἦν καὶ τηνικαῦτα οὐ δυεῖν οἰκοτρίβων ἀνδρία, ἀλλ' ἀλητήριοι συκοφάνται τε παλαμναῖοι προσαγωγεῖς, οἳ συναναγκάσαντες Ἰταλιώτας ἅπαντας ἀσμένως προσίεσθαι τῶν καθεστηκότων μεταβολήν. ὅθεν δὲ οὖν ἐξέδυν, ἐξῆν μὲν οἶμαι καὶ τῆς νίκης ταύτης σε μάλιστα αἰτιωμένους, τὸ πλὴν οὐ δοκεῖν λέγειν κεχαρισμένα. διὰ τοῦτο γάρ, ὡς ἔοικεν, ὁ συστρατηγῶν σοι θεὸς εἰς σὲ πανταχόθεν τὸ ἔργον περιωθῶν,

Nam qui ſæpius incerto adhuc & alternante rerum exitu velut in quadam conuerſione ventorum, nec vulgari ſolum hoc milite, ſed & ſplendidis inſuper ac illuſtribus viris ad futurorum ſpem concuſſis, in eadem animi conſtantia atque eodem vultu perſtiteris, ac neque ſuſtuleris vocem nec demiſeris, vnus tu maximè (Imperator) fuiſti. Quanquam quis adeo (vt cum Homero dicam) animi tolerans eſſe poteſt, quem non ſubita illa inundatio ac procella commotióque fluctuum perCelleret? quæ cum intempeſtiuè cœpta eſſet, tum ſuo poſtmodum tempore in immenſum excreuit? cum homo Diis inuiſus, qui in Scribæ ac Notarij perpetuò ſorte vixiſſet, ex atramento & calamo prodiens, Romani Imperij amplitudinem in animum inducere eſſet auſus: perditus ex perditis homũcio, quaſi violentus quidam turbo ex Cilicio Coryco, & fornacibus ac ſpeluncis emerſus. Qui cum ex improuiſa vndequaque ac repentina temeritatis audacia quaſi ex arce quadam erupiſſet, ſupra Crixum, ſupra Spartacum inſoleſcebat. Hi ſiquidem raptis è coquina gladiis, atque emptitiorum gladiatorum, qui in Amphitheatro decertare ſolent, armis inſtructi, tum quidem ex habitu ridiculi exiſtimati ſunt: ſed cum eos ipſa rei nouitas adauxiſſet, quæ colluuionem hominum nouis ſemper atq; inopinatis rebus inhiantem allicere ſolet, tum verò, quâ ſui ſimilibus perſuaſis, quâ coactis melioribus, non Legatis ſolum veterum Romanorum aut Prætoribus ſed & Conſulibus atque Imperatoribus momento formidoloſi fuerunt. Atque illo etiam tempore motus omnis ac tumultus cauſa non duorum vernarum virtus extitit, ſed perditiſſimi Sycophantæ, & emiſſarij execrandi qui eò Italos compulerunt, omnem vt rerum mutationem libenter admitterent. Sed vt eò redeam, vnde digreſſus fueram, licebat, opinor, te vnum autorem maximè victoriæ prædicantem non omnino hæc dixiſſe ad gratiam videri. Hæc enim, vt apparet, cauſa eſt cur is, qui tecum huius expeditionis ductor erat, Deus, cùm vndequaque omnem in te facinoris gloriam conferret,

non magnam victoriæ partem armis attribuerit. Etenim terribiles illi, atque ignem ſpirantes, illi, inquam, Mithridate ipſo moleſtiores, atque acerbiores Romanis, de Cyzico gloriantes, ſtatim vbi ad aſpectum tuum venerant, clypeos ſub alis tanquam furta celabant, homines nequam in ipſo ſcelere deprehenſi, noménque tuum armorum loco prætendebant: vt ſerò, ſic ægrè ad ſaniorem mentem reuocati. Quis ita ſuperueniens apud Homerum Deus, manúque percutiens nudare eum potuit, qui hactenus viciſſet, quemadmodum tu eminus conſpectus, plus XXX. ſtadiorum interiecto ſpatio, pudorem rebellibus intuliſti? irritatos leniſti? reluctantes ad obſequium reuocaſti, adeo vt obſequentiores illos faceres quàm vnquam antea extitiſſent? At ego huc vſque minus Herodoto hiſtorico credebam; ſeruos illos qui à Scythis defecerant, armatos ſeſe ſine armis venientibus dominis ſubdidiſſe. Verùm ne forte iterum à primo inſtituto longiùs aberret oratio; concedamus ſanè Ducibus, ac militibus, imo ſi lubet, piſtoribus, ac calonibus communem eſſe victoriam: Prorſus enim non contemnendas in ea re partes ſibi vendicarunt. Quid igitur ſpectabam? aut quodnam opus præſtolabar, quod tuum vnius & maximè tuum eſſet; nec ab vllo altero potius quàm à te profectum? Aut quæ tandem pręconia meditabar, quæ te ad vnum pertinere viderentur? Ea nempe ad quæ promerenda nec Legione nec equitatu opus eſt; ac mehercule ne ſtipatoribus quidem; cum eligere dumtaxat, ac velle ſufficiat. Non enim manuum opus eſt clementia, ſed animi ac voluntatis, in eo qui iram pro arbitrio condonare poſſit. Nec ſolus, vt videtur, Plato rationi ſimiles eſſe Principes, iræ milites aſſeuerat: ſed hoc inſuper Romanorum lingua, ac Reipub. inſtitutum vſurpans vtriſque conſentaneam virtutem appellatione ipſa declarauit, cum vos Pios ac Clementes nuncupari voluit, Militibus vero de ſola fortitudine nomen impoſuit. Quando & nunc ad

καὶ πάνυ μεγάλην ἀπένειμε τοῖς ὅπλοις μερίδα τοῦ κατορθώματος. ἀλλ' οἱ πῦρ πνέοντες, οἱ Μιθριδάτου χαλεπώτεροι Ῥωμαίοις, οἱ τὴν Κύζικον αὐχοῦντες, ἅμα τῷ γενέσθαι ἐντὸς τῶν σῶν ὀφθαλμῶν, ὑπὸ μάλης ἔκρυπτον τὰς ἀσπίδας, ὥσπερ φώρια κακοῦργοι καταληφθέντες ἐπαυτοφώρῳ, καὶ τοὔνομα ἀντὶ τῶν ὅπλων τὸ σὸν περιεβάλλοντο, ὀψὲ, σὺν πόνῳ δὲ σωφρονήσαντες. τίς οὕτω παρ' Ὁμήρῳ θεὸς ἐπιφανεὶς καὶ τῇ χειρὶ πλήξας, γυμνὸν ἐποίησε τὸν τέως νικῶντα, ὡς σὺ πόρρωθεν ὁρώμενος, πλεῖν ἢ τριάκοντα μεταξὺ σταδίων, κατήδεσας μὲν τοὺς αὐθάδεις, ἐπεγείρας δὲ τοὺς προξενουμένους, προσηγάγου δὲ τοὺς ἀποσκιρτῶντας, εὐπειθεστέρους δ' ἐποίησας ἢ πρότερον ἦσαν; πῶς δὲ ἠπίστουν ἐγὼ Ἡροδότῳ τῷ συγγραφεῖ, τοὺς ἀποστάντας οἰκέτας Σκυθῶν ὑποκύψαι μετὰ τῶν ὅπλων δίχα σιδήρου τοῖς δεσπόταις ἐπιφανεῖσιν. ἀλλ' ἵνα μὴ αὖθις ὁ λόγος τῆς προτέρας ὁρμῆς ἀπορρυῇ, τὴν μὲν νίκην εἶναι κοινὴν συγχωροῦμεν τοῖς στρατηγοῖς καὶ τοῖς στρατιώταις, εἰ δὲ βούλει, καὶ τοῖς σιτοποιοῖς καὶ τοῖς σκευοφόροις· πάντως οὐδὲ οὗτοι φαύλης μερίδος ἑαυτοὺς εἶναι ἐποιήσαντο. πρὸς τί τοίνυν ἀφεώρων, καὶ ποῖον ἔργον ἐκαραδόκουν, ὃ μόνου σοῦ καὶ μάλιστα σοῦ, καὶ οὐδενὸς ἑτέρου μᾶλλον ἢ σοῦ; καὶ ποίους ἐπαίνους διενοούμην, ὡς σοὶ μόνῳ φαινομένους προσήκοντας; πρὸς οὓς οὐ δεῖ σοι τῆς φάλαγγος, οὐδὲ τῶν ἱππέων, οὐδὲ ναὶ μὰ Δία τῶν δορυφόρων, καὶ ἐξαρκεῖ προελέσθαι καὶ βουληθῆναι. οὐ γάρ ἐστι χειρῶν ἔργον φιλανθρωπία, ἀλλὰ μόνης τῆς γνώμης τὴν ὀργὴν ἀφεῖναι κυρίαν. καὶ οὐ μόνος Πλάτων πρῶτος, ὡς ἔοικε, λόγῳ μὲν ἀπεικάζει τοὺς βασιλέας, θυμῷ δὲ τοὺς στρατιώτας· ἀλλὰ προλαβοῦσα ἡ Ῥωμαίων φωνὴ καὶ ὁ θεσμὸς τῆς πολιτείας τὴν ἑκατέροις πρέπουσαν ἀρετὴν ταῖς ἐπικλήσεσιν ἐνεδείξατο, ὑμᾶς μὲν εὐσεβεῖς καὶ φιλανθρώπους προσαγορεύων, τοῖς στρατιώταις δὲ ἐξ ἀνδρείας μόνης τὰς ἐπωνυμίας νομοθετήσας. ἐπεὶ καὶ νῦν

πρὸς μὲν τὸ κρατῆσαι τῶν πολεμίων ῥοπήν τινα συνεισή-
νεγκαν οἱ μεταφέροντές σοι τοῦ κινδύνου· τὸ δὲ περισῶσαι τοὺς
κρατηθέντας, τοῦ σοῦ μόνου πνεύματος ἤρτηται. δυοῖν τοίνυν
ὄντοιν τοῖν εἰρημένοιν, τοῦ τε νικᾶν καὶ τοῦ τῇ νίκῃ χρῆσθαι
δεόντως, καὶ τοῦ μὲν κοινοῦ πρὸς τὰ ὅπλα, τοῦ δὲ τῷ βα-
σιλεῖ μόνῳ προσήκοντος, οὕτω τὸ σὸν τιμιώτερον ὥστε καὶ ὁ
τοῦ κοινοῦ καρπὸς εἰς τὸ σὸν ἔργον περιίσταται. νίκης γὰρ ὄφε-
λος οὐδὲ ἐν τοῖς καλῶς αὐτὴν μὴ διενεγκοῦσιν, ἀλλὰ καὶ
τοὐναντίον πολλάκις εἰς βλάβην κατέστη τοῖς εὐτυχήσασιν.
καὶ τί ποτέ ἐστιν ἕτερον ἡ Καδμεία νίκη, ἢ ὅταν τινὲς ὑπὸ
τῆς νίκης ὥσπερ μέθης κατακλυσθέντες, ἀγνοήσωσι τὸ μέ-
τρον τῆς τοῦ κρατεῖν ἀπολαύσεως, καὶ τελευτήσῃ τὸ κέρδος
αὐτοῖς εἰς ζημίαν χαλεπωτέραν; οὕτω γὰρ αὐτοί τε ἔπρα-
ξαν οἱ τότε Καδμεῖοι, καὶ ὁ μετὰ ταῦτα χρόνος ἐνεπλήσθη
τοῦ παραδείγματος. ὀρθῶς ἄρα ὁ Θηβαῖος Ἐπαμινώνδας
μετὰ τὴν ἐν Λεύκτροις μάχην μόνος Θηβαίων ἐσκυθρωπα-
κὼς περιῄει· καὶ πρὸς τὸν ἐρόμενον τὴν αἰτίαν, Νῦν γάρ,
ἔφη, ἐμοὶ νήφειν καιρός, ὅτε τοὺς ἄλλους μεθύειν ἀνάγκη. καὶ
οὐδὲ χρήματα εἰσεπράξατο τοὺς αἰχμαλώτους, ἀλλὰ καὶ
τὸν ὑπασπιστὴν αἰσθόμενος τῆς φάλαγγος ἀπεσείσατο.
Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου πλείονος δόξης τοῦ νικᾶν αἴ-
τιον ἦν ἀεὶ τὸ μετριάζειν ἐπὶ ταῖς νίκαις. οὗ γε καὶ Πῶ-
ρον τὸν Ἰνδὸν οὐχ ὑφιέμενον ἐν τῇ μάχῃ, ἀλλ' ἄχρι τῶν
ἐσχάτων ἐγκαρτερήσαντα, παρεθέντα τε ὑπὸ πλήθους τραυ-
μάτων, ζῶντα λαβὼν, ἤρετο εὐθὺς ἐν τῷ μέσῳ, πῶς σοι
ὦ Πῶρε χρήσομαι, ἀποκριναμένου δὲ ὅτι βασιλικῶς, αὖ-
θις ἤρετο, πῶς καὶ ἑτέρως; τοῦ δὲ φήσαντος ἐν τῷ βασιλι-
κῶς πάντα εἶναι, οὐχ ἧττον ἠγάσθη τὸν ἄνδρα τῆς ἀποκρίσεως
ἢ τῶν τραυμάτων, γνοὺς ὅτι πάντα ἔνεστιν ἀτεχνῶς ἐν τῷ βα-
σιλικῶς ὧν ἐδεῖτο. ἐδεῖτο δὲ τὸ φιλανθρώπως, αἰδημόνως,

hoſtes quidem ſuperandos momentum aliquod attulere, qui eiuſdem tecum periculi participes fuerunt: ſeruare autem victos, ex nutu tuo ac voluntate dependet. Quamobrem cum duo à me commemorata ſint, quorum vnum in victoria, alterum in optimo victoriæ vſu poſitum eſt: cumque aliud cum armis commune ſit; aliud Principis ſolius pręcipuum: tanto id quod tuum eſt antecellit, vt communis etiam gloriæ fructus ad id quod priuatum eſt, ac tuum, referatur. Etenim nulla victoriæ vtilitas eſt iis qui non ea bene vſi fuerint, imo plerumque in eorum detrimentum ceſſit, qui feliciter alioqui eam obtinuiſſent. Nam quid aliud eſt Cadmea quæ dicitur victoria, niſi cum aliqui victoria tanquam ebrietate demerſi fruendi ea modum neſciunt, ita vt poſtremo lucrum ipſum in maius iis damnum ac perniciem redundet? Ita enim tum Cadmei illius temporis fecerunt, ac deinceps inſequens ætas iſtiuſmodi exemplo cumulauit. Merito itaque Thebanus ille Epaminondas poſt Leuctricum prælium ſolus ex Thebanis mœſtus ac triſtis incedebat: cauſamque iſtius rei ſciſcitanti, Nunc me (inquit) ſobrium atque experrectum eſſe conuenit, cum reliquos ebrios eſſe neceſſe eſt. Neque pecuniarum quicquam à captiuis exegit: quin etiam cum exegiſſe aliquid armigerum ſuum animaduertiſſet, è numero militum expunxit. Alexandro verò Philippi filio maiorem animi poſt victoriam moderatio, quàm victoria ipſa gloriam ac famam conciliauit. Qui cum aliquando Porum Indiæ Regem nequaquam fractum in pręlio ac remiſſum, ſed ad extremum vſque reſiſtentem, ac prę vulnerum multitudine confectum viuum cepiſſet, ſtatim coram omnibus interrogauit; Quomodo te (inquit) ô Pore tractabo? Cúmq; is, regaliter, reſpondiſſet, iterum percontatus eſt; at qua tandem alia ratione? illo vero reſpondente in ea voce contineri omnia, non minus de hac reſponſione, quàm de vulneribus ipſis hominem eſt demiratus: cũ illud agnouiſſet, reuera in eo quod regaliter tractaretur, quæ vellet, omnia cõprehendi. Cupiebat autẽ illum humaniter, verecundè,

benignè, ſuauiter, ac citra inuidiam in pręſenti felicitate perſiſtere, idque ante omnia animo ac memoria reputantem, quàm incerta eſſet atque inconſtans fortunæ viciſſitudo. Hæc enim omnia vno hoc verbo complectẽs & Porus petiit, & præſtitit Alexander; neque negare iſtud voluit, non enim poterat. Propterea quod qui ſe mortalium omnium Regem eſſe vellet, negare aliquid Regiè eſſe factur̃u, turpe erat, & ab ipſa Regis appellatione diſſentiẽs. Nam quid eo tandem Medico magis ridiculum eſſet, qui Medicè aliquid ægro facere detrectaret? aut Muſico, qui agere Muſicè quidpiam nollet? Quippe cuiuslibet, opinor, artificis actio ex præſcripto artis edita non alienũ illũ ab ea quam ſibi impoſuit appellatione declarat. Apparet igitur ſecundũ Porũ & Alexandrum idem eſſe Regaliter, ac magnificè, munificéque, & ita, vt accipiẽti gratũ ac iucundum accidat. Quoniam igitur ex duobus cum beatiorem cenſent homines qui benè poſtulat, quã qui annuit, manifeſtũ eſt diuinam hanc eſſe laudem; illã hominũ propriam. Iam ergo de Heſiodo Poëta audiſſe te aliquando puto, alios alia perſpicuè à Diis immortalibus obtinere:

Ex Muſis ſiquidem & Phœbo vibrante ſagittas

Citharœdos ac Poëtas fieri;

Ab Ioue ſed Reges.

Et Homerum atque Heſiodũ, cæteróſque earum artium autores apud Græcos ac Principes videmus. Ego vero quàm eleganter hoc ipſum Aſſyriorum literis proditum animaduerti, Regis ſcilicet animum in manu Dei cuſtodiri. Vnde ei quantum immineat periculi prouidendum, ne ſi ad agendum aliquid quod à Deo ſit alienum, feratur, cuſtodiente ſeſe Dei manu tandem excidat. Non enim tibi ſolum (Imperator) quæ ſancta ſunt animo, ac cogitatione tractanda, verum etiam iis, qui apud te ſermonem inſtituunt, eadem vſurpanda dicendo, cum vnumquodque verbum ex iis quæ ad aures tuas accidunt, in incorruptam illius manum inſcribatur. Ac propterea (Deo gratiſſime Imperator) fœdam illam atque horribilem procellam ſine cruore admodum ſedaſti, quod

πράως, μειλιχίως μεῖναι πρὸς τὴν παροῦσαν εὐτυχίαν, ἀνεπιφθόνως, μεμνημένον μάλιστα πρὸ πάντων τῆς περὶ τὴν τύχην ἀπίστου ῥοπῆς. ταῦτα γὰρ ἅπαντα δι' ἑνὸς τούτου ῥήματος συλλαβὼν ὁ μὲν Πῶρος ᾔτησεν, ὁ δὲ Ἀλέξανδρος ἔπραξε, καὶ οὐκ ἠρνήσατο· οὐδὲ γὰρ οἷός τε ἦν. βασιλέα γὰρ ἀξιοῦντα εἶναι πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων, ἔπειτα ἐξαρνεῖσθαι πρᾶξαί τε βασιλικῶς, αἰσχρὸν ἦν καὶ μαχόμενον πρὸς τοὔνομα. ἐπεὶ καὶ ἰατροῦ τί ἂν εἴη γελοιότερον ἀρνουμένου τι ποιῆσαι περὶ τὸν ἀρρωστοῦντα ἰατρικῶς; καὶ μουσικοῦ διεχεραίνοντος πρὸς τὸ μουσικῶς; ἑκάστου γὰρ, οἶμαι, τεχνίτου ἡ περὶ τὴν τέχνην πρᾶξις ἀλλότριον δείκνυσι τὸν πράξαντα τοῦ προσρήματος. ἔοικεν οὖν καὶ κατὰ Πῶρον καὶ Ἀλέξανδρον ταυτὸν εἶναι τὸ βασιλικῶς τῷ μεγαλοπρεπῶς καὶ φιλοδώρως καὶ τῷ λαβόντι κεχαρισμένως. ἐπεὶ οὖν τοῖν δυοῖν ζηλωτότερος ὁ δεηθεὶς καλῶς ἢ ὁ συγχωρήσας, δῆλον ὅτι ὁ μὲν, θεῖος ἔπαινος, ὁ δὲ ἀνθρώπινος. ἤδη οὖν ποτε ἤκουσας Ἡσιόδου τοῦ ποιητοῦ ὅτι ἄλλοι μὲν ἄλλα σαφῶς κτῶνται παρὰ τῶν θεῶν, Ἐκ μὲν Μουσάων καὶ Ἀπόλλωνος ἑκάτοιο κιθαριστάς τε εἶναι καὶ ποιητὰς, ἐκ δὲ Διὸς βασιλῆας. καὶ ὁρῶμεν Ὅμηρον καὶ Ἡσίοδον καὶ τοὺς τῶν Ἑλλήνων ἀρχηγέτας. ἀλλ' ἐγώ ποτε ἐπῃσθόμην καὶ τῶν Ἀσσυρίων γραμμάτων ταυτὸ τοῦτο κομψευομένων, ὡς ἄρα ὁ νοῦς τοῦ βασιλέως ἐν τῇ τοῦ θεοῦ παλάμῃ δορυφορεῖται, καὶ δεῖ τὸν κίνδυνον ὁρᾶν, πηλίκος αὐτῷ πρὸς ἀλλοτρίαν τοῦ θεοῦ πρᾶξιν ὁρμήσαντι, ἐκπεσεῖν τῆς χειρὸς τῆς φυλαττούσης. οὐ γάρ σοι μόνον ὦ βασιλεῦ, ἅγια προσήκει φρονεῖν, ἀλλὰ καὶ τοῖς πρός σε διαλεγομένοις ἅγια φθέγγεσθαι, ὡς ἑκάστου ῥήματος τῶν εἰς τὰς σὰς ἀκοὰς ἐμπιπτόντων εἰς τὴν ἀκήρατον ἐκείνου παλάμην ἐγγραφομένων. διὰ ταῦτα τοίνυν, ὦ θεοφιλέστατε αὐτοκράτορ, καὶ τὸν ἄγριον ἐκεῖνον τυφῶνα λίαν ἀναιμακτὶ κατειργάσω,

ὅτι σοὶ χρηστὰ ἐννοοῦντι τὴν χεῖρα συνεπέδωκεν ὁ θεός. οὐδὲ ἔμελλεν, ὡς ἔοικεν, ἀποπλήσειν τὴν σπουδὴν τοῦ παλαμναίου. σπουδὴ δὲ ἦν ἄρα καὶ προθυμία τῆς μιαρᾶς ἐκείνης καὶ κακοδαίμονος κεφαλῆς, εἰς τὸν ἑαυτῇ μόνῃ πρέποντα ὄλεθρον ὡς πλείστους συνεπισπάσασθαι τῶν πολλῶν. οὐδὲ ὑπηρέτης ποτὲ χρηστὸς ἐνομίσθη, ἀλλὰ βάσκανος, ἀλιτήριος, ἀεὶ συγκεκυφὼς, ἀεὶ συνεφὴς, ἐφελκόμενος τὰς ὀφρῦς, τὴν σιωπὴν ὥς τι σεμνὸν μετιὼν, ἄμικτος, ἀπρόσπαιος, ἀηδίας μεστὸς, ἐπὶ τῷ μισεῖν ἅπαντας καὶ πρὸς ἁπάντων μισεῖσθαι μεγαλαυχούμενος. καίτοι Φάλαρις καὶ Ἀριστόμαχος καὶ Ἀπολλόδωρος καὶ Διονύσιος εἶχον ἄν τινα ἕκαστος παραστήσασθαι καὶ ἀγαπῶντα καὶ ἀγαπώμενον. οὐδὲ γὰρ τοὺς ἔχεις οὐδὲ τοὺς σκορπίους ἡ φύσις ἔξω πεποίηκε παντελῶς τοῦ ἐρᾶν καὶ τοῦ ἀντερᾶσθαι· ἀλλ' εἰ καὶ πρὸς ἀνθρώπους κατεσκεύασται δυσμενῶς, τὰ πρὸς τὰ σύμφυλα φιλίας οὐκ ἀπελήλαται. ἀλλ' ἔοικε καὶ ὁ παλαιὸς λόγος ἀληθὴς εἶναι τῆς Ἰταλίας καὶ τῆς ἀρχαίας φιλοσοφίας, ὡς ἄρα κατὰ χρόνους τινὰς ὡρισμένους ποτὲ μὲν ἀκήρατοι καὶ θεῖαι δυνάμεις ἐπ' ἀγαθῷ τῶν ἀνθρώπων ἐμβατεύουσι τὴν γῆν, ἐκ τοῦ οὐρανοῦ κατιοῦσαι, (οὐκ ἠέρα ἑσσάμεναι, καθ' Ἡσίοδον, ἀλλὰ σώματα ἀμφιεσάμεναι παραπλήσια τοῖς ἡμετέροις, καὶ βίον ὑποδῦσαι ἥττω τῆς φύσεως, ἕνεκεν τῆς πρὸς ἡμᾶς κοινωνίας) ποτὲ δ' ἔμπληκτοι καὶ ἀλλόκοτοι, καὶ κωκυτοῦ τινος καὶ ἐριννύων θρέμματα καὶ γεννήματα ἐπὶ λύμῃ καὶ γοητείᾳ καὶ ἀπάτῃ δειλαίων ἀνθρώπων, θρήνων ἐρῶντες καὶ στεναγμῶν, οἰμωγῆς ἀκορεῖς, δάκρυσι πιαινόμενοι, αἴτιοι σεισμῶν, αἴτιοι λοιμῶν, αἴτ' ἐπικλύσεως ἐπι[illegible] τὴν γῆν τεταγμένοι ὁπηνίκα ἂν εὐθυνῶνται. θέασαι γὰρ ἐκ τῶν ἔναγχος τούτων ὦ βασιλεῦ, ἄρτι καθεστηκυίας τῆς Ῥωμαίων ἀρχῆς καὶ γαλήνης λαμπρᾶς ἐφ' ἅπασαν τὴν γῆν τεταμένης, ὥσπερ σώματος τὰ ἔξωθεν ὑγιαίνοντος ῥεῦμα ὕπουλον ὑποτρεφόμενον ἐν τῷ βάθει

quod tibi præclara quædam atque egregia meditanti manum ſuam ad id Deus præbuerit; neque ſceleſti atq; execrandi hominis conatus ac ſtudia promouere voluerit. Porrò illud erat ſcelerati, atque infelicis capitis cõſilium, quammultos poſſet è plebe in ſoli debitã ſibi perniciem atque interitum pertrahere. Qui neque miniſter vnquam bonus eſſet habitus, ſed inuidus, execrabilis, demiſſo ſemper in terram vultu, ſemper tetricus, contracto ſupercilio, taciturnitatem, tanquam graue aliquid ac plenum maieſtatis, affectans, ſocietatis expers, deteſtandus, moleſtię ac faſtidij plenus, & in hoc gloria ſeſe efferens, quod & odiſſet omnes, & odio ab omnibus haberetur. Atqui Phalaris & Ariſtomachus & Apollodorus, ac Dionyſius, aliquẽ vtique ſinguli perhibere poterant, à quo & amarentur, & viciſſim redamarent. Neque enim vel viperas, vel ſcorpios ipſos, Natura omnino mutui expertes amoris peperit. Quæ tametſi hominum genus odio proſequãtur, minimè ab eorum amore quæ eiuſdem ſunt generis, excluduntur. Verũ is eſſe veriſſimus ſermo, & ab antiqua manaſſe Philoſophia videtur, quo ita dicitur: Statis tẽporib. aliâs diuinas quaſdã & æternas Mentes ad hominũ vtilitatẽ è cœlo delapſas in terris degere, (quę nõ obductæ tenebris, vt ait Heſiodus, ſed corporib. noſtrorum ſimilib. circũfuſę ſunt, & inferiorem naturæ ſuæ dignitate vitæ rationẽ ſubeunt, vt ſocietati noſtræ communionique ſe accõmodent) aliâs vecordes & importunas deſcendere, Cocyti & Furiarum alumnas, & ab iiſdem prognatas ad miſerorũ mortalium fraudem atq; perniciẽ: quæ lamentis ac ſuſpiriis delectantur, nunquam luctu ſatiantur, lacrymis ſaginantur: quibus id muneris commiſſum eſt, vt pro terrę motibus, pro peſtilentia, pro aquarum innundatione, terram accîdant, quoties fertilior eſſe, atque abundare cœperit. Age enim (Imperator) hoc ipſum in iis quæ nuper contigerunt, intuere. Nam cum paulo antè Romanum Imperium eſſet conſtitutum, & in vniuerſum orbem ſerenitas quædam ac tranquillitas propagata, non ſecus atque in corpore exterius ſano ac vegeto ruptum quiddam intus occultum & circa

nobiliſſimam partem paulatim adultum cœpit erumpere:

Alij ſomnos hominéſque Deíque trahebant
Tota nocte.

Ac ne Iouem quidem ipſum fortaſſis tunc Comœdia à dormientibus exciperet: neque enim vigilans vnquam graſſatorum officinam ad commune exitium orbis excitari permitteret. Inde media iam nocte, alij ſubito trahi, diripi alij, aliorum cubicula à militibus occupari: alij è lectulis ad carceres atque ergaſtula corripi: aliis lecti ipſi neruorum loco eſſe. Tum ampliſſima ſecũdùm noſtrum Imperia maleficorum loco comprehendi. Erat vero nocte illa horrendum ac triſte peruigilium. Atq; Homerus quidẽ adductis nuper è Thracia militibus infelix contigiſſe ſomnium ait Gręcorum ſpeculatores. Tunc vero non vniuerſæ dumtaxat Thraciæ, ſed etiam continentibus penè vtriſque peſſimum inſomnium, ſeu verũ potius inſomnij tempore viſum oblatum eſt. Poſtea è balneis magna cum pompa clypeum atque haſtam gerens, collo circumdatis monilibus, adulterinus prodiit Imperator, arridens omnibus, blandéque inuitans, ſubdolum ac fallacem vultu riſum præferens, riſum inquam lamentis ac gemitibus plenum, riſum, qui lacrymarum multum dedit. Planéque illa quæ dicũtur à Platone, ſubſecuta ſunt, quæ initio Tyrannos ait oſtẽdere ſolitos, tabulas videlicet nouas, agrorum ex integro diuiſiones, illam quæ Saturni ac Rheæ tẽporibus fuit felicitatem, acerbam prorſus eſcam iis qui iis rebus illecti captique fuerint. Per idem tempus ærarium apertum, portus ac naualia patefacta: vt cùm ij qui ſeruare ciuitatem vellent, foris ſtationem haberent, intra muros inteſtina quædam illam obſidio vallaret. Demum difficiliores quaſdã machinas, quarũ artifex ille, & architectus erat, admouit, abſurdos ſcilicet rumores, & puluerulẽtos ex ſubvrbanis nũtios, alios ex Illyrico, alios ex Italia, alios ex Atlantico Oceano profectos. Pręter hæc legationes in Regiam introductę, Syrorum, Aſſyriorum, Ægyptiorum, Afrorum, Hiſpanorum, quaſi repente ab extremis terrę finibus aduolaſſent. Quæ tamen aut credenda prorſus erãt,

περὶ τὸ κυριώτατον τῶν μερῶν ἀπεσήμηνεν. ἄλλοι μὲν ῥα θεοί τε καὶ ἀνέρες εὗδον Παννύχιοι, καὶ οὐδ' αὖ εἰς Δία ἴσως ἡ κωμῳδία τοῦ τηνικαῦτα ἀποδρᾶσαν ὑπεξείλετο. οὐ γὰρ αὖ περιεῖδεν ἐργαστήριον τοιχωρύχων ἐπὶ κακῷ τῆς οἰκουμένης ἐγρηγορός. κἄπειτα μεσούσης τῆς νυκτὸς οἱ μὲν ἐξαίφνης ἤγοντο, οἱ δὲ ἐφέροντο· τῶν δὲ τὰς εὐνὰς κατελάμβανον στρατιῶται. οἱ δὲ τῶν σκιμπόδων εἰς δεσμωτήρια συνηρπάζοντο· τοῖς δὲ οἱ σκίμποδες ἐγίνοντο ἀντὶ ξύλων. ἀρχαὶ δὲ αἱ μέγισται μετά γε τὴν ἡμετέραν ἐν μοίρᾳ κακούργων ἦσαν συνειλημμέναι· ἡ δὲ πάννυχις ἑῶ ἄδεια τῆς τότε νυκτός. καὶ Ὅμηρος μὲν ὄναρ κακὸν ἐπιστῆναί φησι τοῖς τῶν Ἑλλήνων κατασκόποις, τοῖς ἀπὸ Θρᾴκης νεήλυσι στρατιώταις· τηνικαῦτα δὲ οὐ συμπάσῃ μόνῃ τῇ Θρᾴκῃ, ἀλλὰ καὶ ταῖς ἠπείροις ὄναρ σχεδὸν ἀμφοτέραις κακὸν ἐπέστη, μᾶλλον δὲ ἐν χώρᾳ ὀνείρατος ὕπαρ. κἄπειτα ἐπόμπευεν ἐκ βαλανείου ἐν ἀσπίδι καὶ δορατίῳ, περιδέραια περικείμενος, περίσημος αὐτοκράτωρ, περισεσηρώς, ἀπλύτας περισκαλυμμένος, μειδιῶν μειδίαμα δολερόν, μειδίαμα θρήνων μεστόν, μειδίαμα ἄρξαν πολλῶν δακρύων ἄντικρυς τὰ Πλάτωνος τοῦ θεσπεσίου καὶ ἅ φησιν ἐκεῖνος προδεικνύναι τοὺς τυράννους ἐν τοῖς προοιμίοις, χρεῶν ἀποκοπάς, γῆς ἀναδασμούς, τὴν ἐπὶ Κρόνου καὶ Ῥέας εὐδαιμονίαν, πικρὰ δελεάσματα τοῖς ὑπὸ τούτων ἁλισκομένοις. καὶ θησαυροφυλάκια μὲν ἀνεπετάννυντο, λιμένες δὲ ἀνεφράγνυντο καὶ νεώρια. πολιορκία δὲ εἴσω τείχους περιειστήκει τὴν πόλιν, ἔξωθεν περικαθημένων τῶν σώζειν περιαιρουμένων. εἶτα ἐπέσφε τὰ χαλεπώτερα μηχανήματα ὧν αὐτὸς ἦν τέκτων καὶ μηχανορράφος, τὰς ἀτόπους φήμας καὶ τοὺς ἀγγέλους τοὺς ἐκ τῶν προαστείων κεκονιαμένους, τοὺς μὲν ἐξ Ἰλλυριῶν, τοὺς δὲ ἐξ Ἰταλίας, τοὺς δὲ ἐξ Ὠκεανοῦ τοῦ Ἑσπερίου. πρεσβεῖαι δὲ εἰσεκαλοῦντο εἰς τὰ βασίλεια Σύρων, Ἀσσυρίων, Αἰγυπτίων, Λιβύων, Ἰβήρων, ὥσπερ διαπτᾶσαι ἐξαίφνης ἐκ τῶν ἐσχάτων τῆς οἰκουμένης. καὶ τούτοις ἡ πάνυ πιστεύειν ἔχρην,

ἢ πολὺ δεδέσθαι. λαθεῖν γὰρ οὐκ ἐνῆν, οὐ δεδεμένους, οὐ σιωπῶντας, οὐ στένοντας, οὐ μειδιῶντας· ἀλλ᾽ ἐπεφαίνοντο ἑκασταχοῦ, μᾶλλον δὲ συμπεπλήρησαν ἀεὶ κατάσκοποι, ὠτακουσταί, Ἄργου πλείονας ἔχοντες ὀφθαλμούς, Λυγκέως ὀξυωπέστεροι· καὶ τὴν μὲν σεμνὴν γερουσίαν εἰσέπραττεν εἰσφορὰς πολυστενάκτους, οὐκ οἶδ᾽ ὅπως ἐνιαυτοῦ, μᾶλλον δὲ χειμῶνος ἑνός, οὐχ ἑορτῆς χρόνον, ὥσπερ Νέρων, τὸν τῶν Ὀλυμπίων μετατιθεὶς καὶ μεταβάλλων, ἀλλὰ τὸν εἰς πέρυσι καὶ τὸν εἰς νέωτα, τὸν ἕνα καὶ τὸν αὐτὸν μῆνα στενοχωρῶν ταῖς εἰσπράξεσιν. ὁ δὲ Κωνσταντίνου δῆμος ὁ τρυφῶν, ὁ ἐν ἀδείᾳ ζῶν, ὁ κακῶν ἀπείρατος μέχρι τῆς ἑσπέρας ἐκείνης, ὃν σὺ παρὰ τῶν ἐκείνου κληρονόμων διαδεξάμενος, οὐκ εἴασας αἰσθέσθαι τῆς τοῦ γένους μεταβολῆς, ὑπὸ τοῦ Κωνσταντίου προσιόντος, καὶ τοιοῦ ὅμως τοῦτο αἰχμαλώτως παρεισχομένου; ὥσπερ θαλλόν, ἀφαιρεθεὶς τὴν συνήθη τρυφήν, ἠγάπα συμπαρατρεφόμενος τοῖς βοσκήμασι. τοῖν δ᾽ ἀρχόντοιν τοῖν κορυφαίοιν ὁ μὲν τεθνηκὼς ἠπιστεῖτο, ὁ δὲ ζῶν, ἐπιστεύθη τεθνάναι. ταύτην τοίνυν τὴν οὕτω πολυειδῆ καὶ ποικίλην τραγῳδίαν μικροῦ μὲν ὅτι μέλλουσαν παραπέκλαφε τῆς ἐξόδου· ἐπεὶ δ᾽ ἐχρῆν, ὡς ἔοικε, δῆλον γενέσθαι τὸ μέγεθος τῶν ἐπικρεμασθέντων κακῶν, ὥσπερ ἰατρῷ συνεχώρησεν ὁ θεὸς ἐν ἀκμῇ τῆς νόσου τὴν τέχνην ἐπιδείξασθαι. ἔτι γὰρ αὐτοῦ τὴν φύσιν ἐπικρύπτεσθαι πειρωμένου, καὶ αἰκάλλοντος καὶ παρασαίνοντος ἅπαντας, εἰ συνέβη ταχεῖαν ἐπιλαβεῖν τὴν καταστροφήν, ἴσως ἂν ὁ κίνδυνος ἠγνοήθη, τὸν πλησίον ἀποστάντα ἀποτρέψασθαι. νῦν δὲ τοσαῦτα εὐτυχῆσαι συγχωρηθεὶς ὁπόσα θαρρήσας ἔμελλεν ἐκφαίνειν τὸ κακόηθες καὶ δολερὸν καὶ ἀποδεδυκὸς τῆς ψυχῆς, καὶ τοσοῦτον ἀπολαύσας τῆς ἐξουσίας ὅσον μὴ λαθεῖν οἷος ἦν, ἅμα τε ἠλέγχθη καὶ ἀνηρπάσθη, ὥσπερ χείμαρρος ἀθρόως μὲν αὐξηθείς, ἀθρωτερον δὲ ἐπιλιπών, αἰθρίας ἐπιφανείσης. καὶ οὕτως ἄρα σοι

aut ſubeunda prorſus vincula: latere enim nemo poterat, ſiue vinctus quiſquam eſſet, ſiue taceret, ſiue gemeret, ſiue denique rideret: ſed vbique offerebant ſeſe, vel perpetuo potiùs adhærebant emiſſarij delatores pluribus quā Argus oculis prędıti, & Lynceo perſpicaciores. Quin amplisſimo Senatorum ordini acerbiſſima tributa impoſuit, neſcio quo modo in annū vnum, vel vt verius dicam, hyemem, non feſti dumtaxat tempus anteuertens, quemadmodum olim à Nerone factum, qui Olympiorum tempus in aliud commutauit: ſed ſuperioris & inſequentis anni tributum exigens, ita vt vnum eundémque menſem exactionibus arctaret. Conſtantini vero populus delitiis ante hoc tempus affluēs, ſecurus, & malorum ante Veſperam illam omnium expers, qui ne generis mutationē ſentiret, accepto ab illius hæredibus Imperio perfeceras, hic inquam à Conſtantino veniente, eámque appellationem, tanquam oliuæ ramum ſumma cum impudentia pretendente, ita eſt quotidianis delitiis atque omni felicitate ſpoliatus, vt communi cum pecudibus alimento frui non grauatè ſuſtineret. E ſummis vero Magiſtratibus alter qui erat verè mortuus, non credebatur: qui viuebat, mortuus eſſe putabatur. Hoc igitur tam varium, tam multiplex Drama parum quidem abfuit, quin antè exitum intercluderet. Sed quoniam ingruentium malorum magnitudinem prius, vt apparet, noſſe oportebat, ſic tanquam Medico permiſit Deus artis vt ſuæ periculum in ipſo morbi ingraueſcentis vigore faceret. Si enim cum adhuc naturam ſuam celare conaretur, & adularetur, ac demulceret omnes, tum facilè profligatus eſſet, periculi fortaſſe vis eſſet ignorata. Iam verò poſtquam ei tantum proſperitatis ac ſucceſſus indultum eſt, quantum ad id neceſſe erat, vt confirmata audacia improbitatem, ac verſutiam ſuam, & veteratoriam animi calliditatem oſtenderet: ac poſteaquam eò vſque Imperium tenuit, vt cuiuſmodi eſſet, latère neminem poſſet, ſimul & deprehenſus, & abreptus eſt, Torrentis inſtar, qui repente auctus citius ſereno cœlo deficit. Ita ſanè tibi

quod ex iis quæ acciderant erat difficillimum, commodè diuino quodam conſilio conſtitutum eſt: adeò vt non illud ſolum ex ea cunctatione lucri feceris, vt eius manifeſtior omnibus improbitas eſſet, ſed, quod eo amplius eſt, tua vt illuſtrior clementia quàm antehac, cum nondum tale accidiſſet tempus, quod eiuſmodi ſpecimẽ flagitaret. Neque enim indignationem iudicem adhibuiſti, nec vindictam ad iræ menſuram accommodaſti: ſed cum perturbationem ratione eſſes moderatus, vnà & legibus clemẽtior viſus es, & vbique cum ſcripto iure conſentiens, quoties obſeruare quod erat ſcriptum, quàm tranſgredi, Imperatoriæ eſſet dignitati conuenientius. Igitur facinus ab errore & infelicitate ſeparaſti. Etſi enim Platonis dogmata minimè ore pronuncias; nec Ariſtotelis ſcripta peruoluis; nihilominus quæ illi ſentiunt, reipſa atque factis comprobas. Non enim eadem animaduerſione dignos iudicaſti cum iis qui perduellionem ab initio animo conceperant, eos, qui impetu armorum abrepti fuiſſent, aut ei ceſſiſſent, qui iam viciſſe omnia crederetur: ſed illos quidem merito condemnaſti, alios verbis caſtigaſti, cum poſtremis condoluiſti. Tanta vero eſt Clementiæ magnitudo, vt vel iniquo animo feramus, ſi quis eorum modo qui extrema quæque metuebant, minima etiam in re moleſtia afficiatur: nec mediocriter commouemur, non iam ſi veniam omnino deneges, ſed ſi quamlibet eam exiguo tempore differas. Nuper enim cum *** è Palatio ad hodiernum vſque diem mœroris ac triſtitiæ pleni, nec aſſecuturos nos quæ poſtulata erant, putabamus, non renuente beneficium, ſed differente. Hoc autem non poſtulantium ſtoliditas, ſed dantis magnificentia facit; quę benignitatis ac clementiæ ſuauitatem ac diffuſionem, quæ minimè vulgaris eſt, notiorem omnibus atque illuſtriorem reddit. Siquidem non in iis quæ ſordidiſſima, ſed quæ puriſſima ſunt, quamlibet exigua macula ſit, apparet. Ita planè ſi quid ab iis qui crudelitate & atrocitate præſtiterunt, humaniter ſit geſtum; omnium memoria celebratur.

Quorum

καὶ τὸ δυσχερέστατον τῶν συμβεβηκότων εἰς δέον τέθεικεν ὁ θεός, ὥστε οὐ μόνον τοῦτο ἐκέρδανας τῆς μελλήσεως τὸ τὰς ἐκείνου μοχθηρίας ἐκκαλυφθῆναι, ἀλλ', ὃ καὶ τούτου μεῖζόν ἐστι, τὸ καὶ τὴν σὴν πρᾳότητα φανερωτέραν γενέσθαι ἢ πρὶν συμπεσεῖν τὸν καιρὸν τὸν ταύτης δεόμενον τῆς ἐπιδείξεως. οὐ γὰρ ἐποιήσω τὸν θυμὸν δικαστήν, οὐδὲ ἐμέτρησας τὴν τιμωρίαν τῷ μέτρῳ τῆς ὀργῆς, ἀλλ' ἐπιστήσας τῷ πάθει τὸν λόγον, καὶ τῶν νόμων ἐφάνης πρᾳότερος, καὶ πανταχοῦ τοῖς γεγραμμένοις ἀκολουθῶν, ἔδειξας ἐν οἷς τοῦ παραβαίνειν τὰ γράμματα τὸ φυλάττειν βασιλικώτερον· καὶ διέκρινας τὸ ἀδίκημα καὶ ἁμάρτημα καὶ ἀτύχημα. καὶ γὰρ εἰ μὴ τὰ Πλάτωνος ἀποστοματίζεις, μηδὲ τὰ Ἀριστοτέλους μεταχειρίζῃ, ἀλλά τά γε ἐκείνοις δοκοῦντα τοῖς ἔργοις βεβαιοῖς. οὐ γὰρ τῆς ἴσης τιμωρίας ἀξίους ᾠήθης τούς τε ἐξ ἀρχῆς βουλευσαμένους τὴν ἐπανάστασιν καὶ τοὺς ὑπὸ τῶν ὅπλων παρασυρέντας, καὶ τοὺς ἤδη τῷ δοκοῦντι κρατεῖν ὑποκύψαντας· ἀλλὰ τῶν μὲν κατέγνως, τοὺς δὲ ἐμέμψω, τοῖς δὲ συνήλγησας. τοσαύτη δὲ ἐστιν ἡ τῆς πρᾳότητος περιουσία, ὥστε ἀγανακτοῦμεν εἰ καὶ σμικρόν τις αἰτιαθεὶς τῶν τὰ ἔσχατα προσδοκώντων, καὶ δυσχεραίνομεν οὐκ εἰ παντάπασιν ἀρνήσαιο τὴν συγγνώμην, ἀλλ' εἰ καὶ πρὸς μικρὸν ἀναβάλλοιο. πρῴην γὰρ ἀ * * * ἐκ τῶν βασιλείων πρὸς τὸ τέως ἐσκυθρωπακότες, καὶ τυχεῖν ὧν ἐλιπαρήσαμεν οὐκ ᾠόμεθα, οὐκ αἰανθύσαντες, ἀλλ' αἰαθεμένου τὴν χάριν. αἴτιον δὲ οὐχ ἡ τῶν αἰτούντων ἀγνωμοσύνη, ἀλλ' ἡ τοῦ διδόντος φιλοτιμία, ἥμερον καὶ ἐκκεχυμένον τῆς εὐμενείας μᾶλλον ἐκφαίνεσθαι ποιεῖ τὸ μὴ τοῖς πολλοῖς παραπλήσιον. οὐ γὰρ ἐν τοῖς ἄγαν ἐρρυπωμένοις ἀλλ' ἐν τοῖς ἄγαν κεκαθαρμένοις ἔκδηλον τὸ μόλυσμα γίνεται, κἂν σμικρότατον ᾖ. οὕτω τοι τῶν μὲν ὑπερβαλλόντων πικρίᾳ καὶ χαλεπότητι ἓν εἴ τι χρηστὸν πέπρακται, μνήμης τυγχάνει,

τῶν δὲ φιλανθρωπίᾳ νικώντων ἓν εἴ τι παρεώραται, ἀνεξάλειπτον διαμένει. ἀεὶ γὰρ ἐν πλείονι καθίσταται λόγῳ τὸ παρ' ἐλπίδας. τοιγαροῦν Νέρωνος μὲν ἀοίδιμος ἡ πρὸς Μουσώνιον ἐπιείκεια· πρὸς Ἀλέξανδρον δὲ ὑπὲρ Καλλισθένους ἔτι καὶ νῦν ἀγανακτοῦμεν. καίτοι γε ὁ μὲν εἰς ἔργον ἐξεβίασε τὴν ὀργήν· ὁ δὲ ἐν οἷς μὴ παραχρῆμα ὑπείξας, ἑαυτοῦ στερεώτατος ἐνομίσθη. Περικλῆς μὲν οὖν ἐσεμνύνετο πρὸς Ἀθηναίους καταλύων τὰς ἔχθρας ταῖς στρατηγίαις· σὺ δὲ τηλικαῦτα ἀδικηθεὶς, καὶ οὐκ ἐπίσης Περικλεῖ, τῆς ἐξουσίας τοῦ δημαγωγοῦ γέγονας ὦ αὐτοκράτορ ἐπιεικέστερος, καὶ διπλῆν ἐνίκησας νίκην. οὐ γὰρ μόνον τῶν πολεμησάντων ἀλλὰ τῶν συμπολεμησάντων κρείττων ἐφάνης, τῶν μὲν ἀντιστάντων κρατήσας, πραΰνας δὲ τοὺς ὑβρισμένους· καὶ τοὺς μὲν ἀνδρίᾳ χρησάμενος, τῶν δὲ τὸν θυμὸν ἡμερώσας, καὶ γνοὺς ὁπόσον πολέμου νόσημα ἐμφύλιον διενήνοχε· καὶ ὅτι βαρβάρων μὲν Ῥωμαίοις ἄχρι παντὸς ἐπεξιέναι προσήκει, Ῥωμαίοις δὲ μέτρον ἐπικεῖσθαι κατὰ Ῥωμαίων τὴν τοῦ πταίσματος ἐπανόρθωσιν. καὶ ὥσπερ σώματος ἑνὸς τὸ μέρος τὸ ἀρρωστῆσαν ὁ θεραπεύειν ἐνὸν φαρμάκοις ἀποκόπτειν προαιρούμενος, οὐκ ἰᾶται τὸ σύμπαν, ἀλλ' ἀσθενέστερον ποιεῖ τῷ ἐλλείποντι· οὕτω καὶ τῆς ἀρχῆς μιᾶς οὔσης τῆς ὅλης Ῥωμαίων, ὥσπερ πόλεως ἀκριβῶς ἅπαν γίνεται βλάβος ὃ βέλτιον ἔχειν ἐξὸν ζημιούμεθα. καίτοι χεῖρα, ἢ σκέλος, ἢ ἄλλο τι μέρος νοσῆσαν οὐ δυνατὸν ἐκ τῆς ἰατρείας ὑγιέστερον ἢ πρίν τι παθεῖν ἀποφῆναι· ἀνὴρ δὲ ἐμμέτρου δίκης τυχὼν γένοιτ' ἄν ποτε καὶ βελτίων. περὶ τὸν πρᾴως προσενεχθέντα, Ῥωμαῖοι Μασσανάσσην τὸν Λίβυν, ἐπειδὴ πολλὰ κακὰ παρ' αὐτοῦ πεπονθότες, ζῶντα ληφθέντα ἀφῆκαν ἑκόντες, οὔ φασιν ἀριθμητὰ εἶναι ὅσα Ῥωμαίους Μασσανάσσης χρηστὰ εἰργάσατο.

Quorũ verò eximia atq; excellens clementia fuit, ab iis ſi quid per incuriã omiſsũ eſt, nulla vnquã obliuione delebitur. Sẽper enim inſignius illud ac memorabilius eſt quod præter ſpẽ cõtingit. Itaq; Neronis celeberrima eſt aduerſus Muſoniũ facilitas: contra Alexandrũ vero pro Calliſthene etiamnũ cõmouemur. Atqui ille quidẽ irę ſtimulos addidit, & vt erũperet, incitauit: hic autẽ quod minimè ſtatim ceſſiſſet, cõſtãtior quã antea vnquã eſt habitus. Periclẽ ſanè ferũt apud Atheniẽſes gloriari ſolitũ, quod Imperio adminiſtrationéque ſua inimicitias diſſolueret. Tu vero (Imp.) cũ & tantis iniuriis eſſes affectus; nec Periclis ſimilẽ potentiam atque Imperium gereres, benigniorẽ te nihilominus forenſi illo declamatore prę̃ſtitiſti, ac duplicẽ ex eo facto victoriã reportaſti. Non .n. iis tãtum qui arma cõtra te ceperant, ſed etiã qui tecũ ceperant, ſuperior fuiſti, cũ & eos qui ſe oppoſuerant, debellaueris, & iniuria affectos atq; offenſos placaueris. Quorũ priores quidẽ virtute ſuperaſti; aliorũ animos atq; iracundiã mitigaſti: non ignorans, quantum à legitimo bello inteſtina ac ciuilis diſcordia differat. Ac barbaros quidẽ Romanorũ armis aſſiduè eſſe perſequẽdos: Romanis vero cõtra Romanos hãc eſſe moderationẽ adhibendam, tãdiu, vt bellũ inferatur, quoad omnis offenſio atq; iniuria ſarciatur. Et quẽadmodũ corporis morbidũ membrũ qui cũ medicamentis perſanare poſſit, mauult abſcindere, nõ toti corpori remediũ adhibet, ſed hoc ipſo quod deeſt, imbecillius facit: ſic cum imperiũ omne Romanũ, ciuitatis inſtar, vnũ idẽq; ſit; planè hoc in illius detrimentum redundat, quod cũ reuocari ad ſanitatẽ poſſet, fuerit deperditũ. Quanquã manũ, aut crus aut aliã quãlibet ægrã ac malè affectã partem ſaniorem quàm ante morbũ fuerat, efficere Medicina non poteſt: Homo vero qui moderatã aliquam pœnã tulerit, meliorem ſe aliquando erga eũ exhibuerit, à quo ſit benignè atque humaniter tractatus. De Romanis ſic accepimus, cum Maſiniſſam Afrum, à quo erant hoſtiliter vexati, in poteſtate habitum vltro dimiſiſſent, commemorari non poſſe quæ ab ęo ſint in ipſos poſtmodũ collata beneficia.

Illud vero Socratis præclarum qui cõmune illud dictum ac vulgare corrigebat: Amicis quidem benefaciendum eſſe, inimicis vero malè. Corrigebat autem: illud ſeruando, alterum mutando. Quod enim amicis benefaciendum dicit, id vero laudabat: quod inimicis malè, id ita emendabat, vt diceret amicis benefaciendum eſſe, non malè inimicis. Et ad eum qui ita comminabatur, Niſi te arripiens occidero, ſic contrà minatus eſt, niſi te amicum fecero. Quod ſi quis hanc animi facilitatem Pallio dicat conuenire, non Purpuræ: ego vero clariſſimos tibi Reges commemorabo, qui ſe Socratis haud diſſimiles præbuerunt. Ad Philippum Amyntæ filium neſcio quis Centurionem quendam detulit, tanquam hoſtili in eum eſſet animo, facileque maiũ aliquod machinaturus, niſi quàm celerrimè tolleretur è medio. Quid igitur Philippus? Non ferro ſtatim vſus eſt: verùm, Inimicitiæ (inquit) iſti cauſam præbuimus: hic enim haud vtique Macedonum deterrimus. Igitur cum cæteris in rebus hominem fouere incipit, tum roganti dotem ei inſuper nubilis filiæ numerari iubet. Nec quiſquam deinceps etiam ex iis qui pridem inter amicos probati fuerant, Regi fidelior fuit,

Sic benefacta malis longè potiora videntur.

Non enim ita facilè quiſquam homo inter homines exiſtere poteſt, quin eum à quo extrema quæque metueret, ſi mitem in ſe, atque honoris inſuper aliquid deferentem viderit, non ſtatim beneuolentia proſequatur. Nam qui meritas pœnas effugerit, quo iuſtius eas commiſerat, eo condonanti magis obſtrictus eſt. Sic enim Alexander cum Memnonem Darij Præfectum nonnulli interficere ſuaderent, ſimulatque in poteſtatem eius veniſſet: Nequaquam, reſpondit: quin potius ex Darij amico Alexandri amicum faciamus, atque ita ſtudium in illum voluntatémque ſuam in nos transferet. Idem & Thebanorum ille Imperator feciſſe dicitur. Nam cum Thebani eos eiicere ex vrbibus vellent, qui Lacedæmoniis fauerent, ſic eos eſt allocutus: Atqui nullus, ô Thebani,

εὖ δὲ ἐποίει καὶ Σωκράτης τὸν παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦντα λόγον ἐπανορθῶν, ὅτι δεῖ τοὺς μὲν φίλους εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς κακῶς ποιεῖν. ἐπηνώρθου δὲ, τὸ μὲν φυλάττων, τὸ δὲ μεταγράφων· τὸ τοὺς μὲν φίλους εὖ ποιεῖν, μεταγράφων, τοὺς δὲ ἐχθροὺς κακῶς, ἐπιδιορθούμενος. τὸ μὲν γὰρ εὖ ποιεῖν ἐπῄνει, τὸ δὲ κακῶς, ἐπηνώρθου, τοὺς φίλους μὲν εὖ ποιεῖν, τοὺς δὲ ἐχθροὺς μὴ κακῶς ποιεῖν, ἀλλὰ φίλους, μεταγράφων. καὶ πρὸς τὸν ἀπειλήσαντα, ἂν μή σε λαβὼν ἀποκτείνω, ἀντεπειλήσας, ἂν μή σε φίλον ποιήσω. εἰ δὲ τὴν πρᾳότητα ταύτην πελωρίαν μέν φησί τις προσήκειν, ἀλουργίδι δὲ μή. ἀλλ' ἐγώ σοι καταριθμήσω καὶ τοὺς ἐνδοξοτάτους τῶν βασιλέων παραπλησίως Σωκράτει γεγυμνασμένους. Φιλίππῳ τῷ Ἀμύντου κατεῖπέ τις ὁπουδὴ τῶν ταξιαρχῶν ὡς ἀπεχθῶς διακειμένου, καὶ ῥᾳδίως κακόν τι βουλεύσοντος, εἰ μὴ τάχιστα ἐκποδὼν γένηται. τί οὖν ὁ Φίλιππος; οὐκ εὐθὺς ἧκεν ἐπὶ τὸν σίδηρον, ἀλλὰ καὶ περὶ ἡμᾶς φησὶ τὸ αἴτιον τῆς ἀπεχθείας. ὁ γὰρ ἀνὴρ οὐχ ὁ φαυλότατος τῶν Μακεδόνων καὶ τά τε ἄλλα ἐπιμελεῖται εὐθὺς τοῦ ἀνθρώπου, καὶ προσέτι καὶ ἐπιδίδωσι δεομένῳ θυγατέρας ὡραίας καὶ μετὰ ταῦτα οὐδεὶς ἦν πιστότερος τῷ βασιλεῖ τῶν πάλαι κεκριμένων ἐπιτηδείων. Ὡς εὐεργεσίη κακοεργίης μέγ' ἀμείνων. οὐ γὰρ ῥᾴδιον οὕτω τινὰ ἐν ἀνθρώποις ἄνθρωπον φῦναι, ὥστε παρ' οὗ τὰ ἔσχατα πείσεσθαι προσεδόκησε, τούτῳ χρηστῷ τε προσνείμαντι τι τιμῆς, οὐκ εὐθὺς εὔνουν γενέσθαι. ἀλλ' ὁ τὴν τιμωρίαν διαφυγὼν, ὅσῳ δικαιότερον ὦφλε, τοσούτῳ μᾶλλον ὑπόχρεως γίνεται τῷ συγχωρήσαντι. οὕτω δὲ Ἀλέξανδρος, Μέμνονα τὸν Δαρείῳ συστρατηγήσαντα ἀποκτιννύειν τινῶν κελευόντων, ἐπειδὰν ὡς τάχιστα κύριος γένηται, Μηδαμῶς, ἔφη, ἀλλὰ ποιήσωμεν ἀντὶ φιλοδαρείου τὸν ἄνθρωπον φιλαλέξανδρον τε· οὕτω τὴν εἰς ἐκεῖνον σπουδὴν εἰς ἡμᾶς μεταθήσεται. ταυτὸ δὲ τοῦτο καὶ ὁ Βοιώτιος στρατηγὸς, ἐπειδὴ Θηβαῖοι τῆς πόλεως ἐξελαύνειν ἐπεχείρουν τοὺς λακωνίζοντας, Ἀλλ' οὐδεὶς, ἔφασκεν, ὦ Θηβαῖοι,

τέτακται φύσει φιλοθήβαιος, ἢ φιλολακεδαιμόνιος, ἀλλ' ἕκαστος ἑαυτῷ ἁπανταχόθεν τὸ συμφέρον ἐπιζητεῖ, παρ' ὧν δ' ἂν τὰ χρηστότερα προσδοκήσῃ, τούτοις ἑαυτὸν προσνέμει. ταύτην τοίνυν ἐμποιητέον τὴν ἐλπίδα τοῖς ὑπηκόοις, καὶ οὐ δεήσεσθε ὅπλων πρὸς τὸ ποιεῖν ἑαυτοῖς ἐπιτηδείους, ἀλλ' ὄψεσθε τὰ ὑμέτερα ἑκόντας αἱρουμένους. εἶεν. ἀλλ' οἱ μὲν παρὰ τοῖς Ἕλλησιν εὐδόκιμοι τοῦτον τὸν τρόπον· οἱ δὲ Ῥωμαίων αὐτοκράτορες πως ἅπαντες ὧν τὰ μεγάλα ὀνόματα, παραπλησίως σοι τοὺς ἠτυχηκότας μετεχειρίσαντο· Πομπήιος τοὺς Σερτωρίῳ συνεπαναστάντας, Καῖσαρ τοὺς Πομπηΐῳ συμπολεμήσαντας, ὁ Σεβαστὸς τοὺς Ἀντωνίῳ συναποστάντας, Μάρκος τοὺς Κασσίῳ συναραμένους. τοὺς δὲ ἐφεξῆς καὶ ἐγγὺς ἡμῶν τούτοις λέγω, καὶ οὗτοι πάντες τῆς ἀνθρωπίνης φύσεως στοχαζόμενοι, ὅτι μηδὲν πρὸς εὔνοιαν ἐπαγωγότερον εὐεργεσίας, καὶ ὅτι βέλτιστον βασιλεῖ τὸ δι' εὔνοιαν ἐπισπᾶσθαι καὶ μὴ διὰ τὸν φόβον κρατεῖν. ἡ μὲν γὰρ ἑκόντων, ὁ δὲ ἀκόντων ποιεῖ κυρίους. καὶ δυνάμει μὲν εὔνοιαν οὐκ ἔστιν εὑρεῖν καταλυθεῖσαν, εὐνοίᾳ δὲ δυνάμεις πολλάς. ἰδιώτῃ μὲν τοίνυν οὐχ οὕτω ῥᾴδιον μετασκευάζειν οἰκειότητα τοὺς ἀπεχθῶς διακειμένους. ὅταν γὰρ ἐν ἴσῳ καθεστήκῃ τοῖς προσκεκρουκόσιν, οὔτε ἀφιεὶς τὴν ὀργὴν δῆλός ἐστι, τῷ μὴ κεκτῆσθαι ἀναμφισβήτητον τοῦ τιμωρεῖσθαι τὴν ἐξουσίαν· οὔτε ὑπάρχων εὐεργεσίας, τῷ πολλάκις ἀδυνατεῖν, κἂν προαιρῆται. βασιλεῖ δὲ ἐκφανοῦς ὑπαρχούσης καὶ τοῦ βλάπτειν καὶ τοῦ ποιεῖν εὖ τῆς ῥᾳστώνης, εἰς τὴν ἀμείνω χώραν μετατιθετέον ἀεὶ καθάπερ ψῆφον ἐν πεττείᾳ κειμένην ἐν τῇ φαυλοτέρᾳ, καὶ ποιεῖν τοὺς τέως ἐχθροὺς, πιστοὺς καὶ οἰκείους τῇ τῶν ἀγαθῶν χορηγίᾳ. καὶ ταῦτα ἐγὼ μεταμόρφωσιν βασιλικωτέραν νενόμικα ἧς μετεμόρφου Ξέρξης μὲν ἤπειρον καὶ τὴν θάλασσαν, καὶ ἧς ἡ Κίρκη τοὺς ἀνθρώπους, καὶ ἧς ἡ Μήδεια τὸ γῆρας, καὶ ἧς Αὐτόλυκος τὰ φώρια.

natura Thebanorum aut Lacedæmoniorum amicus procreatur: ſed quilibet ſibi quod commodum eſt vndequaq; procurans, iis ſeſe accommodat, à quibus meliora ſe conſecuturum ſperauerit. Hæc igitur ſpes ſubditorum nobis animis ingeneranda eſt, nec ad eos vobis conciliandos armis opus habebitis, ſed vltro veſtris ſeſe partibus adiungent. Atque hæc quidem celeberrimi apud Græcos duces fecerũt. Romanorum vero Imperatores quonam modo? Omnes, quorum quidem illuſtria ſunt nomina, eadẽ quâ tu erga afflictos ſeſe ratione geſſerunt. Velvti Põpeius erga eos qui cum Sertorio defecerant: Cæſar cum iis qui Pompeium ſecuti fuerant: Auguſtus cum Antonianis: Marcus cum iis qui pro Caſſio ſteterant. Mitto recentiores, eóſque qui ad noſtram ætatem propius acceſſerunt. Qui quidem omnes præclare naturam hominum aſſecuti, id intellexerunt; nihil ad alliciendam beneuolentiam efficacius eſſe benignitate ac beneficentia: longéque id optimum eſſe Principi, amore ac gratia ſubditos allicere, non metu ac terrore dominari. Hoc enim, fit vt volentibus, illo, vt inuitis ac detrectantibus dominentur. Et beneuolentiam quidem viribus nunquam, beneuolẽtia vero quamplurimas vires expugnatas atque euerſas fuiſſe comperimus. Sed Priuato ſanè non adeo facile eſt inimicos in amicitiam ac familiaritatem traducere. Nam cũ eodem loco conditionéque cum iis eſt, qui ſeſe offenderũt, neque cũ iram remittit, cognoſci poteſt: propterea quod liquidam ac certam vlciſcendi facultatem non habet: nec cum beneficio prouocat, quia ſæpenumero vt maximè velit, facere iſtud non poteſt. Princeps vero, cuius vtramque in partem, malè ſcilicet benéque faciendi commoditas nota omnibus eſt, id pugnare debet, vti meliorẽ in partem, velvt latrunculorum in ludo calculum, qui in deteriori ſit, transferat, & eos qui à ſe hactenus diſſidebant, liberalitate ac largitate fidos ſibi ac familiares efficiat. Atque ego mutationem hanc Rege digniorem ea eſſe puto, qua aut Xerxes continẽtem ac mare; aut Circe homines, aut Medea ſenium, aut Autolycus furta ſua tranſmutarũt.

Neque enim ibi cum Natura ipſa certamen ſuſcipitur, ſed diuinitus conceſſa planè via eſt, & Mercurij munus, animos hominum ex horridis & agreſtibus manſuetos, ex infenſis beneuolos & conciliatos reddere. Iam vero libenter quidem artem inueniremus, qua in argentum æs, aut argentum in aurum conuertere poſſemus. Quiſquis autem homines, caſu aliquo, ſiue certo conſilio, frænum excutientes, cicures ac manſuetos facere poteſt, is ſi commonitionibus omiſſis, in eum à quo parumper offenſus eſt, implacabile odium ſuſcipiat, nonne aurigis ipſis ſtolidior eſt, qui contumaces equos non iugulant ſtatim, ſed vbi mitiores reddiderint, iiſdem deinceps melioribus vtuntur? Poſſum & ego alium tibi nominare Regem, qui & ſi tam latè non regnarit quàm Philippus, aut Alexander, nihilominus hoc Apollini Pythio dubium reddiderit, Deúmne an hominem appellari cum oporteret: Lycurgum videlicet Spartanum. Hic igitur cum nequaquam in opibus ac pecuniis damnum accepiſſet, ſed ei ab Adoleſcente quodam, à quo in concione fuſte percuſſus erat, alter oculorum eſſet effoſſus, poſtquam illum in poteſtate domi habuit, quo tandem pacto vltus eſt? quomodo rependit iniuriam? Effodit nimirum & ipſe non oculum quidem eius, à quo id perpeſſus fuerat, ſed temeritatem animi, atque audaciam. Propterea Pythius ille qui de arenæ numero quantus eſſet, quótve in mari congij, nequaquam ambigebat, de Principe ſic affecto, Deus an homo eſſet, pronuntiare neſciebat. Tu vero non vnum dumtaxat, vt Lycurgus, mitigaſti, nec vnum item, velvt Alexāder, amicum ex infenſo reddidiſti, neque certum tibi hominē qui conuitiatus fuerat, reconciliaſti, quaſi nuperrimè eam tibi gloriam peperiſſes. Verū per nationes ac gentes, inde Duces, illinc ordinum Præfectos, hinc Centuriones innumeros percenſere licet, ſagittariorum item, atque equitū turmas, ac Ampliſſimi denique conſilij Senatores, quibus tot tantiſque non multo poſt quod adhuc deeſt, adiecturum te certo ſcio. Tum mihi quoq; audacter licebit dubitare,

οὐ γάρ ἐστι παρὰ τὴν φύσιν φιλονεικία, ἀλλὰ θεὸς ὄντως ἀκριβῶς ἡ δύναμις αὕτη καὶ Ἑρμοῦ δῶρον, ψυχὰς ἐξ ἀγρίων ἡμέρους κατασκευάζειν, καὶ ἐξ ἀλλοτρίων ἐπιτηδείους. νῦν δὲ τὸν χαλκὸν μὲν εἰς ἀργύριον μεταβαλεῖν, καὶ τοῦ δὲ ἀργύριον εἰς χρυσίον, ἀσμένως ἄν τινα ἐξευρημένην τέχνην. ᾧ δὲ ἔνεστιν ἀνθρώπους εἴτε ἀπὸ τύχης, εἴτε ἀπὸ γνώμης ἀφηνιάσαντας αὖθις χειροήθεις ποιῆσαι, οὗτος εἰ τὸ νουθετεῖν ἐάσας, τὴν ἐπὶ χειρὸς λελυπηκότι ἀδιάλλακτα ἀγανακτοίη, καὶ τὸν βασιλέα προσήκοντος ἐπὶ πρόσθεν ἄχρι τοῦ θυμοῦ κεχαρισμένον, πῶς οὐκ ἂν ἀνεπώτερος εἴη τῶν ἡνιόχων, οἳ τοὺς αὐθάδεις τῶν ἵππων οὐκ ἀποσφάττουσι παραχρῆμα, ἀλλὰ πραοτέρους ποιήσαντες, χρῶνται βελτίοσι γεγυμνασμένοις; ἔχω δέ σοι καὶ ἕτερον εἰπεῖν βασιλέα τοσαύτης μὲν οὐκ ἄρξαντα γῆς ὅσης Φίλιππος καὶ Ἀλέξανδρος, τὴν Πυθίαν δὲ ὅμως παρασχόντα ἀμφισβήτησιν, εἴτε θεὸν αὐτὸν προσρητέον, εἴτε ἄνθρωπον, Λυκοῦργον τὸν Σπαρτιάτην. οὗτος τοίνυν οὐκ εἰς χρήματα ζημιωθεὶς, ἀλλ᾽ αὐτὸν ἐκκοπεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν, νέου τινὸς ξύλῳ πατάξαντος ἐν ἐκκλησίᾳ, παραλαβὼν τὸν ἐκκόψαντα οἴκοι πῶς ἐτιμωρήσατο; πῶς ἠμύνατο; ἀντέκοψε μὲν καὶ αὐτὸς, ἀλλ᾽ οὐ τὸν ὀφθαλμὸν τοῦ ἐκκόψαντος, ἀλλὰ τῆς ψυχῆς τὴν θρασύτητα, ἀντὶ μοχθηροῦ πολίτου χρηστὸν ἀποφήνας. διὰ τοῦτο ἄρα ὁ Πύθιος τῆς μὲν ψάμμου τὸν ἀριθμὸν οὐκ ἐδίσταζεν ὁπόση εἴη, οὐδὲ τῆς θαλάσσης τὰς χόας· τὸν δὲ βασιλέα τὸν οὕτω φρονοῦντα οὐκ εἶχεν ἀποφήνασθαι πότερον θεὸς ἢ ἄνθρωπος εἴη. σὺ δὲ οὐχ ἕνα ἐπράϋνας, ὥσπερ Λυκοῦργος, οὐδὲ ἕνα ἀντὶ ἐχθροῦ φίλον ἐποίησας, ὥσπερ Ἀλέξανδρος, οὐδὲ τὸν δεῖνα λοιδορησάμενος προσηγάγου, ὥσπερ ἔναγχος εὐδοκιμήσας. ἀλλ᾽ ἔξεστιν ἀριθμεῖν κατὰ φῦλα στρατηγοὺς χιλίους, ταξιάρχας χιλίους, λοχαγοὺς πολλοὺς, ἴλας τοξοτῶν, ἴλας ἱππέων, τοὺς ἐκ τῆς μεγάλης βουλῆς, οἷς εὖ οἶδ᾽ ὅτι τοσούτοις οὖσι καὶ τηλικούτοις οὐκ εἰς μακρὰν τὸ ἐνδέον παραθήσεις. καὶ τότε ἔξεστί μοι μετὰ παρρησίας διϊστάσαι,

Δίζω εἴ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον· οὐχ ὅτι καὶ νῦν τινες χαλεπόν τι καὶ πέρα τοῦ μέτρου πεπόνθασιν, ἀλλ' ὅτι σὺ σαυτοῦ πεποίηκας καὶ τὰ εἴσω τοῦ μέτρου. καὶ ζητήσουσιν οἱ ἄνθρωποι οὐ τί τοῖς ὑπ' ἐκείνων πλαίσμασιν ἀκόλουθον ἦν, ἀλλὰ τί τοῖς ὑπὸ σοῦ περὶ τοὺς λοιποὺς πεπραγμένοις· καὶ θαυμάσουσιν οὐχ ὅτι μὴ πάντες οἱ τὰ αὐτὰ πλημμελήσαντες τὴν αὐτὴν δεδώκασι δίκην, ἀλλ' ὅτι μὴ πάντες οἱ τὰ ἴσα ἐξαμαρτόντες τῆς ἴσης τετυχήκασι φιλανθρωπίας. ἐπεὶ τά γε πράγματα αὐτὰ καθ' ἑαυτὰ ἐξετάζοντι, ἐντιμότεροι σὺ προσενήνεξαι τοῖς ἑαλωκόσιν, ἢ ἕτεροι τοῖς ὑπὸ σφῶν ἀριστεύσασιν. οἶδας γὰρ, ὡς ἔοικεν, ἀκριβῶς, ὅτι δεῖ μὲν καὶ θυμοῦ μέγεθος συντρέχειν τῷ βασιλεῖ, ἀλλὰ μέγαν ὄντα τὸν θυμὸν εὐήκοον εἶναι προσήκει, ὥστε εὐμετάπειστον εἶναι τῷ λόγῳ. τὸ δὲ ἅπαξ παραλλάξαντος ἀνακαλέσασθαι τὴν ἀκμὴν, οὐ μεγάλης ἀλλὰ καὶ πάνυ σμικρᾶς διανοίας, ὥσπερ μειρακίου τραῦμα ἀλύπως ἰαθὲν ἀναξαίνοντος καὶ διατείβοντος ἐν τῷ βοᾶν, δέον τῷ φαρμάκῳ συγχωρήσαντα ἀπηλλάχθαι. φάρμακον δὲ ὀργῆς οἰδαινούσης τὸ μὲν αὐτίκα λόγος ἐστὶν, ᾧ σὺ τηνικαῦτα ἐπράϋνας σφαδάζουσαν καὶ ζέουσαν ἔτι. τὸ μετὰ ταῦτα δὲ ὁ χρόνος ἰατρὸς ἤδη γίνεται καὶ τοῖς λίαν δυσμεταχειρίστοις. τὸ δὲ ὑπ' ἀμφοῖν ἀμείλικτον, ἔξω τῆς φύσεως ὑπολαμβάνεις καὶ τῆς θείας καὶ τῆς ἀνθρωπίνης. διό φησιν Ὅμηρος τοὺς μὲν ἄλλους θεοὺς τρεπτοὺς εἶναι καὶ παραρρήτους, τὸν δὲ Ἅδην μόνον ἀμείλικτον καὶ ἀδάμαστον. τοιγαροῦν μόνος αὐτοκρατόρων καὶ οἷς ἐπιεικέστερον προσηνέχθης, τούτοις χαλεπώτερον τετιμώρησαι, εἰς αἰσχύνην καὶ μεταμέλειαν καταστήσας, καὶ τῇ περὶ ἑαυτῶν λύπῃ κολάσας τοὺς πλημμελήσαντας, ἀναθυμουμένους ἐξ ὧν οὐκ ἀντέπαθον κακῶς, οἷα ἠδίκησαν. χαλεπωτέρα δὲ ἐλευθέρῳ λύπη τῆς διὰ τοῦ σώματος γινομένης ἡ διὰ τῆς αἰσχύνης ἐστί.

Deúmne te an hominem pronuntiem. Nō quod atrocius in quemquam modò ac præter quàm quod æquum eſt, ſit ſtatutum; ſed quod illud etiam quod infra æqui mēſuram eſt, tibi tute impoſueris. Atque illud homines requirent, non quid eorū delictis, ſed quid iis quæ abs te in alios erāt cōſtituta, fuerit conſentaneum. Neq; mirum illis videbitur, ſi minus ab omnib. qui eidē culpæ affines eſſent, eædē ſint pœnę repetitę, ſed illud potius, ſi non in omnes, qui ſe eodem crimine obſtrinxerant, par ſit atque eadem humanitas impenſa. Etenim ſi quis per ſe res ipſas conſideret, honorificentius eos qui capti deprehenſique fuerant, tractaſti, quàm pleriq; ſoleant eos qui ſua cauſa præclarè atque egregiè ſe ſe geſſerint. Hoc enim optimè intellexiſſe videris, etſi ingentes in Principe animos ineſſe oporteat, tamen ingentes illos animos obedientes eſſe debere, vt ratione quoquo velis flectantur. Quorum vim atque impetum, vbi ſemel deferbuerint, reuocare, non magnæ, ſed puſillæ potius abiectæque mentis eſt: velvti ſi puer vulnus ſine dolore iam ſanatum fodicet iterum, & in vociferando tempus conſumat, cum adhibere remedia, atque ita liberari ſit conſultius. Iræ porro tumentis adhuc remedium ſubitum quidem ratio ipſa eſt, qua tu illam tum impotentem & adhuc feruentem compeſcuiſti. Deinceps vero etiam ferociſſimis quibuſque temporis longinquitas medetur. Quod autem neutra ratione inflecti atque emolliri poteſt, id extra naturam Diuinam iuxta atque humanam habendum exiſtimas. Ob id Homerus cæteros quidem Deorum flexibiles atque exorabiles, Plutonem vnum rigidum & implacabilem eſſe dicit. Quare ſolus ex Imperatoribus id aſſecutus es, vt quos benignius ac clementiùs habueras, eos grauius vindicares; cum iis pudorem, ac pœnitentiam inijceres, & criminis conſcios ſuomet ipſos dolore punires. Qui quidem ex eo quod nihil à te mali perpeſſi eſſent, quantum ſcelus admiſerant, intellexerunt. Eſt autem homini libero acerbior multo is dolor, qui ex verecundia, quàm qui ex cruciatu corporis percipitur.

Cuius rei argumento eſt, quod hunc ſuſtineant, patientérque ferant, præ pudore verò ſæpenumero vitam ipſam profundant. Quanto putas cum gemitu temeritatem illi ſuam deplorāt? quantis putas ſuſpiriis fraudē illā ac præſtigias proſequuntur? cum inter ſe cōparant quē cuius loco ſibi delegerint; cúmque eum in ſeſe meliorē experiuntur, quē offenderint, quā cuius partibus inducti deceptiq; ſeſe adiūxerint? Neq; .n. in ipſo rerū diſcrimine tolerabilis erat: ſed vbi parumper iactatus à fortuna, atque elatus videbatur, ſuperciliū Xerxis, ac Cābyſis inſolentiā ac libidinem præ ſe ferebat; neque vel mancipiorū inſtar moderatè tractans eos, quibus fraudulenter impoſuerat. Quod autem vnum mihi pręcipuè naturam illius indicaſſe videtur, hoc antequā dicendi finem, faciā exponam. Eorū igitur Principū qui legitimè imperio ſucceſſerūt, nemo vnquam fuit, quin Philoſophiā tanquam patriū aliquod & hæreditariū ſacrū veneratione ſit proſecutus: vt etiā plerique ſibi eam tanquam moderatricē adſciuerint, & vitæ ſuæ præfecerint. Quibus illa conſentaneam gratiam, ac pręmium refert, dum eorum egregiam memoriam, ac famam nulla vnquam obliuione deletā ad perpetui ſucceſſionem temporis propagat. Nam qui paulo ante eidē affectæ iniuria defuiſſe, ac cōtempſiſſe viſus eſt, etſi mali nihil ille quidem commiſit, tamen, quia neglexit ſolùm, nec rationem eius vllam habuit, cū hac vna inuidia ac dedecore reliquam nominis gloriā compenſare nullo modo poteſt. Huius itaq; cum exiguæ adhuc reliquiæ ſupereſſent; nec maius quicquā minúſve haberet ei quod obijceret, quod eam minimè ſcelus illud laudare poſſe intelligebat, quantum in ipſo fuit ab illa non abſtinuit, nec ſententiā ferre dubitauit, quę ſubito in ipſius caput pręclarè eſt à Diis immortalib. cōuerſa. Et hoc ab eo factum eſt, qui barbam interim promitteret, ſibiq; Philoſophiæ ſtudioſiſſimi nomen Principis vindicaret. Nō ita vos, licèt inter armorum ſtrepitus educati, ſed eā ad vos arceſſitis, & adeſtis illi, atq; ampliſſimos honores habetis. Verū miſſa iſthęc facio. Sed illius Imperatoris magiſtrum, cum eum nuper militaris

σημεῖον δέ· τὰς μὲν γὰρ ὑπομένουσι καὶ ἐγκαρτεροῦσι, δι' αἰσχύνην δὲ προΐενται πολλάκις τὸν βίον. πῶς οὐκ θρηνοῦσι τὴν ἀβουλίαν; πῶς οὐ στένουσι τὴν γοητείαν, οἷον ἀνθ' οἵου παρείλοντο παραβάλλοντες, καὶ πειρώμενοι βελτίονος εἰς ὃν ἐξήμαρτον ἢ ᾧ φενακισθέντες προσέθεντο; οὐδὲ γὰρ ἐν τοῖς κινδύνοις ἦν ἀνεκτὸς *** ἀδύσας ποτὲ σμικρὸν ὑπὸ τῆς τύχης ἀνερρίπίσθαι, τοῦ Ξέρξου περιῆκε τὴν ὀφρῦν, τοῦ Καμβύσου τὴν παροινίαν, οὐδὲ ἀνδραπόδοις μετρίως χρώμενος τοῖς ὑπ' αὐτοῦ γοητευθεῖσιν. ὃ δὲ μάλιστά μοι δοκεῖ τῆς ἐκείνου φύσεως δεῖγμα γεγενῆσθαι, τοῦτο οὐ πρὶν εἰπεῖν παύσομαι. φιλοσοφίαν τοίνυν, ὦ βασιλεῦ, ἅπαντες μὲν ᾐδέσθησαν, ὥσπερ τι πάτριον ἱερόν, οἱ σὺν νόμῳ τὰς βασιλείας διαδεξάμενοι· πολλοὶ δὲ καὶ συμπαρέλαβον ἐπιστατοῦσαν, καὶ τοῦ βίου σφῶν προεστήσαντο· οἷς ἐκτινύει τὰ γινόμενα χαριστήρια, ἀνεξάλειπτον αὐτῶν τὴν ἀγαθὴν μνήμην τῷ παντὶ χρόνῳ συμπαραπέμπουσα. καὶ γὰρ ὅστις ἔδοξεν οὐ περὶ πολλοῦ περιορᾶν ἀδικουμένην, οὐκ αὐτός τι κακὸν ἐργασάμενος, ἀλλ' ὅτι προσήκατο μόνον καὶ περιεῖδεν, ὅμως οὐκ ἀντανεφέρετο τῇ λοιπῇ δόξῃ πρὸς ταύτην μόνην τὴν δυσφημίαν. ταύτης τοίνυν ἔτι μικροῦ περισωζομένου λειψάνου, οὐκ ἔχων οὔτε μέγα οὔτε μικρὸν ἐγκαλέσαι, ἀλλ' ὅτι μόνον συνῄδει μὴ δυναμένην ἐπαινεῖν τῷ τολμήματι, οὐκ ἐφείσατο ὅσον ἐφ' ἑαυτῷ, οὐδὲ ὤκνησε ψῆφον ἐξενεγκεῖν, ἣν οἱ θεοὶ καλῶς ποιοῦντες ἔτρεψαν αὐτῷ παραχρῆμα εἰς τὴν κεφαλήν. ὁ τὸν πώγωνα καθειμένος, καὶ τοῦ φιλοσοφωτάτου τῶν βασιλέων μεταποιούμενος. ἀλλ' οὐχ ὑμεῖς οἱ τοῖς ὅπλοις ἐντεθραμμένοι, ἀλλ' εἰσκαλεῖσθε καὶ συμπαρείσασθε, καὶ τῶν μεγίστων ὑμῶν ἀξιοῦτε. καὶ τοῦτο μὲν ἐῶ. ἀλλὰ τὸν καθηγητὴν ἐκείνου τοῦ ἀλάστορος διασπαράττειν προσίων τῶν στρατιωτῶν

ὡρμημένων, ἐξελόμενοι προὔπτου θανάτου, ἐπειδὴ τὸν θυμὸν ἔδει παραμυθήσασθαι τῶν δικαίως ἀγανακτεῖν πεπιστευκότων, χρήμασι μόνοις ἐζημιώσατε. χρὴ γάρ, ὡς ἔοικεν, ἐξ ἀμφοῖν ὑμᾶς φιλοτιμεῖσθαι, καὶ δι' ὧν εὖ ποιεῖτε φιλοσοφίαν, καὶ δι' ὧν τοὺς πάλαι κακῶς ἐξαιρεῖσθε· καὶ πᾶσι γενέσθαι φανερὸν ὅτι μήτε ἐκείνη ἡ ψῆφος τῆς ὑμετέρας κρίσεως ἦν, ἀλλὰ τοῦ κοινοῦ θορύβου καὶ τῆς συστάσεως, καὶ τῆς εἰωθυίας ἀπαντᾶν ἀγνωμοσύνης τοῖς ἐν παιδείᾳ διενεγκοῦσι. καὶ τούτου τεκμήριον ἐναργές. τὸν γὰρ ἐγκληθέντα μὲν ὑπὲρ τῶν αὐτῶν, πρᾳοτέρᾳ δὲ χρησάμενον τῇ παρὰ τῶν πολλῶν δυσμενείᾳ, οὔτε ζημίᾳ παραχρῆμα ἀφῆκας. ἀλλ' ἱκανῶς ἔχει τῷ νεμεσήσαντι δαιμονίῳ εἴ τι καὶ πρότερον προεώραται. ἀλλὰ τὰ νῦν γε ἄντικρυς τῆς Σωκράτους μεγαλοψυχίας οὐχ ἥρπασε τὸν καιρὸν βουλιμιῶν, οὐ συμπεριηνέχθη τῇ φορᾷ τοῦ ἀλάστορος, οὐ ῥῆμα ἀφῆκεν ἀδικουμένου, ἀλλὰ τὴν ὀργὴν τῶν ἐννόμως βασιλευόντων τῆς φιλανθρωπίας ἀνεκτοτέραν ὑπέλαβε τοῦ τοῖς νόμοις ἐπαναστάντος· ἀλλὰ μᾶλλον εἵλετο διακαρτερεῖν ἐν οἷς ἦν, ἢ τὰ παρόντα μεμψάμενος ἀπηλλάχθαι. Τιγάρου ἅπαντα ὁ μιαρὸς τἄλλα μετακινῶν, τὰς ἐκείνου συμφορὰς μόνας ἐφύλαξεν ἐπὶ σχήματος. καίτοι εἰ καὶ πάνυ δικαίως καταψηφισθέντα ἠπίστατο, ἀλλ' ἑτέροις γε ἔδωκεν ἄδειαν πολλῷ δικαιότερον κατεγνωσμένοις. νῦν δέ, ὡς ἔοικεν, οὐκ ἤνεγκεν ὑπὸ τοῦ μάλιστα περὶ ἐμὲ πάλαι δοκοῦντος κακῶς παρορώμενος. δίκαιος οὖν ἀπολαῦσαι τῆς σῆς πρᾳότητος ὁ τῆς ἐκείνου μὴ ἐθελήσας καλόν τι διασώσασθαι, τὰ ζώπυρα τῆς φιλοσοφίας· σημεῖον γὰρ βασιλείας εὐδαίμονος αὕτη ἡ τέχνη ἐπιδιδοῦσα, καὶ ἀνάγκη ἀρετὴν ἔντιμον εἶναι, παρ' οἷς φιλοσοφία σπουδῆς ἀξιοῦται.

furor diſcerpere ac laniare vellet, manifeſto ab interitu liberatum, quandoquidem eorum iracundiæ ſatisfaciendum erat, qui ſe iuſto dolore commoueri crederent, dumtaxat pecunia multaſtis. Oportet enim ex vtroque, vti apparet, gloriam vobis ac decus comparari, cum & bene de Philoſophia meremini, & ab eadem exitium ac calamitatem auertitis: idque omnibus fieri manifeſtum, ne illud quidem prius decretum ex ſententia iudicióque veſtro depromptum, ſed cùm publico ex tumultu ac ſeditione. tnm iniquitate illa hominum atque inuidia, quæ præſtantib. eruditione viris perpetuò comitatur, eſſe deriuatum. Atq; huius ſane rei manifeſtũ indicium eſt, quòd alterum iiſdem criminibus accuſatum, ſed leuiore aliquanto apud plebem inuidia nulla interpoſita mora dimiſeris. Verũ ſi quid per incuriam antehac neglectum fuit, abũdè infeſti atq; inuidi numinis furor exſatiatus eſt. Sed vt in pręſentia ſeſe gerit, planè Socraticam illam conſtantiam atque animi robur expreſſit. Non enim occaſionem temporis arripuit, quamuis grauis eum fames vrgeret, nec execrandæ illius impetu peſtis abreptus eſt; ac ne vlla quidem de iniuria conquerentis audita vox eſt: ſed legitimorum Principum iram omni perduellis ac Legum oppugnatoris humanitate tolerabiliorem putauit: ſed in eadem calamitate permanere maluit quàm præſenti rerum ſtatu damnato liberari. Itaque cum cætera omnia ſceleſtus ille ac deteſtabilis commutaret, ſolas illius ærumnas eodem in ſtatu reliquit. Quanquam, vt iuſtè illum omnino condẽnatum eſſe ſciret, aliis tamen multo iuſtioribus de cauſis condemnatis libertatem dederat. Iam vero contemni ſe ab eo, qui peſſimè omnium à vobis tractatus videretur, minimè paſſus eſt. Æquum eſt igitur vt is clementiæ tuæ fructum ferat qui illius vti noluerit. Illuſtre quiddam atque amplum eſt Philoſophiæ ſemina ac reliquias conſeruare. Eſt enim hoc beati Imperij ac felicis indicium, cum eiuſmodi creſcit ac viget diſciplinæ ſtudium; magnóque apud eos in pretio virtutem haberi neceſſe eſt, apud quos in cultu atque obſeruatione ſit Philoſophia:

in qua quidem immortalem atque perpetuam tui memoriam defigi ac collocari conuenit. Non enim hi ſolum qui benè de ciuitatib. merentur, ſempiternam ſui memoriam relinquunt, ſed etiam ij, qui præclaras artes honore proſequuntur. Etenim dum genus hominũ manebit, nunquam deerunt aliqui, qui in Diuiniorib. illis diſciplinis operam ſuam collocent: ex quo fit vt eorum qui honorificè atque humaniter illam tractauerint, ad omnem penè ſeculorum poſteritatem fama perueniat.

DE PACE VALENTI DICTA.

ORATIO X.

CVM ego toties hactenus apud te orationem inſtituiſſem, deinceps me tibi ſatietatem ac faſtidium allaturum putabam. Quare ob id vnum prodire ad dicendum verebar; ne nihil tale flagitanti moleſtus eſſe atque importunus viderer. Sed quoniam etiam magnopere id cupientem quieſcere non ſinis; verum tanquam annuum tributum, ſic orationum mearum penſitationem dependi tibi exiſtimas oportere, parere imperanti neceſſe eſt, & indidem mihi capiendum orationis Exordium. Neque enim ex iis bonis, quæ in te ſunt, aliud prius orationum mearum prædicatione celebrãdum eſt, quàm tuus in eaſdem illas animi affectus, ac propenſio. Igitur in primis (Imperator) hoc tuum conſilium laudo, quod cum Agricolas leuare tributorum onere ſtudeas, minimè id Philoſophis conceſſum velis: quin illos quidem libentiſſimè videres quotannis de eo quod antea dederant aliquid detrahentes; ab orationibus autem amplius ſemper quiddã ſoles exigere. Et, quod eo admirabilius eſt, ex orationibus ipſis, noſtras atque peregrinas vernaculis ac tuis anteponis. Cauſa autem hæc eſt, quod non affixus ſis verbis, ſed intimum in iis ſenſum ac latentem explores; nec te pulchritudo lenociniúmque verborum,

ὂν ἣ δεῖ σε μνήμην ἀθάνατον καὶ ἀγήρω καταλιπεῖν. οὐ γὰρ μόνον οἱ τὰς πόλεις εὖ ποιοῦντες ἀθανάτους καταλείπουσι τὰς μνήμας, ἀλλὰ καὶ οἱ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων τιμῶντες. ἀεὶ γὰρ ἕως ἂν ᾖ γένος ἀνθρώπων, οὐκ ἐπιλείψουσιν οἱ περὶ τοὺς ἀμφοτέρους τῶν λόγων φιλοχωροῦντες. ὥστε ἀνάγκη διαδόσιμον γενέσθαι τὴν φήμην τῶν καλῶς αὐτῇ προσενεχθέντων, εἰς ἅπαντα σχεδὸν τὸν αἰῶνα.

ΤΟΥ ΑΥΤΟΥ, ΕΠΙ ΤΗΣ εἰρήνης, Οὐάλεντι.

ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ.

ΩΜΗΝ ἐγώ σοι κατακορὴς ἤδη καὶ πλήσμιος εἶναι, τοσαυτάκις ἔμπροσθεν διειλεγμένος. ὥστε διὰ τοῦτο ἀπώκνουν καὶ νῦν ποιήσασθαι πρόσοδον ἐπὶ τοῖς λόγοις, μὴ δόξαιμι διοχλεῖν οὐδὲν δεομένῳ. ἀλλ' ἐπειδὴ καὶ πάνυ προθυμούμενον ἠρεμεῖν οὐκ ἐᾷς, ἀλλ' ὥσπερ εἰς φορὰν ἐνιαύσιον φοιτᾶν οἴει σοι δεῖν καὶ τὴν ἐκ τῶν λόγων συντελεῖν, εἴκειν μὲν ἀναγκαῖον, αὐτόθεν δὲ ἔστω μοι τὸ προοίμιον. οὔτε γὰρ ἄλλο τι πρότερον τῶν σῶν ἀγαθῶν ἀποδέχεσθαι προσήκει τοὺς λόγους ἢ τὴν περὶ ἑαυτοὺς προθυμίαν. καὶ δῆτα ἐπαινῶ σε τοῦτο πρῶτον, ὦ βασιλεῦ, ὅτι τοῖς γεωργοῖς ἐπανιέναι προθυμῇ τὰ λειτουργήματα, τοῖς φιλοσοφοῦσι δὲ οὐ συγχωρεῖς. ἀλλὰ τοὺς μὲν ἤδη σ' ἂν ἴδοις καθ' ἕκαστον ἔτος ἐλάττον εἰσφέροντας ὧν προσήκειν· παρὰ τῶν λόγων δὲ ἀεί τι πλεῖον εἰσπράττῃ. καὶ τό γε ἔτι τούτου θαυμασιώτερον, ὅτι καὶ τῶν λόγων αὐτῶν προτιμοτέρους ἄγεις τοὺς ἡμετέρους τῶν ὁμογλώττων. αἴτιον δὲ, οὐ γὰρ ἐκκρέμασαι τῶν ὀνομάτων, ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷς· οὐδὲ τοῦ κάλλους τῶν ῥημάτων

ἑάλωκας, ἀλλὰ τοῦ κόσμου τῆς διανοίας. καὶ διὰ τοῦτο, ὡς ἔοικεν, ἐντιμοτέραν ἔχει παρὰ σοὶ τάξιν φιλοσοφία ῥητορικῆς. ὃ γὰρ μάλιστα ἀγαπᾷς, τοῦτο μάλιστα ἐσπούδακεν αὕτη ἡ τέχνη, τὸν νοῦν παρέχεσθαι χρηστόν, οὐχὶ τὰ ῥήματα, καὶ σκοπεῖν οὐχ ὅπως ἂν ἥδιστα εἴποι τις ἀκούουσιν, ἀλλ' ὅπως ὠφελιμώτατα· ὃ σοὶ μάλιστα ἀρέσκον ὁρῶμεν. πρὸς γὰρ τοὺς κολακεύοντας ὕποπτος ὤν, τοῖς νουθετοῦσιν εὔκολον σεαυτὸν παρέχεις καὶ χειροήθη. Καλλισθένην μὲν γὰρ Ἀλέξανδρος, ὅτι παρῄνει τοῖς νομίμοις ἐμμένειν τῶν Μακεδόνων, τὴν παρρησίαν οὐκ ἐνεγκών, ἀπεσείσατο. σὺ δὲ παρακαλεῖς τοὺς φιλοσόφους, κἂν ἀποκνῶσι· καὶ ὁπόσον σοι χρόνον τοῦ ἔτους ἐπὶ χεῖρας μηδ' ἐξ ἀνάγκης χρηματίζῃς τῶν λόγων. τοῖς στρατηγοῦσι δὲ οἱ φιλοσοφοῦντες ἐν ἴσῃ παρεδρείᾳ, γνώμης ἅμα καὶ δυνάμεως σε θεραπευούσης. διὰ γὰρ τοῦτο καὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς γεννῶσιν οἱ ποιηταὶ τοῦ Διός, ἐνδεικνύμενοι καλῶς ὅτι παρεστήκει τῶν βασιλείων μήτε λόγον ἄπρακτον, μήτε πρᾶξιν ἄλογον ἐκφοιτᾶν, ἀλλὰ καὶ τὸν νοῦν ἐνεργὸν εἶναι καὶ γέμειν νοῦ τὸ δραστήριον. πιστοῦται δὲ καὶ τοῦτο ὁ παραλαβὼν χρόνος. εἴτε γὰρ τὸν Ἀλέξανδρον ἐννοήσῃς, εἴτε τὸν Σεβαστόν, εἴτε τὸν Μάρκον, δι' οὐδὲν ἄλλο εὑρήσεις εἰς τοσοῦτον δόξης παρεληλυθότας, ἢ ὅτι τῶν χλαμύδων οὐκ ἀπεσκήνου πολὺ τὰ τριβώνια, οὐδὲ Παρμενίωνος Ἀριστοτέλης ἀτιμότερος ἦν, οὐδὲ Ἄρειος Ἀγρίππου. ὅσοι δὲ ἢ φιλόσοφοι γεγόνασι πλέον ἢ φιλοπόλεμοι, καὶ τὸ δοκοῦν ὑπ' αὐτῶν ἀξιοῦσθαι σπουδῆς μέρος τῷ παροφθέντι συνηφανίσθη. οὐ γὰρ οἷόν τε ἢ λόγους ἐνδόξους γενέσθαι, μὴ τῶν ἔργων αὐτοὺς βεβαιούντων, ἢ τὰ ἔργα πρὸς τὸν χρόνον διαβῆναι τὸν ἐφεξῆς, μὴ λόγου τὴν μνήμην αὐτῶν παραπέμποντος. οἱ μὲν τοίνυν τῶν ποιητῶν λόγοι καὶ οἱ τῶν ῥητόρων ἴσως μὲν ἄλλο τι χρηστὸν ἔχοιεν ἄν, οὗ δὲ μάλιστα χρεία πεφροντικέναι, τοῦτο παρορῶσι.

verborum, ſed ſententiarum ornamenta delectent. Ideóque, vt videtur, honeſtiori apud te in loco eſt Philoſophia, quàm Rhetorica. Nam quod tu præcipuè amas, hoc præcipuè ars illa conſectatur, non vt verba, ſed vti mentem quàm optimam efficiat, ídque in dicendo reſpiciat, non vt maximam audientibus voluptatem, ſed fructum potius atque vtilitatem conciliet: quod præſertim à te probari videmus. Cum enim erga adulatores ſuſpicioſus ſis, commonentib. facilem te ac tractabilẽ præbes. Nam Calliſthenem quidem Alexander quòd ad inſtituta moréſque Macedonũ retinendos hortaretur, libertatem illius cum ferre non poſſet, excuſſit. Tu vero etiam dubitantes ac pigrantes Philoſophos arceſſis: ac quanto tempore hic apud nos permanere cogeris, inter orationes ac diſputationes hiemẽ traducis. Iam apud te eundem, quem Duces, principatum loci obtinent Philoſophi. Ita fit vt & conſilij & virium præſidio fulciaris. Propterea ſiquidem Mineruam Iouis ex capite deducunt Poëtæ, quo præclarè iſtud ſignificant, neque rationem actionis, nec rationis expertem actionem proficiſci à Principibus oportere: Sed & efficacem mentem, ac conſilium; & mentis, atque conſilij plenam efficacitatẽ eſſe debere. Atq; hoc ſuperiorum temporum experimenta confirmant. Siue enim Alexandrum ſpectes, ſiue Auguſtum, ſiue Marcum, nullam aliam ob cauſam inuenies eos ad tãtam gloriam perueniſſe, niſi quod non procul à paludamentis pallia verſarentur, nec minore quàm Parmenio in pretio eſſet Ariſtoteles, nec Arius Agrippâ. Quicumq; vero vel Philoſophiæ, vel bellicæ rei fuere ſupra modũ addicti, etiam partem illã, cui ſe impenſius dediderant, cum altera quam neglexerant, deſtruxerunt. Fieri enim nullo modo poteſt, vt aut glorioſa & illuſtris oratio ſit, niſi ea factis ipſis quoque comprobetur, aut cum inſequenti tempore adæquetur egregiorum facinorum laus, ſi non eorum memoria orationis beneficio commendetur. Sed Poëtarum ac Rhetorum orationes aliud quiddam fortaſſe non pœnitendum habeant: quod autẽ præcipua cura dignum erat, id prętermittunt.

Non enim virtutem in rebus geſtis, ſed magnitudinem conſiderant. Ideoque & acies, & bella, & interfectorum numerum ſibi argumenti loco deſumunt, magnáque iis præconiorum pars in cædibus & euerſionibus eſt poſita. Pacem vero opportunè ac cum dignitate ſuſceptam nullus vnquam illorum multis trophæis anteponendam putauit. Quod quidem longè aliter ſeſe habet: & victoriam in loco negligere ſæpe ipſa victoria glorioſius eſt. Mihi vero orationis huius caput iſtud erit. Nec enim adeo in diuino Platone ſum hoſpes, ac rudis, vt id ab eo dictum non intelligam; Mancum ſcilicet eum Regem ac Legiſlatorem eſſe, qui cùm gerendo bello ſit idoneus, pacem adminiſtrare non poſſit. Iccirco enim, niſi fallor, Lycurgum Spartanum arguit, quòd eam inſtituiſſet Reip. formam, quæ ita bellum capeſſentibus expediret, vt armis depoſitis tractari difficilè poſſet. Hoc autem eius eſt, qui præſtantiorem partem neglexerit, cuiúſque gratia altera neceſſaria eſt. Belli enim pretium pax eſt: nec verò bella ſuſcipiunt, quibus id neceſſe eſt, vt perpetuo bellum gerant, ſed vt tutò in otio ac quiete eſſe poſſint. Quare qui ad negotium & occupationem inſtituere aliquem poteſt; otium moderari non poteſt: eam partem, quæ dignitate potior eſt, contemnit. Itaque cùm hoc Platonis dictum admiror, tum illud vehementiùs probo, quod dicit; Belli atque pacis ſemina primùm vniuſcuiuſque animo inſita eſſe: Ac qui ſecum ipſe pacem colere poſſit, eum & quod ad externa bella pertinet idem poſſe præſtare. Quiſquis verò nullas ſecum inducias paciſci queat, ægrè vnquam illum mutuum cum aliis fœdus amplexurum. Etenim ineſſe in vnoquoque hominum barbarum genus, rebelle admodum, & contumax, iram dico, & inſatiabiles cupiditates, quæ rationi velvt externæ quędam nationes repugnent: non ſecus ac Romanis Scythæ atque Germani. Quemadmodum igitur perturbationes iſtas, cum aduerſus meliorem partem inſurgunt, euellere omnino nec poteſt quiſquam, nec expedit

τὸ γὰρ μέγεθος ἐν ταῖς πράξεσιν, οὐ τὴν ἀρετὴν, ἐπιζητοῦσι· καὶ διὰ τοῦτο τὰς παρατάξεις καὶ τοὺς πολέμους καὶ τῶν νεκρῶν τὸν ἀριθμὸν διαπρεπεστάτην ποιοῦνται τοῖς λόγοις, καὶ τὸ πολὺ τῶν ἐγκωμίων αὐτοῖς οἱ φόνοι καὶ αἱ πορθήσεις. εἰρήνην δὲ ἐν καιρῷ γινομένην καὶ μετὰ τοῦ πρέποντος σχήματος οὐδεὶς πώποτε ὑπέλαβε πολλῶν τροπαίων τιμιωτέραν. τὸ δὲ οὐχ οὕτως ἔχει· ἀλλὰ τοῦ νικῆσαι πολλάκις τὸ τὴν νίκην ὑπεριδεῖν ἐντιμότερον. ἐμοὶ δὲ τοῦτο ἔσται κεφάλαιον τοῦ παρόντος λόγου. οὐ γὰρ οὕτως ἀνήκοός εἰμι Πλάτωνος τοῦ θεσπεσίου, ὥστε τὰ αὐτοῦ μὴ μανθάνειν, ὅτι κολοβὸς καὶ βασιλεὺς καὶ νομοθέτης, ὃς πολεμεῖν μὲν ἱκανὸς, εἰρήνην δὲ ἄγειν οὐχ οἷός τε. ταύτῃ γὰρ, οἶμαι, καὶ Λυκοῦργον εὐθύνει τὸν Σπαρτιάτην, ὡς συστησάμενον πολιτείαν στρατευομένοις μὲν ἐπιτήδειον, καταθεμένοις δὲ τὰ ὅπλα δυσμεταχείριστον. τοῦτο δέ ἐστι τὸ βέλτιον τοῖν μεροῖν παρεωρακότος καὶ οὗ χάριν θάτερον ἀναγκαῖον. πολέμου γὰρ ἆθλον εἰρήνη. καὶ στρατεύονται οἷς ἀνάγκη, οὐχ ἵνα διὰ τέλους στρατεύοιντο, ἀλλ' ἵνα ἀσφαλῶς ἡσυχάσωσιν. ὅστις οὖν πρὸς μὲν ἀσχολίαν παιδεύειν ἱκανὸς, σχολὴν δὲ οὐχ οἷός τε διατίθεσθαι, τῆς καλλίονος μοίρας ὀλιγωρεῖ. καὶ τοῦτο οὖν ἐγὼ Πλάτωνος θαυμάζω, καὶ ἔτι μᾶλλον ὅταν διδάσκῃ ὅτι πολέμου καὶ εἰρήνης σπέρματα ἐν ἑκάστῃ ψυχῇ πρότερόν ἐστι· καὶ ὅστις οἷός τε πρὸς ἑαυτὸν ἄγειν εἰρήνην, οὗτος οἷός τε καὶ πρὸς τοὺς ἔξωθεν πολέμους· ᾧ δὲ ἀδύνατος ἡ πρὸς ἑαυτὸν ἐκεχειρία, σχολῇ ποτ' ἂν οὗτος τὰς πρὸς ἀλλήλους σπονδὰς ἀγαπήσειεν. ἔστι γάρ τι καὶ ἐν ἑκάστῳ βάρβαρον φῦλον, λίαν αὔθαδες καὶ δυσπειθὲς, τὸν θυμὸν λέγω καὶ τὰς ἀπλήστους ἐπιθυμίας, ἀντικαθήμενα τῷ λογισμῷ, καθάπερ Ῥωμαίοις Σκύθαι καὶ Γερμανοί. ὥσπερ οὖν τὰ πάθη ταῦτα ἡνίκα ἐπανίσταται τῷ βελτίονι, παντάπασι μὲν ἐξελεῖν οὔτε δυνατὸν, οὔτε συμφέρον·

(ἃ χρείας ἕνεκεν ἡ φύσις ἐγκατέσπειρε τῇ ψυχῇ) ὑποκύπτοντα δὲ παρέχεσθαι καὶ εὐήκοα τοῖς ἐκ τοῦ νοῦ παραγγέλμασι, τῆς ἀρετῆς ἔργον ἐστίν· οὕτω καὶ τῶν βασιλέων ἔργον, οἷς τοὔνομα τοῦτο ἐπαληθεύεται, ὅταν παρακινήσαντας καταλάβωσι τοὺς βαρβάρους, τὸ μὴ πρόρριζον ἐκκόπτειν παντελῶς τὸ συμπλήρωμα τῆς φύσεως τῆς ἀνθρωπίνης, ἀλλ' ἐπικόψαντας τὴν αὐθάδειαν, σώζειν ἤδη καὶ περιστέλλειν, ὡς τῆς ἀρχῆς μοῖραν γεγενημένους. ἔχει γὰρ οὕτως· ὅστις μὲν ἀχρείων ἐπέξεισιν ἀπαυθαδιαζομένοις τι τοῖς βαρβάροις, οὗτος Ῥωμαίων μόνων ἑαυτὸν βασιλέα ποιεῖ· ὅστις δὲ κρατεῖ μέν, φείδεται δέ, οἶδεν ἑαυτὸν βασιλέα πάντων ἀνθρώπων, καὶ μᾶλλον ἐκείνων οὓς διετήρησε καὶ διέσωσεν, ἐξὸν ἀνελεῖν παντελῶς. ὡς ἔγωγε οὐδὲ τὸν κομψὸν Ἀγαμέμνονα φαίην ἂν λέγειν βασιλικῶς, ἐπιτιμῶντα τῷ ἀδελφῷ μαλαττομένῳ πρὸς τὸν ἱκέτην, καὶ πικρὰν οὕτως εὐχὴν καὶ ἀλλόκοτον προσεπευχόμενον, μηδένα τῶν Τρώων διαφυγεῖν, ἀλλὰ καὶ τοὺς οὔπω τεχθέντας ἀπολέσθαι πρὸ τοῦ γενέσθαι. ἀλλ', ὡς ἔοικεν, οὐκ ἦν εὐρυκρείων ἀληθινός, ἀλλ' Ἀργείων μόνων βασιλεὺς καὶ Μυκηναίων, ἀνθρώπων δὲ οὔ. καίτοιγε Ὅμηρος ὅταν αὐτὸς ὀνομάζῃ τὸν Δία πατέρα, οὐ τῶν Ἑλλήνων μὲν λέγει πατέρα, τοὺς βαρβάρους δὲ ἐξαιρεῖται· ἀλλ' ἁπλῶς φησι πατέρα θεῶν καὶ ἀνθρώπων. ὅστις οὖν καὶ τῶν ἐπὶ γῆς βασιλέων οὐ Ῥωμαίοις μόνον ὡς πατὴρ προσενήνεκται, ἀλλ' ἤδη καὶ Σκύθαις, οὗτος ἐστὶν ὁ τοῦ Διὸς ζηλωτής, καὶ οὗτος ὁ φιλάνθρωπος ἀτεχνῶς. τῶν δὲ ἄλλων Κῦρον φιλοπέρσην καλῶ, ἀλλ' οὐ φιλάνθρωπον· φιλομακεδόνα δὲ Ἀλέξανδρον, ἀλλ' οὐ φιλέλληνα· τὸν δὲ Σεβαστόν, φιλορωμαῖον· ἄλλον δὲ ἄλλου γένους ἐραστὴν ἢ ἔθνους, οὗ καὶ βασιλεὺς ὠνομάσθη. φιλάνθρωπος δὲ καὶ βασιλεὺς ἁπλῶς, ὃς μηδένα ἀνθρώπων ὅλως ἀλλότριον τῆς ἑαυτοῦ προνοίας ποιεῖται.

(cum eas natura ad hominis vſum animis indiderit) ſed ſubijcere ſibi, ac præſcripto rationis & mentis obedientes reddere virtutis officium eſt: ita planè Principum hoc munus eſt, qui quidem ei nomini reſpondere velint, quoties turbantes aliquid ac perperam molientes Barbaros deprehenderint, non illud quoddam humanæ naturæ complementum reſcindere, ac profligare funditus, ſed cum audaciam eorum atque inſolentiam amputarint, ſeruare deinceps ac tueri, vt pote qui in imperij aliqua parte numerentur. Ita enim ſeſe res habet: Quicumque ferociter aliquid atque inſolenter tentantes Barbaros nimia cum atrocitate perſequitur; hic ſe Romanorum duntaxat Imperatorem exiſtimat. Quicumque vero & vincit, & parcit, omnium ſeſe hominum Imperatorem agnoſcit: eorúmque magis, quos, cum penitus profligare poſſet, eripuerit ac ſeruarit. Quamobrem neque bellum illum Agamemnonem vti Rege dignum erat, locutum dixerim, cum fratrem increparet, qui ſupplicis oratione flecteretur, cúmque atrox adeo & alienum omni ratione votum conciperet, nullus vti Troianorum effugeret: ſed ij etiam qui nondum editi eſſent, antequam naſcerentur, occiderent. Verum, vt videtur, non latè dominans verè, ſed Argiuorum rex dumtaxat, & Mycenarum erat, vniuerſorum hominum nequaquam. Atqui Homerus quoties ipſum Iouem Patrem nominat, non excluſis Barbaris Græcorum tantum Patrem eum appellat; ſed Deorum atque hominum Patrem abſolutè pronunciat. Quiſquis igitur Principum in terris non aduerſus Romanos ſolum, ſed etiam Scythas parentis more ſeſe gerit, hic vt imitator Iouis, ſic verè amator hominum dicendus eſt. E cæteris vero Cyrum quidem Perſarum amatorem voco, non hominum: Macedonum item amatorem Alexandrum, non Grȩcorum: Romanorum Auguſtum, alium denique alius generis amantem, ac nationis, cuius Rex eſſe videretur. Hominum is amator ſolus, & abſolutè Rex appellandus eſt, qui nullum omnino hominum à ſua prouidentia cenſet alienum.

Eſt illud ſanè quidem eximium, ac magnificum, cum apparatu bellico traijcere Iſtrum, bis deinceps hoſtilem agrum populare, iteratis toties ſtatiuis eò progredi, quò ne per Legatos quidem penetrare vnquam auſi fuiſſemus. Sed quamlibet ea ſplendida ſint, ac generoſa, paucíſque admodum olim conceſſa Principum: tamen cum diei illius venit in mentem, cuius ego ſpectator fui, tum demum mihi rate illa Xerxis, qua cum exercitu traiecit Helleſpontum, ad laudem atque gloriam amplior vna illa nauis videtur, qua fœdus Imperator percuſſit, illo inquam ponte, qui bellum tranſmiſit, oneraria illa, quæ pacem importauit. Equidem Scythicas acies non vidi, ſed concionem metus plenam, terroris conſilium, Romanorum Imperatorem Scytharum Regibus imperantem vidi; nec clamores atque vlulatus Barbaricos audiui, ſed gemitus precéſque, & vocem captiuis potius quàm fœdus percutientibus dignam, quibus omnibus adamante ſolidior aliquis infractus atque emollitus eſſet. Sed Imperator Barbarorum quamplurimas legationes irritas reiecit, noſtram dumtaxat reueritus eſt. Ita vos legationem pro Scythis Philoſophiæ commiſiſſe videmini, quæ ſola, & Diuina eſſet, & iram mitigare merito poſſet. Quare mihi tum pręcipuè id negotij erat, vt quæ de clementia dicerem, meditarer, oſtenderémque Principi, propius illos, qui hominum ſaluti conſulunt, quàm qui interficiunt, ad Deos immortales accedere. Atque ægrè quidem ille difficilitérque, ſed perſuaſus tamen eſt, ac manus dedit, móxque benigniori clementiorique ſpecie claſſem prope eorum littus admouit. Troianus ille quidem fluuius incitato aduerſus Gręcos Achilli oppoſuiſſe ſe dicitur, cùm ſpuma ac fluctibus iuuenem infeſtaret. Danubius vero tunc cùm ad bellum traijceret Imperator, inuitus ponte iungebatur. Idem cũ pactioné eſſet facturus, in idem cum eo ſtudium incũbebat, atq; vltro pacem componentibus triremibus ſtratum æquor ac tranquillũ præbebat. Eæ porro in alueo ipſo velvt in portu ac ſtatione fluctuabant. Dixiſſes anchoris naues velvt quibuſdam

καλὸν μὲν οὖν καὶ τὸ περαιωθῆναι τὸν Ἴστρον σὺν τῇ τοῦ πολέμου παρασκευῇ, καὶ δὶς ἐφεξῆς ἀνάστατον ποιῆσαι τὴν πολεμίαν, σταθμοὺς τόσους καὶ τόσους ὅσους οὐδὲ πρεσβεύοντες πώποτε προσελθεῖν ἐθαρρήσαμεν. ἀλλ' εἰ καὶ σεμνὰ ταῦτα καὶ γενναῖα καὶ λίαν ὀλίγοις ὑπάρξαντα τῶν πώποτε αὐτοκρατόρων, ἀλλ' ὅταν ἐννοήσωμεν τὴν ἡμέραν ἐκείνην ἧς ἐγινόμην αὐτόπτης, τότε σοι τῆς τε Ξέρξου σχεδίας ἐφ' ἧς διεβίβασε σὺν τῇ στρατιᾷ τὸν Ἑλλήσποντον, φαίνεται ἀμείνων ἡ μία ναῦς ἐφ' ἧς ὁ βασιλεὺς τὰς σπονδὰς ἐποιήσατο, καὶ τῆς γεφύρας τῆς διακομιζούσης τὸν πόλεμον ἡ διαδιδοῦσα ὁλκὰς τὴν εἰρήνην. ἐγὼ παρατάξεις μὲν οὐ τεθέαμαι Σκυθικάς, ἐκκλησίαν δὲ φόβου, καὶ συνέδριον καταπλήξεως, καὶ στρατηγὸν Ῥωμαίων ἐπιτάττοντα Σκυθῶν βασιλεῦσι· καὶ ἀλαλαγμοῦ μὲν οὐκ ἀκήκοα βαρβαρικοῦ, θρήνων δὲ καὶ ὀδυρμῶν καὶ δεήσεων, καὶ φωνῆς αἰχμαλώτοις μᾶλλον ἢ σπενδομένοις πρεπούσης· ἐφ' ὧν ἐπεκλάσθη τις ἂν καὶ ἀδάμαντος στερεώτερος. ἀλλὰ βασιλεὺς τῶν μὲν βαρβάρων πολλὰς ἀπέστρεψεν εἰς τοὐπίσω πρεσβείας ἀπράκτους, τὴν δὲ ἡμετέραν κατῃδέσθη. καί, ὡς ἔοικεν, ὑπὸ Σκυθῶν ὑμεῖς ἐχειροτονήσατε φιλοσοφίαν τὴν μόνην ἱκανήν τε ὀργὴν καὶ δίκαιον θυμὸν καταπραΰνειν. ὥστε μοι τότε μάλιστα ἔργον ἦν τοὺς ὑπὲρ φιλανθρωπίας λόγους ἐκμελετᾶν, καὶ δεικνύναι τῷ βασιλεῖ ὅτι μᾶλλον θεῷ παραπλήσιοι τῶν ἀναιρούντων οἱ σώζοντες. μόλις μὲν οὖν καὶ χαλεπῶς, ἀλλὰ συνεπείσθη. καὶ εἶξε, καὶ προσωρμίσατο πλησίον, σὺν εὐμενεστέρῳ τῷ σχήματι. ὁ μὲν οὖν Τρωϊκὸς ποταμὸς ἐκ ποδῶν καθίστατο Ἀχιλλεῖ κατὰ τῶν Τρώων παροξυνόμενος, θορυβῶν τῷ ἀφρῷ καὶ τοῖς κύμασι τὸν νεανίαν. Ἴστρος δὲ ἐπὶ πολέμῳ μὲν βασιλέως περαιουμένου, ἐζεύγνυτο ἄκων, συνδεῖσθαι δὲ μέλλοντι συμπροεθυμεῖτο, καὶ γαλήνην ἐθελοντὴς ὑπεστρώννυε ταῖς τὴν εἰρήνην πρυτανευούσαις τριήρεσιν. ἐσάλευον μὲν οὖν ὥσπερ ἐν ὅρμῳ τῷ ῥείθρῳ· καὶ ἔδοξας ἂν ἐρριζῶσθαι·

τὰς ναῦς ταῖς ἀγκύραις. εὐθὺς δὲ ἐκ προοιμίων ὅτι συγχωρεῖ τὰ σφέτερα αὖθις καρποῦσθαι, δῆλον ἐποίει, προάγων μὲν πλησίον, ἀποβῆναι δὲ μὴ θελήσας. οἱ δὲ ἐξεκέχυντο ἀγεληδὸν ἐπὶ τῆς ὄχθης ἥμεροι καὶ χειροήθεις, πλῆθος οὐ ῥητὸν ἀριθμῷ, τότε δὴ πρῶτον θαίοις μυριάδες τοσαῦται Σκυθῶν αὐτοῦ φροντίδος ὁρώμεναι. Ὦ μάκαρ Ἀτρείδη μοιρηγενὲς ὀλβιόδαιμον, εἶπεν ἄν τις ἀπιδὼν τηνικαῦτα εἰς ἄμφω τὰς ἠϊόνας τοῦ ποταμοῦ, τὴν μὲν ἀστράπτουσαν τοῖς στρατιώταις ἐν κόσμῳ τὰ δρώμενα θεωμένοις, μετὰ φρονήματος καὶ ἡσυχίας, τὴν δὲ ὁμάδου γέμουσαν συμμιγοῦς ἐπὶ γῆς ἐρριμμένων τὴν ἱκετηρίαν. μᾶλλον δὲ εἶπεν ἂν σε καὶ τοῦ Ἀγαμέμνονος ὀλβιώτερον. ὁ μὲν γὰρ οἷς ἦγε μόνον ἐμακαρίζετο, σὺ δὲ καὶ οἷς εἶχες καὶ οἷς συνεχώρεις. ἕτερος μὲν οὖν τῆς πρὸς Ἕλληνας ναυμαχίας οὔτε θεατὴς ἦν ἀνδρεῖος, ἀλλ' ἐκάθητο ὑπὸ σκηνῇ χρυσῷ σκιαζόμενος ὀρόφῳ, μαλακίας μᾶλλον ἢ πλούτου σημεῖον. βασιλεὺς δὲ καὶ ἐν ταῖς σπονδαῖς ἐπεδείκνυτο τὴν καρτερίαν ἣν οὐκ ἂν ἤνεγκαν πολεμούμενοι, ἐφ' ἡλίῳ σταὶς ἐπὶ τῆς νεὼς, ἡνίκα μάλιστα ἑαυτοῦ φλογωδέστερος ἦν, ἐπὶ ταὐτοῦ σχήματος ἐξ ἕω μέχρι δείλης ὀψίας. καταστὰς δὲ ὑπὲρ τῶν δικαίων εἰς ἀγῶνα πρὸς τοὺς βαρβάρους, νίκην ἐνίκα σεμνοτέραν καθ' ἑαυτὸν ἧς οὐδεὶς ἔτι κοινωνὸς ἦν, οὐ στρατηγὸς, οὐ ταξίαρχος, οὐχ ὁπλίτης. ἀλλ' ἐγὼ πάλαι μὲν τὴν ἀγχίνοιαν μόνον ἐτεθαυμάκειν, ἣ χρώμενον εἰς τὰ πράγματα καθεώρων, καὶ φύσεως ᾤμην κατόρθωμα εἶναι αὐτοφυῆ βασιλέα δημιουργούσης. δεινότητα δὲ τοσαύτην καὶ βάθους ὁμοῦ διανοίας, καὶ δρόμον ῥημάτων κεκερασμένον καταπλήξει καὶ ἑρμηνείᾳ, οὐδὲ ἐν ῥήπει τοῦτο ἔργον ποιουμένῳ ῥᾳδίως κατεῖδον. ὥστε μοι μικρὸς ἐφαίνετο ὁ Περικλῆς, καὶ ὁ τὸν Περικλέα τεθαυμακὼς

buſdam radicibus eſſe fixas. Statim vero initio declarauit ſeſe illis ſua omnia permittere, cùm propius naues applicans exſcendere noluiſſet. At illi gregatim in litus effundebantur manſueti, atque tractabiles, infinita numero multitudo, tot inquam millia Scytharum à Romanis tum primùm ſecuris ac nihil metuentibus conſpecta.

Felix Atride fato meliore create,

diceret aliquis qui tum vtramque fluminis ripam aſpiceret: alteram quidem militaribus collucentem copiis, modeſtè quæ gerebantur, atque audacter & quietè contuentibus: alteram abijcientium ſeſe humi ſupplicum promiſcuo ſtepitu, & clamore perſonantem: Vel potius Agamemnone te feliciorem eſſe diceret. Hic enim ob eos ſolum, quos ductabat, beatus prædicabatur: tu ob eos quos & habebas in poteſtate, & quibus iniuriam remittebas. Atque alter ille quondam naualis aduerſus Græcos certaminis ne ſpectator quidem fortis ac conſtans erat, qui in tentorio ſub tegmine aureo conſidebat, quod erat luxus potiùs quàm opum & diuitiarum indicium: Imperator autem etiam in ipſa pactione fortitudinem præferebat, quam in bello tolerare minimè potuiſſent. Etenim ſub ipſo Sole, quo tempore ardentiſſimus eſt, eodem habitu à primo diluculo ad veſperam vſque in naui perſtitit. Cúmque de conditionum æquitate cum barbaris contentionem ſuſcepiſſet, illuſtriorem per ſeſe victoriam reportauit: cuius partem ſibi nemo vindicaret, non Ducum quiſpiam, non Centurionum, non militum. At ego ſolam in eo prudentiam admirabar, quam ad res gerendas adhiberi ab eo animaduerteram, idque ab ipſa indole & natura fieri exiſtimabam, quæ natiuum ac ſine arte Principem formaret: acumen vero tantum ingenij, ac mentis altitudinem, & profluentem verborum copiam terrore ſimul atque humanitate temperatam, ne in oratore quidem vllo, qui id ex profeſſo ſuſciperet, animaduerti. Quare mihi tum exiguus Pericles videbatur: & qui Periclem ideo miratur,

quod Athenienſes vel confidentes nimium in terrorem metúmque oratione ſua conijceret, vel timore perculſos rurſus ad fiduciam atque audaciam reuocaret. Igitur ad Imperatoris orationem eodem affici modo Barbaros ſentiebamus, quo ab Oratore præſtantiſſimo Græcos atque Athenienſes affici nihil mirum videatur. Quanquam Patronum illi adhibuerant, qui neutrâ capi facilè poſſet, quique non perinde ingenio eſſet vt lingua barbarus, ſed intelligentia prudentiáque multo qumà armis peritior. Ideo enim Regis appellationem repudiat, vſurpat iudicis. Eſt enim illa potentiæ, hæc prudentiæ ſapientiæque propria. Verum reipſa tum eſt comprobatum, cauſam agere quàm iudicare multo eſſe difficilius. Et is ridiculus eſſe orator conuictus eſt, qui iudex alioqui optimus haberetur: ſiquidem adeo illum dicendi facultate ſuperabat, vt ipſiſmet Barbaris ſuum illum Patronum ſuſpectum redderet, & dicendi certamen ipſi, quàm armorum, operoſius efficeret. Verumenimuero proſtratum ac deiectum erexit illico, ac conſternato manum porrexit, eúmque ſub iiſdem iis teſtibus, qui ſe iniuria affectos crediderant, amicum effecit. Hoc autem eius erat, qui pauorem ac perturbationem diſcuteret quam antea concitaſſet. Abibat proinde præclarè ſecum actum exiſtimans, diuerſis ac contrariis affectibus correptus, confidens ſimul, ac metuens, contemnens ſibi ſubditos, ac ſuſpiciens: pro eo quidem, quod conuictus erat, animo concidens, quòd autem fœdus impetrarat, inſolenter ſeſe efferens. Vidiſſes tum incredibile, ac longo interuallo reuocatum ſpectaculum, pacem dantes non redimentes Romanos. Nemo hîc aurum barbaris numeratum vidit, non argenti tot talenta, non veſte oneratas naues, non ea quæ prius à nobis tolerabantur, cùm excurſione omni grauiorem atque acerbiorem pacem ac quietem haberemus, cum annuum tributum penſitaremus. Cuius quidem nomen ipſum, cum rei interim nihil nos puderet, eiurare ſolebamus. At Imperator quamuis alioqui munificẽtiſſimus,

ὅτι καὶ θαρσοῦντας Ἀθηναίους λέγων κατέπληττεν εἰς τὸ φοβεῖσθαι, καὶ δεδιότας εἰς τὸ θαρσεῖν αὐτίκα ἵστη. αἰσθανόμεθα οὖν πρὸς τοὺς λόγους τοῦ βασιλέως τὰ αὐτὰ τῶν βαρβάρων παθόντων ἃ πάλαι οὐδὲν ἦν θαυμαστὸν ὑπὸ τοῦ δεινοτάτου τῶν τότε ῥητόρων τοὺς Ἕλληνας καὶ Ἀθηναίους. καίτοιγε προσήγοροι εἶχον οὐδέτερα ληπτόν, οὐδὲ ὥσπερ γλώττῃ βάρβαροι, οὕτω δὲ καὶ τῇ διανοίᾳ, ἀλλ' ἐν ταῖς συνθήκαις μᾶλλον σοφώτεροι ἢ ἐν τοῖς ὅπλοις. οὕτω γοῦν τὴν μὲν τοῦ βασιλέως ἐπωνυμίαν ἀπαξιοῖ, τὴν τοῦ δικαστοῦ δὲ ἀγαπᾷ· ὡς ἐκεῖνο μὲν δυνάμεως πρόσρημα, τὸ δέ, σοφίας. ἀλλ' ἐφάνη δὴ τότε λίαν τοῦ δικάζειν αὐτὸ τὸ δικάζεσθαι χαλεπώτερον, καὶ διηλέγχθη γελοῖος ῥήτωρ ὁ κριτὴς ἄριστος εἶναι πεπιστευκώς. τοσοῦτον γὰρ αὐτοῦ τῇ δεινότητι περιῆν ὥστε τὸν συνήγορον τοῖς βαρβάροις ὕποπτον ποιῆσαι, καὶ καταστῆσαι τοῦ μετὰ τῶν ὅπλων ἀγῶνος τὸν διὰ τῶν λόγων αὐτῷ χαλεπώτερον. ἀλλ' ὅμως καταβαλὼν, εἶτα αὐτίκα καὶ χεῖρα ὤρεγε θορυβουμένῳ, καὶ φίλον ὑπὸ μάρτυσιν ἐποιεῖτο τοῖς ἀδικεῖσθαι πεπιστευκόσι. τοῦτο δὲ ἦν διαλύοντος τὴν ταραχὴν εἰς ἣν κατέστησεν. ἀπῄει οὖν λίαν ἀγαπητῶς, τοῖς ἐναντίοις πάθεσι κατειλημμένος, θαρσῶν ἅμα καὶ δεδιὼς, περιφρονῶν τοὺς ἀρχομένους καὶ ὑφορώμενος· οἷς μὲν διηλέγχθη, καταπεπτωκὼς τὴν ψυχὴν, οἷς δὲ ἔτυχε τῶν σπονδῶν, ἀπαυθαδιαζόμενος. ἦν οὖν θέαμα ἰδεῖν ἄπιστον καὶ διὰ πολλοῦ συμβεβηκὸς, διδόντας τὴν εἰρήνην Ῥωμαίους, οὐκ ὠνουμένους. οὐδεὶς εἶδε χρυσίον ἀπαριθμούμενον τοῖς βαρβάροις, οὐκ ἀργύρου τάλαντα τόσα καὶ τόσα, οὐκ ἐσθῆτος ναῦς γεμιζομένας, οὐχ ἃ πρότερον ὑπομένοντες διετελοῦμεν, βαρυτέραν τῶν καταδρομῶν ἐκκαρπούμενοι τὴν ἡσυχίαν, καὶ φόρον ἐτήσιον φέροντες, οὗ τὸ ἔργον οὐκ αἰσχυνόμενοι, τοὔνομα ἐξηρνούμεθα. βασιλεὺς δὲ καίτοι μεγαλοδωρότατος ὤν,

ὅμως τηνικαῦτα οὐκ ἠξίου φειδωλότατος νομισθῆναι, ὅς γε καὶ τὸ συνήθες αὐτῶν σιτηρέσιον περιῄρητο, καὶ ἀντὶ τῶν τοσῶνδε τῶν πρότερον κομιζομένων μόλις ἑνὶ συνεχώρει, τῷ παρὰ τὴν γλῶτταν διακονοῦντι· ὡς οὐδὲν μᾶλλον τοῦ ἔργου Σκύθαις ἢ Ῥωμαίοις προσήκοντος. οὕτω δὲ διὰ πάντων ἐφιλονείκησε δῆλον ποιῆσαι οὐκ ἀγαπήσας αὐτὸς τὴν εἰρήνην, ἀλλὰ φεισάμενος τῶν βαρβάρων. ὥστε οὐδὲ τὰς ἐμπορείας αὐτοῖς οὐδὲ τὰς ἀγορὰς, ἃς ἐπὶ τῆς προτέρας εἰρήνης ἐπ' ἀδείας εἶχον ὅποι βούλοιντο ποιεῖσθαι, νῦν ἐπ' ἐξουσίας ἔχειν ἀφῆκεν. ἀλλὰ καίτοι τοῦ κέρδους ὑπάρχοντος κοινοῦ τοῖς ἔθνεσιν ἀμφοτέροις ἐκ τῆς ἀμοιβῆς τῶν ἐν χρείᾳ συναλλαγμάτων, δύο μόνας πόλεις τῶν τῷ ποταμῷ προσῳκισμένων ἐμπόρια κατεσκευάσατο. τοῦτο δὲ ἦν ἅμα μὲν σημεῖον τοῦ πάντα ἐπιτάττοντα τοῖς βαρβάροις τὰς σπονδὰς ποιεῖσθαι, ἅμα δὲ πρόνοια τοῦ κακουργοῦντας ἧττον λανθάνειν, ἀποκεκλεισμένης αὐτοῖς εἰς τὰ ὡρισμένα χωρία τῆς ἐπιμιξίας. γινώσκει γὰρ, οἶμαι, σώζειν τοὺς βαρβάρους δυνάμεως ἔχων, τὴν φύσιν δὲ αὐτῶν ἀμείβειν οὐχ οἷός τε ὤν· ὥστε ἀφῄρητο αὐτῶν τὴν ῥᾳστώνην τῆς ἀπιστίας. διὰ τοῦτο γὰρ καὶ τῶν φρουρίων τὰ μὲν ᾠκοδόμησεν ἐκ καινῆς, τὰ δὲ ἀνέστησε καταπεπτειμμένα, τοῖς δὲ προσέθηκε τὸ ἐνδέον, ὕψος μὲν ἢ χθαμαλώτερον ἦν, πάχος δὲ ὅπου τούτου προσέδει, ὕδατος δὲ ἀφθονίαν, ᾗ ταύτῃ πρότερον ἐπιέζετο, τροφῶν δὲ θησαυροὺς ἁπανταχοῦ καὶ λιμένας τῆς γειτνιώσης θαλάσσης, καὶ στρατιώτας ἐκ καταλόγου, καὶ φρουροὺς τὸν ἀριθμὸν οὐ ψευδομένους· καὶ ὅπλα καὶ βέλη καὶ μηχανήματα ἅπαντα εἰς τὸ ἔσχατον ἐξηρτισμένα. τέως μὲν γὰρ ἐκ τῆς περὶ τὰς φρουρὰς ὀλιγωρήσεως ἐπεπιστεύκεισαν οἱ πολέμιοι ἐπ' αὐτοῖς ἀτεχνῶς κεῖσθαι καὶ τὸν πόλεμον καὶ τὴν εἰρήνην· ὁρῶντες τοὺς μὲν στρατιώτας οὐ μόνον ἀνόπλους, ἀλλὰ καὶ ἀχίτωνας τοὺς πολλοὺς, καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι καταπεπτωκότας, φρουράρχας δὲ καὶ ταξιάρχας,

eo tamen tempore videri parciſſimus non erubuit; qui inſuper conſuetam iis annonam detraxit, & pro tantis copiis quæ ad eos importabantur, vix vni exiguum aliquid conceſſit, quo vſus interprete fuerat: quaſi nihilo magis penſitatio ipſa ad Romanos, quàm ad Scythas pertineret. Ita porro per omnia palam iſtud facere pugnauit, non tam ſe cupiditate teneri pacis, quàm Barbaris velle parcere: adeò vt neque mercaturæ aut fori commercium quod ſuperiori pace magna vbique iis cum libertate conceſſum fuerat, in eorum arbitrio & poteſtate relictum voluerit. Verùm tametſi commune vtrique genti lucrum ex mutuis vltro citróque contractibus eſſet, in duabus nihilominus dumtaxat vrbibus flumini impoſitis Emporia conſtituit. Hoc autem eò pertinebat, vt & indicio eſſet à ſe ita fœdus iniri, vt omnia Barbaris ad nutum imperaret; & cautionis prudentiæque erat, vt concluſo certis ac definitis locis commercio, ſi quid malè agerent, latere facilè non poſſent. Nouit enim, opinor, illud, ſeruari à ſe poſſe Barbaros, naturam mutari non poſſe: ideóque omnem iis perfidiæ opportunitatem præcidit. Hæc enim cauſa eſt, cur Caſtella partim noua exſtruxerit, partim diſiecta ac ſubuerſa reſtituerit, partim quod deerat, adiunxerit: ſiue altitudini, ſicubi humiliora eſſent: ſiue craſſitudini, quâ parte id erat neceſſarium: tum aquæ copiam adiecerit, vbicumque eius inopia magnum incommodum afferebat. Addidit & horrea in omnibus locis, & vicino in mari Portus, & militem conſcriptum, & præſidia, quæ non inanibus nominibus numerum mentiantur. Prætèrea armorum ac telorum vim, & machinas, atque omnia ſummo cum ſtudio ac diligentia probata. Nam hactenus ob præſidiorum incuriam bellum ac pacem in ſuo vtique arbitrio ſita eſſe hoſtes crediderant; cùm milites non modo ſine armis, ſed magna ex parte ſine tunicis; & animis non minus quàm corporibus imbelles & abiectos animaduerterent:

Præfectos vero & Centuriones mercatores potius eſſe,ac mancipiorum inſtitores: quibus hoc vnum negotium incumberet,vt quam plurima emerēt & diſtraherent. Pręſidiariorum porro numerum imminui, quo eorum qui decrant ſtipendium priuatum illi ad lucrum interuerterent. Caſtella vero ipſa collapſa, ac tam viris quàm armis deſtituta. Quæ cum Barbari cernerent, non abſurdè ita de ſe ſentiebant,ſuperiores ſe in excurſionibus futuros. Quare vt bellum adhuc profiteri vererentur,licere tamen furtim omni cum impunitate pręda agere. Itaq; per omnē ripam non iam ſinguli, nō bini dūtaxat, ſed manipulatim ac turmatim oberrabāt, latrones ſcilicet nō milites,prędas ſuas, ſpolia nominantes. Non ita verò hoc tempore, ſed à ſuperiori regione, quaſi adamantinus quidem murus ad mare vſque perductus videatur: tanta Caſtellorum, armorum, militúmque munitione firmata omnis atque obuallata Prouincia eſt. Nam vt omittam cætera, vel vnum ſedulitatis in ea re ac diligentiæ argumentum intueri ſufficit. Dicam verò nō quę auditu alieno comperta ſunt,ſed quibus ipſe præſens ac ſpectator interfui. Nemo vtique veſtrum,qui quidem in ea regione fuerit,ignorare poteſt; illam ex omni Scythia, quæ huic imperio ſubiecta eſt,eſſe pulcherrimam; nequaquam tamē aduerſus Barbaros ſatis munitam, propterea quod non vno illam atque continuo curſu fluuius percurrat,ſed terrę permixtus paluſtrem atque vliginoſum ſinum efficiat, qui longo tractu in continentem excurrit,ita vt neque nauigari neque pedeſtri itinere permeari poſſit. Hæc igitur omnis regio cum antea receptaculum & arx quędam hoſtium eſſet,è qua identidem excurſiones facerent, non vt iuſtis & apertis copiis erūpere auderent,quod obtētu quodam pacis facere prohibebantur: ſed vt latrocinia dumtaxat expeditis atque vnius remorum ordinis nauigiis exercerent, ad exiguas inſulas clam in inſidiis collocati, ex improuiſo incolas opprimerent: atque interim dū eius rei fama ad præſidia perferretur, quæ longius à ſe inuicem erant diſſita, quacumq; poterant peruagantes ſeſe in fluuium reciperent.

Deinceps

ἐμπόροις μᾶλλον καὶ τῶν ἀνδραπόδων καπήλοις, οἷς τοῦτο μόνον ἔργον προὔκειτο, πλεῖστα μὲν ὠνήσασθαι, πλεῖστα δὲ καὶ ἀπεμπολῆσαι, τῶν φυλάκων δὲ ἐλαττοῦσθαι τὸν ἀριθμόν· ὅπως ἂν γίνοιτο κέρδος αὐτοῖς ἡ μισθοφορὰ τῶν ἐκλειπόντων. ταῦτα δὲ τὰ φρούρια κατερρυηκότα, γυμνὰ καὶ ἀνθρώπων καὶ ὅπλων. ταῦτ' οὖν ὁρῶντες, οὐκ ἀπεικότως ἐφρόνουν ἑαυτοὺς εἶναι ἀμείνους αὐτῶν ἐκδρομῶν. κἂν ἄρα δοκῇ τὸν ἐκ τοῦ προφανοῦς πόλεμον τέως δυσωπεῖσθαι, ἀλλά τοι γε κλωπεύειν αὖθις ἐπ' ἀδείας καθεστηκέναι. διεσπείροντο οὖν ἁπανταχόσε τῆς ὄχθης οὐ καθ' ἕνα καὶ δύο μόνον, ἀλλ' ἤδη καὶ κατὰ λόχους καὶ οὐλαμούς, λῃσταὶ δῆθεν, οὐ στρατιῶται, φώρια τὰ λάφυρα ὀνομάζοντες· ἀλλ' οὐ νῦν. ἀλλ' ἄνωθεν μέχρι θαλάττης δόξαις ἂν τεῖχος ἀδαμάντινον ἐληλάσθαι· τοιούτῳ καταπεπύκνωται χαρακώματι φρουρίων, ὅπλων, στρατιωτῶν. ἵνα γὰρ τἄλλα παρῶ, ἓν ἐξαρκεῖ τεκμήριον ἐκλογίσασθαι τῆς περὶ ταῦτα ἐπιμελείας. ἐρῶ δὲ οὐκ ἀκοὴν ἀλλοτρίαν, ἀλλ' ὧν αὐτὸς γέγονα θεατής. ἴστε δήπου τοῦτο ὅσοι γεγόνατε ἐπὶ τῆς χώρας ἐκείνης, ἣ καλλίστη μέν ἐστι τῆς Σκυθικῆς τῆς ὑπηκόου, ἥκιστα δὲ ἀσφαλὴς πρὸς τοὺς βαρβάρους, ἅτε οὐ διαρρέοντος αὐτὴν τοῦ ποταμοῦ, ἀλλ' ἀναπεφυρμένου τῇ γῇ, καὶ τενάγεσι κόλπον ποιοῦντος εἰσέχοντα ἐπιπολὺ τῆς ἠπείρου, οὔτε ναυσὶν ὄντα πλωτόν, οὔτε βατὸν πορευσίμοις. αὕτη τοίνυν ἡ χώρα τέως μὲν ὁρμητήριον καθεστήκει ταῖς ἐκδρομαῖς τῶν πολεμίων, στρατῷ μὲν ἀθρόῳ καὶ προφανεῖ μὴ θαῤῥούντων, διὰ τὸ πρόσχημα τῆς εἰρήνης, κλωπείας δὲ καὶ κακουργίας ἐν τοῖς μονήρεσι πλοίοις ποιούμενοι καὶ ναυλοχοῦντες περὶ τὰς νησῖδας ἐνέπιπτον ἐξαίφνης τοῖς προσοικοῦσιν. εἶτα ἐν ὅσῳ συνῃσθάνοντο οἱ φρουροὶ πόῤῥωθεν ἀλλήλων ἀφεστηκότες, καταδραμόντες ὅσα τε ἦν οἷόν τε, ἐγκατεδύοντο τῷ ποταμῷ,

τοὐντεῦθεν δὲ ἄπορον ἦν τὸ διώκειν, μήτε πλεῖν μήτε βαδίζειν συγχωροῦντος αὐτοῖς τοῦ τενάγους. καὶ τὸ πρᾶγμα οὐκ ἦν αἰσχρόν, ἐν ὀφθαλμοῖς λεηλατεῖσθαι ἀμηχανοῦντας πρὸς τὴν τιμωρίαν. ἀλλ' ὁ βασιλεὺς οὔτε πρὸς τὴν φύσιν τοῦ τόπου δυσμήχανος ἦν· ἀλλ' ἐξευρὼν τῆς γῆς ἐκείνης λεπτὴν ταινίαν ἐς τὸ τέναγος προσιοῦσαν καὶ τελευτῶσαν εἰς ὄχθον ὑψηλόν, ὅθεν οὐ πολὺ τὸ πέριξ ἄποπτον ἦν, ἐπετείχισε φρούριον ἐκ καινῆς, ἀμυδροῖς τείχεσιν ἀκολουθήσας, ἃ τῶν πρότερον τις αὐτοκρατόρων διὰ μὲν τὸ χρήσιμον κατεβάλετο, πρὸς δὲ τὴν δυσχέρειαν ἀπεῖπεν. ὅπου γὰρ οὐ λίθος πλησίον, οὐ πλίνθος ὀπτή, οὐ κονία μετὰ ῥᾳστώνης, ἀλλὰ σκευαγωγεῖν ἅπαντα χρὴ σταδίους τόσους καὶ τόσοις μυριάσιν ὑποζυγίων, τίς οὐκ ἂν συνέγνω τοῖς ἀποστᾶσιν ὡς ἀμηχάνου τῆς ἐπινοίας; βασιλεὺς δὲ ἐνίκα τὴν Ἀμφίονος μουσικήν, ἣν οὐχ ἑνὸς εἰς τὸν τειχισμὸν τῶν Θηβῶν ἐνεδείξατο. εἶπες ἂν αὐτομάτους μὲν φέρεσθαι τοὺς λίθους, αὐτομάτην δὲ τὴν πλίνθον, τεκτόνων δὲ ἄνευ καὶ λιθολόγων ἀνιέναι τὸ ἐπιτείχισμα. τοσαύτη μὲν ἡ τῶν στρατιωτῶν εὐπείθεια, τοσαύτη δὲ ἡ τῶν χαλεπῶν εὐκολία. κατανείμας γὰρ εἰς ἅπαντας τὴν φροντίδα, καὶ μηδὲν μέρος συγχωρήσας τῆς στρατιᾶς ὑπὲρ δύναμιν πιεσθῆναι, ἀλλ' ὥσπερ φορτίον τὸ ἔργον εἰς μικρὰ διελών, οὐκ εἴασεν οὐδ' ὁντιναοῦν αἰσθέσθαι τοῦ ἄχθους, τῷ πάντας μείζους ποιῆσαι, καὶ προθυμότερον ἑαυτὸν ἐκ τοῦ πλείονος. ἆρα πιστεύσητε ἄν μοι ὅτι μηδὲ τῶν κατευναστῶν ἀπέσχετο, μηδὲ τῶν προκοίτων, ἀλλὰ κἀκεῖνοι συνεισήνεγκαν μέτρον ὡρισμένον κεράμου συντετριμμένου; ἐγὼ δὲ τέως ἐθαύμαζον τὸν Ἀλκίφρονος Δημοσθένην τοῦ περιτειχίσματος τῆς Σφακτηρίας, ὅτι τοῖς στρατιώταις οὕτως ἐχρήσατο εὐηκόοις, ὥστε δι' ἀπορίαν σκευῶν, τὸν πηλὸν φέρειν ἐπὶ τῶν νώτων, ὀπίσω τὼ χεῖρε συμπλέκοντας, ἀνθρώπους οὐ πλείους ἢ χιλίους, καὶ τούτους ἐρέτας μᾶλλον ἢ ὁπλίτας, ὑπὸ χειμῶνος ἀπειλημμένους, θριγκίον οὐ τεῖχος κατασκευάζοντας.

Deinceps vero perſequi illos nemo poterat, cùm neq; nauigio neque pedib. iter facere liceret. Erat ſanè rei huius miſerandus cumprimis atq; intolerabilis aſpectus, diripi, ac populari ante oculos; nec vindicare vllomodo poſſe. Verùm Imperatori ne aduerſus quidem loci naturã quod excogitaret, defuit. Nam cum illius terræ anguſtum atq; exiguum dorſum ad paludes pertinẽs, & in editũ collem deſinens reperiſſet, è quo facilis in ſubiectam vndequaq; regionem proſpectus pateret, ei de integro caſtellum impoſuit, obſcuris murorum veſtigiis inſiſtens, quos ſuperiorum Imperatorum aliquis loci opportunitate perſpecta fundauerat quidem, ſed difficultate deterritus omiſerat. Nam vbi neque lapidum, neque cocti lateris è proximo copia eſt, neque calx commode comparari poteſt, ſed innumeris iumẽtis ad multa ſtadia cõuehenda omnia ſunt, quis non facilè ignoſcat iis, qui ab eó conſilio, tanquam perfici nullo modo poſſet, deſciuerint? Verum Imperator Amphionis muſicam, quam in ædificandis Thebarũ mœnibus oſtendit, facilè ſuperauit. Diceres ſponte lapides ipſos, & lateres aduolui, ac ſine Architectis & Lapidariis per ſe murorum fabricam aſſurgere. tanta erat militum obedientia, & difficillimis in rebus facilitas. Etenim diuiſa in omnes æqualiter cura, nec vllam exercitus partem ſupra vires opprimi ſinens, ſed vt onus aliquod, ita munus ipſum exiguas in partes diſtribuens, neminem iniũcti operis grauitatem ſentire permiſit, quòd eius partem omnibus aliquam, ac ſibi ipſi præcipuam impoſuiſſet. Credetiſne hoc mihi, ne Cubiculariis quidem illum, aut Antecubitoribus abſtinuiſſe, ſed eos omnes certam comminutæ teſtæ menſuram tuliſſe? At ego antea Demoſthenem illum Alciphronis filium mirabar, ob munimentum ab eo in Sphacteria exſtructum, quòd ita dicto audientes milites habuiſſet, vt cum vaſa nulla ſuppeterent, complicatis à tergo manibus, lutum humeris portarent, qui non plures quàm mille, remigéſque potius quàm milites erant, tempeſtate intercepti, nec tam murum, quàm ſeptum quoddam ac vallum, moliebantur.

Vbi vero Centuriones ac Duces ſupponere ſeſe oneri non dubitabant, quis vel eum, qui ſic inſtituerat ſuos, vel eos qui ſic inſtituti eſſent, ſatis pro dignitate mirabitur? Et nunc per omnes fere Imperij limites propagata pax eſt: propagatus item belli nihilominus apparatus. Hoc enim Imperator intelligit, illos maximè veram ac ſinceram pacem agere, qui maximè ſunt ad bellum gerendum parati. Eſt autem ripa fluminis præſidiis referta, & præſidia militibus, & milites armis, & arma pulcritudine, & firmitate. Cæterum ex ordinibus ipſis excluſo omni luxu, neceſſariarum rerum inducta copia eſt; qua quidem fit, vt qui in pręſidiis ſunt, minimè cogantur hoſtium loco Prouincialibus bellum indicere; minimè ab illis quidem propter inducias abſtinere, Agricolas verò præ inopia vexare, ac diripere. Sed neſcio quomodo contrario quàm antè ordine conuerſus in militibus metus, atque audacia reperitur. Siquidem cùm Barbaros aſpernantur, tum mirum in modum agricolas formidant, & eorum querimonias ſuſtinere terribilius putant, quàm ſi innumera Scytharum millia ingruerent. Ita planè nos intus foriſque pace continemur; dum & hoſtes armorum noſtrorum, & milites legum metus coercet. Scythas vero à Romanorum finibus non interiectum flumen, non paludes, non munitiones excludunt: (hæc enim omnia facilè & conuelli, & tranſmitti nauigiis, & ſuperari poſſunt) ſed terror, ac metus dumtaxat, quem nemo vnquam tranſcendit, qui ſe inferiorem viribus putaret. Atque huius victoriæ trophæum non lapide ibidem erectum, non ex argento aurove vno in loco defixum manet: ſed in Barbaris omnibus, omnibus Romanis conſtitutum atque collocatum eſt. Nec hoc cædium aut vulnerum multitudine, non infinitis cadauerum aceruis, ſed ſola conſtantia ac fortudine à principe eſt excitatum. Fuiſſe olim maiorum noſtrorum ætate pugilem quendam Melancomam nomine ferunt,

ὅπου δὲ ταξίαρχοι καὶ στρατηγοὶ ἀχθοφορεῖν οὐ παρῃτοῦντο, πῶς ἄν τις ἀγάσαιτο πρὸς ἀξίαν ἢ τὸν παιδεύσαντα οὕτως ἢ τοὺς οὕτω πεπαιδευμένους; καὶ νῦν παρατέτακται μὲν ἡ εἰρήνη διὰ πάντων σχεδὸν τῶν μεθορίων, παρατέτακται δὲ ἡ τοῦ πολέμου παρασκευή. οἶδε γὰρ βασιλεὺς ὡς ἐκεῖνοι μάλιστα ἀληθεύουσιν ὅσοι μάλιστά εἰσι πρὸς τὸν πόλεμον ηὐτρεπισμένοι· γέμει δὲ ἡ μὲν ἔσχατα φρουρίων, τὰ δὲ φρούρια, στρατιωτῶν, οἱ στρατιῶται δὲ ὅπλων, τὰ δὲ ὅπλα κάλλους ἅμα καὶ ἀσφαλείας. καὶ τρυφὴ μὲν ἐξελήλαται τῶν καταλόγων, περιουσία δὲ ἀντεισῆκται τῶν ἀναγκαίων. διὸ καὶ οἱ φρουροῦντες οὐκ ἀναγκάζονται ἀντὶ τῶν βαρβάρων πολεμεῖν τοῖς ὑπηκόοις, κἀκείνων μὲν ἀπέχεσθαι διὰ τὰς σπονδάς, φέρειν δὲ καὶ ἄγειν τοὺς γεωργοῦντας διὰ τὴν ἔνδειαν· ἀλλ' ἀντέστραπται οὐκ οἶδ' ὅπως τοῖς στρατιώταις πρὸς τὴν εἰωθυῖαν τάξιν ὁ φόβος καὶ ἡ θρασύτης. καταφρονοῦσι μὲν γὰρ τῶν βαρβάρων, ὑποδεδοίκασι δὲ τοὺς γεωργούς. καὶ τὸ παρ' ἐκείνων μέμψιν ὑπομεῖναι, φοβερώτερον αὐτοῖς ἢ μυριάδες Σκυθῶν ἐπιοῦσαι. οὕτω καὶ ἔξωθεν καὶ ἔνδοθεν ἡμᾶς εἰρήνη κατέχει, τοὺς πολεμίους μὲν ὁ τῶν ὅπλων φόβος, τοὺς στρατιώτας δὲ ὁ τῶν νόμων. διείργει δὲ Σκύθας Ῥωμαίων οὐ ποταμός, οὐ τέναγος, οὐ θριγκία, (ταῦτα μὲν γὰρ ἄν τις καὶ διακόψειε καὶ διαπλεύσειε καὶ ὑπερβαίη) ἀλλὰ φόβος ὃν οὐδεὶς πώποτε ὑπερέβη, καταδεέστερα εἶναι πεπιστευκώς. καὶ τρόπαιον ἕστηκε ταύτης τῆς νίκης, οὐκ ἐκ λίθου πεποιημένον, οὐδὲ χαλκοῦν ἢ χρυσοῦν πεπηγὸς ἐφ' ἑνὸς χωρίου, ἀλλ' ἅπασι μὲν βαρβάροις ἅπασι δὲ Ῥωμαίοις ἐνδιαιτώμενον. καὶ τοῦτο ἀνέστησεν βασιλεὺς οὐ πλήθει φόνων καὶ τραυμάτων, οὐδὲ σωρεῖς νεκρῶν ἀδιηγήτων, ἀλλὰ μόνῃ τῇ προεδρίᾳ καὶ τῇ καρτερίᾳ. ἦν τις ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων πύκτης ἀνήρ, Μελαγκόμας ὄνομα αὐτῷ,

κάλλιστός τε καὶ μέγιστος καὶ τὴν τέχνην εὐδοκιμώτατος, οὗ καὶ τὸν Τίτον φασὶν ἐραστὴν γενέσθαι τὸν αὐτοκράτορα. οὗτος οὐδένα πώποτε τρώσας, οὐδὲ πατάξας, μόνῃ τῇ στάσει καὶ τῇ τῶν χειρῶν ἀνατάσει πάντας ἀπέκναιε τοὺς ἀντιπάλους. ἀπήεσαν οὖν τῇ μὲν φειδοῖ χαίροντες, τῆς δὲ παρασκευῆς ἡττημένοι. τοῦτο καὶ πρὸς τὸν βασιλέα νῦν πεπόνθασιν οἱ πολέμιοι. νενίκηνται γὰρ αὐτὴν τοῦ παρατάξαντος, καὶ πεπλώκασιν αὐτὴν τοῦ στῆναι. οὐ γὰρ τοῖς σώμασιν ἥττηνται, οὐδὲ τοῖς ὅπλοις, ὑφ' ὧν καὶ οἱ βελτίους πολλάκις ἐλαττοῦνται τῶν φαυλοτέρων, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ διανοίᾳ, καὶ τὸ πολὺ χείρους εἶναι πεισθῆναι. οὔκουν παρίεσιν αὐτοῖς ἢ κλέμμα στρατηγῶν αἰτιάσασθαι, ἢ ἐνέδρας ἢ δυσχωρίαν, ἢ τὸ ἀδοκήτοις ἐπιπεσεῖν, ἃ δίδωσιν ἐλπίδα τοῖς ἡττημένοις τοῦ πάλιν ἐκ τῆς ἴσης ἀναμαχέσασθαι. ἀλλὰ καὶ χρόνον προσλαβόντες εἰς παρασκευὴν καὶ πόλεμον νόμιμον καὶ προφανῆ πολεμούμενον, οὐκ ἤνεγκαν τὴν προσβολὴν τοῦ βασιλέως, ἣν προβαλλόμενος ἐν τρισὶν ὅλοις ἐνιαυτοῖς, ἀπειπεῖν ἠνάγκασε τοὺς δειλαίους· ἐν οἷς οὔτε χειμῶνος ἀντεπελθεῖν, οὔτε θέρους ἀντιστῆναι τολμήσαντες, δὶς καθ' ἕκαστον ἔτος ἡττῶντο, καὶ νῦν παρίεσιν ἡμῖν οὐ τοὺς νεκροὺς ἀριθμεῖν, ὅσον κρείττους γεγόναμεν, ἀλλὰ τοὺς ζῶντας· οὐδὲ κεκρατηκέναι μὲν, οὓς δὲ ἐκρατήσαμεν μὴ ἔχειν. οὕτω γίνονται κρείττους ἄνθρωποι ἀνθρώπων, ἐκείνως δὲ, ἄρκτων καὶ συῶν καὶ παρδάλεων. καίτοιγε ἐκείνων σπέρμα κυνηγετοῦντες ὑπολιμπάνομεν, ὁ δ' ἐξαίρων παντελῶς, ἀλιτήριος τῆς ἄγρας νομίζεται. εἶτα θηρείων μὲν τῶν ἀγριοτάτων, ἃ διείργει πρὸς ἡμᾶς οὐκ Ἴστρος οὐδὲ Ῥῆνος, ἀλλ' ἡ φύσις αὐτὴ, φειδὼ ποιούμεθα, ὅπως ἂν τὸ γένος σώζοιτο καὶ διαμένοι, καὶ δυσχεραίνομεν ἐξηρημένων ἐκ Λιβύης μὲν ἐλεφάντων, ἐκ Θετταλίας δὲ, λεόντων, ἐκ δὲ τῶν ἑλῶν τῶν περὶ τὸν Νεῖλον, τῶν ἵππων τῶν ποταμίων·

ab Imperatore Tito vnicè dilectum, qui & pulcherrimus idem, & maximus eſſet, & in arte ſua celeberrimus. Hic nemine vnquam conuulnerato, neq; verberato, ſtatu ipſo tantum, ac manuum intentione aduerſarios fatigabat. Abibant itaque hac hominis indulgentia gaudentes; ſed facultate ac præparatione illius inferiores. Eodem modo nunc & hoſtes erga imperatorem ſunt affecti: qui & nullo aciem inſtruente debellati ſunt, & cum non antè in prælio ſtetiſſent, tamen ceciderunt. Neque enim corporibus aut armis ſuperati ſunt, in quibus fortiores plerumque à deterioribus vincuntur; ſed conſilio atque prudentia: tum quod multo ſe inferiores agnouerunt. Quamobrem neque occultas Ducis artes prætexere poſſunt, nec inſidias, aut loci difficultatem, aut improuiſos atque inopinatos impetus: quæ omnia ſpem victis faciunt, poſſe ex æquo omnia ab ſeſe aliquando recuperari. Sed cum ad apparatus bellicos etiam temporis ſpatium accepiſſent, cúmque legitimum iis & apertum bellum eſſet indictum, Imperatoris tamen in muniendis protegendíſque finibus ſolertiam ferre nequiuerunt: quam cum tres totos annos iis obieciſſet, miſeros ad deſperationem redegit. Quoquidem tempore cum nec per hiemem excurſiones facere, nec æſtate reſiſtere auderent, bis ſingulis annis expugnabantur. Et nunc id nobis ſupereſt, non vt mortuos quos bello vicimus, ſed vt viuos numeremus, neque vt quos vicerimus, minimè in noſtra poteſtate habeamus. Hoc modo homines hominibus ſuperiores ſunt, illo verò vrſis, apris, atque pardis. Quanquam horum etiam ſemina in venatione relinquimus: quæ ſi quis penitus tollit, hic venationis pernicies exiſtimatur. Itáne verò? Ferociſſimis quibuſque belluis, quas non Danubius, non Rhenus à nobis, ſed natura ipſa ſecernit, parcendum putabimus, vti genus ipſum harum ſeruetur, ac permaneat; neque æquo feremus animo, ſi aut Elephanti ex Africa, aut ex Theſſalia Leones, aut ex paludibus quæ Nilo adiacent, Hippopotami funditus omnes tollantur:

Hominum interim nationem integram, hominum, inquam, quamlibet quiſquam barbarorum dixerit, ad pedes deiectam, ſubmiſſam, & in noſtra ſe eſſe poteſtate confitentem, qui non ſuſtulerit è medio, ſed ſeruauerit, ac pepercerit; non eum optimo iure mirabimur? Venit enim mihi in mentem veterum Imperatorum: quorum vnus, pro eo quod Græciam euertiſſet, Achaicus eſt nominatus: alter Macedonicus, quod Macedoniæ vaſtitatem ac ſolitudinem intuliſſet. Scipio vero ille magnus ſummi Scipionis nepos à S. P. Q. R. Africani cognomen obtinuit, quòd defeſſam ac penitus afflictam Carthaginem ſolo æquaſſet, ac perdidiſſet. Quod ſi ex iis Populis, quos illi profligauerant, meritò hæc cognomina ſunt conſecuti, quanto iuſtiùs es ab iis quos ſeruaris, appellandus? Ita & enim & Deos ipſos, opinor, vocamus; velut Pelaſgicum Iouem, Apollinem Amyclæum, Cyllenium Mercurium, ab iis ſcilicet locis, quæ amant præcipuè, & quę potiſſimum conſeruant. Quemnam igitur Gotthicum appellari conuenit? per quem Gotthi ſalui adhuc atque incolumes ſunt, an per quem ne eſſent quidem, ſi capere antè potuiſſet? Pyrrhus quondam Epirotarum Rex fuit, qui ſæpe Macedonas, ſæpe Græcos vexauit, ac tandem poſtremo etiam Romanis ipſis plurimum negotij ac moleſtiæ attulit. Hic cum varia variis temporibus obtinuiſſet, nunquam iis quæ habebat, contentus eſſe potuit, cùm ea ſemper, quorum nondum compos eſſet, reſpiceret. Quare id illi contigit, vt alia ex aliis bella ſuſcipiens, ipſa tandem victoria conſumeretur. Nec quicquam Cineas profuit, cum diu antè immodicam illius cupiditatem argueret, atque ita moneret, frequentium illorum atque inutilium periculorum terminum iam tum haberi domi poſſe, ſi proſperè omnia ſuccederent, eóque licere apud ſe manentem, ac relictum à maioribus imperium conſeruantem, cum ſecuritate perfrui. Verum qui maiora ſemper appetunt, nullo contineri termino, nullis limitibus coerceri poſſunt, neque ſi mare Atlanticum definias.

ἔθνος δὲ ἀνθρώπων, καὶ εἰ πάνυ φαίη τις βαρβάρων, ἀλλὰ ἀνθρώπων, ἐπιεικὲς, ὑποκύπτον, ἐφ' ἡμῖν κεῖσθαι ὁμολογοῦν, οὐ θαυμασόμεθα τὸν μὴ παντελῶς ἐξελόντα, ἀλλὰ περιποιησάμενον καὶ φεισάμενον; ἀναμιμνήσκομαι δὲ ὅτι τῶν παλαιῶν αὐτοκρατόρων ὁ μέν τις Ἀχαϊκὸς ἐπεκλήθη, ὅτι τὴν Ἑλλάδα ἀνάστατον ἐποίησε· Μακεδονικὸς δέ τις ἕτερος, ὅτι τὴν Μακεδονίαν ἔρημον καὶ ἀοίκητον. Σκιπίων δὲ ὁ μέγας ἐκεῖνος, ὁ τοῦ πάνυ Σκιπίωνος υἱιδοῦς, τὸν Ἀφρικανὸν ἐκτήσατο ἐπώνυμον παρὰ τοῦ δήμου καὶ τῆς γερουσίας, ὅτι Καρχηδόνα ἀπειποῦσαν καὶ παντελῶς ἐκτετρυχωμένην εἰς ἔδαφος κατήρραξε καὶ ἠφάνισεν. Εἰ δὲ ἐξ ὧν ἀπώλλυον οὗτοι, τὰς ἐπικλήσεις ἐκομίζοντο δικαίως, πολλῷ σὺ δικαιότερον ἂν ἐξ ὧν περιεποίησας, ὀνομάζοιο. οὕτω γὰρ καὶ τοὺς θεοὺς οἶμαι καλοῦμεν, τὸν μὲν Δία Πελασγικὸν, Ἀμυκλαῖον δὲ τὸν Ἀπόλλωνα, Κυλλήνιον δὲ τὸν Ἑρμῆν, ἐξ ὧν μάλιστα ἀγαπῶσι χωρίων, καὶ ἃ μάλιστα διασώζουσι. τίνα οὖν ἐπικαλεῖσθαι μάλιστα Γοτθικὸν προσήκει, δι' ὃν εἰσὶ Γότθοι καὶ σώζονται, ἢ δι' ὃν οὐκ ἔτ' ἂν ἦσαν, εἰ προείλετο; Πύρρος ὁ τῶν Ἠπειρωτῶν βασιλεὺς, πολλὰ μὲν Μακεδόσι, πολλὰ δὲ Ἕλλησιν ἐνοχλήσας, τὰ δὲ τελευταῖα καὶ Ῥωμαίοις παρασχὼν πράγματα· οὗτος πολλῶν κρατήσας πολλάκις, οὐδεπώποτε ἠγάπησε τὰ παρόντα, ἀλλ' ὧν οὔπω κύριος ἦν, μόνα ἑώρα. συνέβη τοίνυν αὐτῷ πολέμους ἐκ πολέμων ἀλλαττομένῳ ἐν ταῖς νίκαις ἀναλωθῆναι· καὶ οὐδὲν ὤνησε Κινέας πόρρωθεν αὐτοῦ τὴν ἀπληστίαν ἐπιρραπίζων· ὅτι τῶν πολλῶν καὶ ἀνηνύτων κινδύνων ἐκείνων τὸ πέρας οἴκοθεν ἐπινοήσαν εὐπραγήσῃ. οὗ καὶ νῦν ἔξεστιν οἴκοι καθημένῳ, καὶ ἣν προέλαβεν ἀρχὴν διασώζοντι, ἀπολαύειν μετὰ ἀσφαλείας. ἀλλ' οὐχ ἵστησι τοὺς ἀεὶ τοῦ πλείονος ὀρεγομένους πέρας οὐδὲν, οὐδ' ὄρος οὐδεὶς, οὐδ' ἂν πέλαγος εἴπῃς Ἀτλαντικόν.

οἷς γὰρ οὐ πέπηγεν ὅρος ἐν τῇ ψυχῇ, οὐδὲ ἐν τῇ γῇ. πολεμοῦσι δὲ, τὴν ἑαυτῶν ἐμπιπλάντες ἐπιθυμίαν, οὐ τῷ κοινῇ συμφέροντες προνοούμενοι. ἀλλ' οὐ βασιλεὺς, ἀλλ' ἄρχει τύπου χαλεπὸς καὶ ἀπαραίτητος ἄρχεις ἀεὶ τὸ κοινὸν ὕποπτον ᾖ. τούτου δὲ αὐτῷ εὖ κειμένου, τὰ λοιπὰ εἶναι δοκεῖ περιττὴ φιλοτιμία. ἀλλὰ τὰ μὲν πρὸς τοὺς βαρβάρους εὖ ἔχει καὶ ἕξει· σὺ δέ μοι τὴν εἰρήνην τοῖς ὑπηκόοις ἔγκαρπον ποίει καὶ ἐνεργὸν, καὶ χωρείτω διὰ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς ἀρχῆς. ἄκουε γὰρ Πλάτωνος τοῦ θεσπεσίου ὅτι μήτε Κῦρος μήτε Δαρεῖος βασιλεὺς ἦν· πολλῷ δὲ μᾶλλον τὸν Ἀλέξανδρον οὐκ ἂν ἔφη. ἐοίκασι γὰρ ἅπαντες οὗτοι, καθάπερ σώματος, τῆς ἀρχῆς, ὅπως μὲν τὸ ἔξωθεν φανήσεται, περιϊδεῖν, ὅπως δὲ καὶ ἔνδοθεν ὑγιαίνοι, μὴ φροντίσαι. καὶ δῆτα συμβέβηκεν αὐτοῖς, στρατηγοῖς μὲν γενέσθαι, βασιλεῦσι δὲ μή. ἔστι δὲ στρατηγίας μὲν ἔπαινος ἡ τῶν πολεμίων καταστροφὴ, βασιλείας δὲ, ἡ τῶν ὑπηκόων εὐδαιμονία.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΤΡΕΠΤΙΚΟΣ Οὐαλεντινιανῷ νέῳ.

ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

Ὦ Παῖ δυοῖν ἀηττήτων πατέρων οὐκ οἶδα ὅ,τι σε προσειπὼν μᾶλλον τύχοιμι τοῦ προσήκοντος, πότερον τὸ μέλλον ἢ τὸ ὁρώμενον. σοὶ γὰρ δὴ μόνῳ τὸ πέρας τῆς ἐν ἀνθρώποις τιμῆς ἁπάσης, ἀρχὴ γίνεται καὶ ὑπόστασις, καὶ οὐ καταλύουσιν οἱ τὰ μήκιστα αὐξηθέντες,

Qui enim nullum in animo ſuo conſtitutum finem habēt ne in terra quidem habere vllum queunt. Bella vero ideo ſuſcipiunt, ſuam vt cupiditatem exſatient, non vt publicæ vtilitati conſulant. Non ea fuit Imperatoris noſtri ratio: ſed eouſque difficilem ſe atque inexorabilem præbuit, quoad Reip. ſtatus incertus, & adhuc ſuſpectus fuit. Qui vbi primum ab eo conſtitutus eſt, in reliquis ſuperuacua videtur, & inutilis ambitio. Etenim quæ ad Barbaros pertinebant, præclarè ſeſe habent, & habebunt in poſterum: Tu vero ſubditis fructuoſam pacem & efficacē conſtitue, vti per vniuerſum, vt ita dicam, Imperium propagetur. Audi enim quid à diuino Platone dicatur: Neq; Cyrum, neque Darium reges extitiſſe: multóq; magis fuiſſe Alexandrum negaret. Videntur enim ſic omnes imperio ſuo perinde atque corpori prouidiſſe, vt ſpecie tenus, atque exterius incolume appareret: vt autem intus ſanum eſſet ac vegetum, nullam curam habuiſſe. Quare hoc etiam iis contigit, belli vt duces, non vt reges euaderent. Eſt autem ducis laus in debellatione hoſtium, Regis vero in ſubditorum ſibi felicitate poſita.

AD VALENTINIANVM IVNIOrem adhortatoria.

ORATIO XI.

O Duorum inuictiſſimorum Patrum ſoboles, haud ſatis ſcio quemadmodum te potiſſimum compellans, quod æquum atque conſentaneum eſt, tibi tribuam: num ex eo quod futurū eſt, an ex eo potius quod in te modo cernimus, appellare te debeā. Hoc.n. quod humanarū omnium dignitatū faſtigium eſt, vni tibi initiū, & quaſi fundamentū eſt: atq; vbi deſinere illi ſolēt, qui per continuos honorū gradus altiſſimè prouecti ſunt,

inde tibi ſplendoris eſt ac dignitatis primordium deductum. Vides porrò, & hunc pręſentis tecum Imperij participem. Cui etſi quod erat eius virtuti debitum, ſuo admodum tẽpore à Parentib. tuis perſolutum eſſe quiſpiam dixerit, hoc illi tamen in eo honore ampliſſimum contingit, quòd dignitatis tecum ſit ſocietate coniunctus; & hoc ipſum quod ſecundo abs te loco electus eſt, maius ſibi ad gloriam atque exiſtimationem nominis putat, quàm ſi alterum quempiam præcederet. Accedit quod ex iis quæ ille vnquam conſecutus eſt, hoc ei maximũ ac pręcipuum tribuatur; tibi vero iſtud ipſum ampliſſimum minimũ ſit ex iis quæ poſtea conſequeris. Atq; ea demum omnia ſibi conſentanea ac conſequẽtia ſunt. Tu enim ex felici familia primus hactenus purpura ab incunabulis inuolutus es; te ab ipſo iam partu victoria excepit; eadem fouit aluitq; victoria: tum à victoria cognominatus Vir, ſeu victorię potius autor ſæpius, primi tecum Magiſtratus collegiũ obtinet. Felix procul dubio omen eorum inſignium, ac trophæorum, quæ temporis progreſſu conſtitues. Iam vero in vlnis circumlatus adhuc in expeditionem cum Patre proficiſceris, cum eo exercitum ducis, neque te in thalamis blandè ſomnum concilians educat, nec adipe ac medulla ouium, ſed ad Iſtrum, atque in media Scytharũ hieme nutrit, iiſdem & veſcentem cibis, & eodem potu cum Parente atque militibus vtentem. Tu vero & bellicos clamores, & clypeorum ſtrepitus, & loricarum ac criſtarum fulgorem conſtanter ſuſtines. Tu inquam neque terreri potes,

Terribile à ſummo nutantem vertice cernens.

Neque tibi ferreus homo quiſpiam apparens pauorem incutiat; quem vel magnanimus quilibet, vt Homerus ait, aſpiciens formidine percellatur. Quin te, generoſiſſime Puer, arcum tentantem aliquando vidi, & cum ætate certantem:

Tum neruum applicuit mammis.

Nec ſi tuas manus vidiſſet Poëta, delicatas, ac minus detritas eſſe diceret, cuiuſmodi Ithacenſium iuuenum,

ἐντεῦθεν σοι προοιμιάζειν. ὁρᾷς δὲ δήπου καὶ τουτονὶ τὸν κοινωνοῦντα τῆς παρούσης ἀρχῆς. τοῦτο μέντοι τὸ γέρας τῆς ἀρετῆς εἰ καὶ πάνυ φαίη τις ἐξαιρέστατα ἐκτετυχέναι τοὺς σοὺς πατέρας, ἀλλ' ὅμως τὸ σεμνότατον αὐτῷ τῆς τιμῆς ἡ πρὸς σε γίνεται κοινωνία, καὶ τὸ σοῦ δεύτερος αἱρεθῆναι μεῖζον εἰς δόξαν νενόμικε τοῦ πρώτου ἑτέρου. καὶ πρός γε ἔτι, τῷ μὲν τοῦτο μέγιστον ἁπάντων ἐστὶν ὧν τετύχηκε, σοὶ δὲ τὸ μέγιστον τοῦτο ἐλάχιστόν ἐστιν ὧν τεύξῃ πρεσβείων, καὶ ταῦτα ἅπαντα, καὶ ἀκόλουθα καὶ συμβαίνοντα ἑαυτοῖς. πρῶτος γὰρ δὴ τέως τῆς εὐδαίμονος οἰκίας ἐσπαργανώθης ἐν ἁλουργίδι, καὶ νίκη μέν σε ὑπεδέξατο ἐκ τῶν ὠδίνων, νίκη δὲ εὐθὺς τιθηνεῖται· νίκης δὲ ἐπώνυμος ἀνὴρ, μᾶλλον δὲ νίκης πολλάκις αἴτιος γεγονὼς, συνάρχει σοι τὴν πρώτην ἀρχὴν, ἀγαθὸν οἰώνισμα ὢν μετὰ ταῦτα στήσεις τροπαίων. ἔτι δὲ ἐν ἀγκάλαις περιφερόμενος συστρατεύεις τῷ πατρὶ καὶ συστρατηγεῖς, καὶ τρέφει σε οὐκ ἐν θαλάμοις καταχοιμίζων, οὐδὲ δημῷ προβάτων καὶ μυελῶν, ἀλλ' ἐπὶ τῷ Ἴστρῳ καὶ τοῖς χειμῶσι τοῖς Σκυθικοῖς, τὰ αὐτὰ καὶ σιτία σιτούμενον καὶ ποτὰ πίνοντα τῷ πατρὶ καὶ τοῖς στρατιώταις. ἀνέχῃ δὲ εὐθαρσῶς καὶ βοῆς ἐνυαλίου καὶ ἀσπίδων δούπου, καὶ θωράκων μαρμαρυγῆς καὶ λόφων. Σὺ δὲ οὐδ' ἂν ἐκπλαγείης δεινὸν ἀπ' ἄκρας κορυφῆς νεύοντα νοήσας, οὐδὲ μορμολύττεταί σε ἀνὴρ σιδηροῦς φανταζόμενος. ὃν καὶ ταλασίφρων ἄν τις, καθ' Ὅμηρον, ἰδὼν ταρβήσειεν. ἔοιξου δέ σε ὦ γύναιε καὶ ἀποπειρώμενον εἰδὼν καὶ φιλοιστοροῦντα πρὸς τὴν ἡλικίαν·

Νηρεΐων μὲν μαζῷ πέλασεν.

Οὐδ' ἂν εἶπεν ὁ ποιητὴς, τὼ σὼ χεῖρε τεθναμένος ἀτρίπτους εἰσὶ καὶ ἁπαλὰς, οἵας τὴν ἐν Ἰθάκῃ μειρακίων φησὶ,

μᾶλλον δὲ ἀνδρῶν ἤδη μνηστήρων, τάχιστα ὑπὸ τρυφῆς ἀπειπεῖν καὶ ἀποστῆναι τοῦ ἄθλου. οὐδὲν οὖν θαυμαστὸν εἰ καὶ προεκάθισας πρῴην ἐπὶ τοῦ βήματος πρεσβύτου παντὸς στερεώτερον. ὥστε οἱ μὲν ἀκούοντες, ἀπηυδήκεισαν· σὺ δὲ εὔδηλος ἦσθα καρτερήσων καὶ εἰς ἑσπέραν. καλὰ μὲν δὴ ταῦτα καὶ βασιλικὰ τὰ παιδεύματα, γίνεσθαι ὥσπερ σκύλακα αἵματος θηρείου, καὶ μελετᾶν ὀργὴν κατὰ βαρβάρων. ἐγὼ δὲ σε εὐξαίμην ἂν ὅσον οὐδέπω καὶ τούτων βασιλικώτερα διδάγματα ἐπιζητῆσαι. δεῖ μὲν, οἶμαι, τὸν ποιμένα ἔσεσθαι μέλλοντα, καὶ τοὺς λύκους ἀποσοβεῖν ἐπίστασθαι τῶν προβάτων. πρότερον μέντοι γε τοὺς κύνας παιδεύειν ὅπως ἂν τοῖς ποιμνίοις εἶεν πρᾷοι καὶ εὐμενεῖς. ταύτην δὲ τὴν παιδείαν φησὶν Ἡσίοδος ὁ ποιητὴς ὅτι παιδεύει τοὺς βασιλέας ἡ Καλλιόπη, καὶ ἐν χρείᾳ μᾶλλόν ἐστι τοῖς ἄρχουσιν ἢ τοῖς ἀρχομένοις. καὶ τέως ἐπάκουε τῶν ἐπῶν, μικρὸν δὲ ὕστερον αὐτὰ καὶ συνήσεις. φησὶ δὲ λέγων ὑπὲρ τῆς Καλλιόπης ὅτι προφερεστάτη ἐστὶ τῶν Μουσῶν, Ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ, Ὅν τινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο, Γινόμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων. Τοῦ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χεύουσιν ἐέρσην, Τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα, οἱ δέ τε λαοὶ Πάντες ἐς αὐτὸν ὁρῶσι διακρίνοντα θέμιστας. πάπαι ἡλίκον ἀριθμὸν προξενεῖ τοῖς βασιλεῦσιν ὁ ποιητής, εἰ μὴ τῶν Μουσῶν ἀμελοῖεν. πρῶτον μὲν αἰδοίους αὐτοὺς ὀνομάζει. τοῦτο δέ, ὅτι ἄρξουσι τῶν ὑπηκόων, αἰδοῖ μᾶλλον ἢ φόβῳ χρώμενοι. ἔστι δὲ τὸ μὲν αἰδοῖον, τίμιον τοῖς αἰδουμένοις· τὸ φοβερὸν δέ, ἀπευκτὸν τοῖς δεδοικόσιν. ἔπειθ' ὅτι καὶ θεοφιλεῖς ἀναγκαῖον εἶναι τοὺς βασιλέας, ἅμα τῇ πρώτῃ γενέσει· ὅσοι παίδων μακαριώτατε διαφερόντως ὑπάρχον ὁρῶμεν. αὕτη γὰρ οἰωνῶν ἀγαθῶν, αὕτη χρησμῶν, αὕτη μαντείας τῇ σῇ γενέσει προεφήτευσεν ὁ θεὸς τὴν καθαίρεσιν τοῦ παλαμναίου. καὶ δῆλον ὅτι τὰς σὰς ὠδῖνας ἐπεῖδον αἱ Μοῦσαι. ἐπεὶ πόθεν εὐθὺς τὴν τῆς ἀρχῆς ἁρμονίαν,

vel potius virorum procorum manus aſſerit præ teneritudine fatigatas illico à certamine deſciuiſſe. Quare mirum nihil eſt, ſi nuper pro Tribunali quouis ſene firmius ſederis, adeo vt cum cæteri fatigarentur omnes, ſolus ad veſperam vſque perſeueraturus videreris. Pręclara iſta ſanè, ac rege digna inſtitutio, catuli inſtar ferarum ſanguinem deguſtare; atque iram aduerſus Barbaros meditari. Ego vero propediem optauerim te etiam his Rege digniora documenta ſectari. Oportet enim, vti arbitror, eum qui paſtor eſſe aliquando debeat, ſcire quemadmodum lupi ab ouibus arceantur: ſed illud imprimis, quemadmodum canes erudiantur, vti erga greges mites ſe ac placidos prębeant. Hac porro inſtitutione à Calliope Reges imbui Heſiodus Poëta teſtatur: eáque principibus ipſis vtilior eſt, quàm ciuibus. Interim verſus ipſos audi, quos paulo poſt intellecturus es. Sic enim ait, cum de Calliope loquitur, illam Muſis omnibus antecellere.

Nam comitem ſeſe venerandis Regibus infert,
Quem Muſæ coluere Iouis magni inclyta proles,
Et Reges videre ortum Iouis inter alumnos,
Huic linguam dulci perfundunt rore, ſimulque
Suauia diſtillant huic verba ex ore. Proinde
Hunc Populi ritè moderantem iura tuentur.

Papæ! quantam bonorum copiam Regibus Poëta conciliat, niſi Muſas contempſerint! Primum enim venerandos illos nominat, ideo nimirum quod pudore magis, ac veneratione, quàm metu ſibi ſubditos continebunt. Eſt autem id quod venerandum eſt, apud eos qui venerantur, in honore, & pretio. Quod autem metuendum, metuentibus inuiſum, & ingratum. Deinde etiam Diis caros eſſe ab ortu ſuo Principes oportere. Quod quidem tibi potiſſimum, (puerorum feliciſſime) conuenire cernimus. Siquidem pro fauſtis omnibus auſpiciis, pro oraculis, pro diuinatione omni, ipſo ortu tuo diuinum numen ſceleſti atque execrabilis viri profligationem & interitum prædixit. Ac Muſas quidem partum tuum ac natiuitatem aſpexiſſe perſpicuum eſt:

Alioqui quomodo Pater tuus pene corruptam ac diſſolutam Imperij harmoniam reſtituere potuiſſet? aut quanam ratione inconcinnos ac diſſentaneos ſonos partim remittens, partim contendens, ad pulcherrimam temperationem concentúmque reuocaſſet? Manifeſtum enim eſt cùm te naſcentem inſpexerint, vnà & Parentem tuum vidiſſe. Fieri enim non poteſt, vt ſi ametur fructus, radix ipſa negligatur. Pręterea Reges ipſos, quos Muſæ reſpexerint, alumnos Iouis appellat, & ex illorum lingua ſuauiſſimum rorem diſtillaturum confirmat, vtiles ac fructuoſas orationes roris nomine ſignificans. Sed & Themidis quoque ac Iuſtitiæ conſortium iiſdem promittit, quos ad ſeſe ſubditorum ſibi oculos atque animos conuerſuros aſſerit. Vbi haud dubiè Regem ſubditorum ſibi delitias facit, amatores vero ſubditos; vnaque gratiſſimum omnium in illius aſpectu ſpectaculum; in voce acroama conſtituit: Eiuſmodi in te ſunt (chariſſime Puer) paterna omnia bona à Calliope collecta. Etenim nonne vides, & adhærentem illi Themidem, & Iuſtitiam aſſidentem, & cum eo Legem aſſiduè verſantem? Forſan & hoc vel in ea ætate ſentis; quemadmodum, licèt mortalibus omnibus imperet; ac terra marique dominetur, nihilominus alienum non exiſtimet maieſtate ſua, ſenem vnum præceptorem moderatorémque ſuum vocare: non quòd multis firmitate corporis antecellat, non quòd inſtruendæ aciei peritia valeat; ſed quod ad Muſas ipſum deducat, eorúmque ſacrorum curationem ac diſpenſationem habeat. Ob id penitus illi addictus ac deuinctus eſt. Quo enim ſub imperatore tantum, quantum ſub Patre tuo, Muſæ ornamenti ac claritatis adeptæ ſunt? Quis adeo iuuenum animos ad ſtudia literarum erexit? Quis tanta præmia propoſuit? Quis eloquentiæ laude celebres cum illuſtribus virtute bellica ducibus parem ad dignitatis gradum euexit? De quonam audacter Philoſophia honorificentius teſtimonium dixit? Noli igitur fas eſſe tibi putare ab eo Parentis ſtudio deſciſcere.

Hoc

διεφθορυῖαν σχεδὸν ὁ πατὴρ ὁ σὸς ἀνεσώσατο, καὶ τοὺς μὲν ἀνεὶς, τοὺς δὲ ἐπιτείνας τῶν φθόγγων τῶν παρὰ μέλος ἠχησάντων, εἰς τὴν ἀρίστην κρᾶσιν καὶ συμφωνίαν μεθήρμοσε; δῆλον γὰρ ὅτι σε γινόμενον ἐφορῶσαι, συνεπεῖδον σοι καὶ τὸν φύσαντα. οὐ γὰρ οἷόν τε τὸν μὲν καρπὸν ἀγαπᾶν, τῆς ῥίζης δὲ ὠλιγωρηκέναι. ἀλλὰ καὶ διοτρεφεῖς ὀνομάζει τοὺς βασιλέας τοὺς ὑπὸ τῶν Μουσῶν ἑωραμένους, καὶ ῥυήσεσθαί φησιν αὐτῶν ἀπὸ τῆς γλώττης δρόσον γλυκεῖαν, καὶ λόγους ἐγκάρπους καὶ ὠφελίμους· λέγων τὴν δρόσον αὐτοῖς συνέσεσθαι, καὶ τὴν θέμιν, καὶ τὴν δίκην, καὶ ἐπιστρέψειν πρὸς ἑαυτοὺς τῶν ὑπηκόων καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς γνώμας· αὐτίκρυς ἐρώμενον μὲν τὸν βασιλέα ποιοῦν, ἐρωμένους δὲ τοὺς ἄρχοντας· καὶ ἥδιστον μὲν θεαμάτων τὴν ἐκείνων ὄψιν, ἥδιστον δὲ ἀκουσμάτων τὴν ἐκείνου φωνήν. ταῦτα ἐστὶ σοι παρὰ τῆς Καλλιόπης, ὦ φίλε παῖ, πατρῷα σύμπαντα ἀγαθά. ἢ οὐχ ὁρᾷς αὐτῷ παρεδρεύουσαν μὲν τὴν θέμιν, συνθακοῦσαν δὲ τὴν δίκην, τὸν νόμον δὲ συνόντα ἀεί; αἰσθάνῃ δὲ ἴσως τηλικοῦτος ὢν, ὅτι πᾶσιν ἀνθρώποις ἐπιτάττων, καὶ τὴν γῆν καὶ τὴν θάλασσαν ὑπήκοον ἔχων, ὅμως οὐκ ἀτιμάζει καλεῖν ἑαυτοῦ καθηγεμόνα καὶ ἐπιστάτην ἕνα πρεσβύτην, οὐχ ὅτι τὸ σῶμα ἔῤῥωται ὑπὲρ τοὺς πολλοὺς, οὐδ᾽ ὅτι τῶν τακτικῶν ἐστὶν ἐπιστήμων· ἀλλ᾽ ὅτι πρὸς τὰς Μούσας αὐτὸν ξεναγεῖ, καὶ τῶν ἱερῶν τούτων ταμίας ἐστί· διὰ τοῦτο αὐτοῦ κατάκρας ἑάλωκεν. ἐπὶ τίνος γὰρ τῶν βασιλέων αἱ Μοῦσαι τοσοῦτον ὅσον ἐπὶ τοῦ σοῦ πατρὸς ἐξέλαμψαν καὶ ἐξηνθήσαν; τίς δὲ οὕτως ἠρέθισε τὰς ψυχὰς τῶν νέων ἐπὶ τοὺς λόγους; τίς προὔθηκε τηλικαῦτα ἀγαθά; τίς ὁμότιμος ἐποιήσατο τοὺς ἀπὸ τῆς γλώττης ὁμοτίμους τοῖς ἀπὸ τῶν ὅπλων; τίνι δὲ θαρσοῦσα φιλοσοφία σεμνότερα ἐμαρτύρησε; μὴ τοίνυν ὅσα νομίσῃς τῆς πατρῴας σπουδῆς ὀλιγωρῆσαι.

καὶ γὰρ ὑπάρχει σοι τὰ μὲν ἄλλα ἡττᾶσθαι τοῦ φύσαντος, ταύτῃ δὲ καὶ πλείω ἔχειν, εἰ προέλοιο. ὃ γὰρ τῷδε περιεγίνετο οὐκ ἐκ τοῦ ῥᾴστου, σοὶ μετὰ ῥᾳστώνης ὑπάρξει, διδασκάλων ἀφθονίᾳ καὶ παιδευτῶν. δεῦρ' ἴθι παῖ, ἐπὶ τῶν ἐμῶν καθίζου γονάτων. οὐ φαυλότερος ἔσομαι τοῦ Φοίνικος τοῦ θρεψαμένου τὸν Ἀχιλλέα, ἀνδρὸς φυγάδος καὶ τὸν πατέρα ἠδικηκότος. οὐδὲ ὄψα ἀποτεμῶ καὶ οἶνον ἀφύξω, ἀλλ' αὔξου φησὶ παρ' ἐμοῦ τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ, τοῖς οὐρανίοις σιτίοις. ὑφ' ὧν αὐξηθεὶς καὶ τραφεὶς, κατὰ τὸν χρόνον τὸν ἐοικότα εἴσῃ μὲν ἃ χρὴ λέγειν, εἴσῃ δὲ ἃ χρὴ σιωπᾶν· καὶ ὅσα παράττειν καλὸν, καὶ ὅσα μὴ παράττειν ὠφελιμώτερον· καὶ ὁπότε ἐγείρειν χρὴ τὸν θυμὸν, καὶ ὁπότε κατακοιμίζειν· καὶ τί διενήνοχεν ἀτύχημα καὶ ἀδίκημα καὶ ἁμάρτημα. καὶ ὅτι προσήκει τὸν βασιλέα τὸ μὲν οἰκτείρειν, τὸ δὲ ἐπανορθοῦν, μόνον δὲ τὸ ἔσχατον τιμωρεῖσθαι· καὶ ὅτι ἄλλο μὲν ἐλευθέρων ἄρχειν, ἄλλο δὲ, οἰκετῶν· καὶ τὸ μὲν, ἀρετῆς ὑπεροχὴ, τὸ δὲ, τύχης πλεονεξία. συμπαιδαγωγήσουσι δέ σε ἐμοὶ Πλάτων ὁ κλεινὸς καὶ ὁ θεσπέσιος Ἀριστοτέλης, οἳ καὶ τὸν μέγαν Ἀλέξανδρον ἐπαιδαγώγησαν. οὗτοι Μακεδόνα ἄνθρωπον Δαρείου καὶ Περσῶν ἐποίησαν κρείττω. ἀλλὰ χρὴ προσιέναι τοῖς ἀνδράσι μετ' εὐλαβείας τὸν μέλλοντα αὐτῶν ἀπολαύσεσθαι, καὶ πρὸς ἀλήθειαν, οὐ πρὸς δόξαν, καὶ ἀκοῦσαι τῶν διδαγμάτων, οὐ παρακοῦσαι. πρὸς δὲ τοῦτο ἴσως μὲν καὶ ἄλλοι διακονήσονται, ἐγὼ δὲ ὀφλισκάνω πατρῷα σοι θρεπτήρια, καὶ ἀντεισφέρειν ἕτοιμος παρὰ τῶν λόγων ὧν τετύχηκα εἰς τοὺς λόγους. ὑπάρχει δέ σοι τὰ μὲν ῥᾴω πρὸς τὸ γενέσθαι τῶν πατέρων εὐκλεεστέρῳ, τὰ δὲ καὶ πολλῷ δυσκολώτερα. καὶ τῇ μὲν πλεονεκτεῖς ἤδη τοὺς σοὺς γονέας, τῇ δὲ μείζονι σοι μὴ ἡττᾶσθαι. ὅτι μὲν γὰρ ἔφυς ἐκ βασιλέων, οἱ δὲ ἐξ ἰδιώτου, πλεονεκτεῖς·

Hoc enim conceſſum tibi eſt, vt etiamſi cæteris in rebus à Patre vincaris, hac tamē parte ſi velis ſuperior ſis. Quod enim ille non facillimè conſecutus eſt, hoc tibi pleniſſima cum facultate ſuppetit, præceptorum ſcilicet atque inſtitutorum copia. Huc ades igitur, Puer, meis in genibus conſideto. Non ero Phœnice Achillis educatore deterior, homine profugo, atque in Patrem iniurioſo. Neque cibaria concidam, aut vinum hauriam: quin apud me, inquit, Nectare atque Ambroſia diuinis paſtus dapibus creſce: quibus gliſcens, atque educatus, opportuno tempore, quæ dicere, quæ tacere oporteat, intelliges, quæque aut honeſtè fieri, aut prætermitti vtilius poſſunt; tum quando incitandi, quando mitigandi animi: quid inter caſum, errorem, ac facinus interſit, ac prioris quidem miſereri Principem, corrigere alterum, poſtremum vlciſci dumtaxat oportere: deinde aliud eſſe liberis, aliud ſeruis imperare; illud excellentiam eſſe virtutis, hoc fortunæ prærogatiuam. Mecum vero eximius te Plato ac diuinus Ariſtoteles inſtituet, à quibus & Alexander Magnus informatus eſt. Illi Macedonem hominem Dario & Perſis ſuperiorem fecere. Verum cautè admodum ad illos accedendum ei eſt, qui fructum ex iis aliquem capere ſtudeat; neque ad opinionem dumtaxat, ſed verè ac ſincerè id ſuſcipiendum eſt, & audienda eorum documenta, non perperam ac negligenter auſcultanda. Ad id porrò nonnulli fortaſſis etiam alij adiumento tibi eſſe poſſunt, ſed ego mei erga Parentem tuum officij, & gratiæ tibi ſum debitor; & quæ ab eo circa doctrinam literáſque noſtras beneficia ſum conſecutus, compenſare iiſdem ex literis ſum paratus. Tibi vero nonnulla ad id faciliorem aditum præbent, vt Parentibus tuis ſplendore ac gloria antecellas, alia multo difficilius iſtud ipſum efficiunt: atque in altero quidem iam nunc progenitoribus tuis anteponendus es; in altero verò non vinci ab iis maius tibi quiddam ac præſtabilius eſt. Quòd enim tu ab Imperatoribus, illi à priuatis oriundi ſunt, hac illos parte ſuperas;

quòd vero illi Imperium tanquam virtutis præmium adepti ſunt, tibi id generis collatura ſucceſſio eſt, hac tibi parte difficilius certamẽ propoſitum eſſe ſtatuo. Te enim oportet neque fortuna ipſa, neq; parentibus tuis deteriorem videri, quod nemo ab iis ipſis requiſierit. Siquidẽ his parum admodum ac leue eſt cum ſuis genitoribus cõtendere; tibi paternam æquare virtutem ingens omnino eſt atq; arduum. Nam illis cum priuato dumtaxat viro bono, aut ad ſummum exercitus Duce, omnis eſt ſubeũda comparatio, tibi vero cum Romanorum Imperatoribus, atque eiuſmodi, vt in ſuperiorib. ſimiles aliqui recẽſeri nequeãt. Nam ſi ex iis ætate prouectiorẽ cõſideres, nemo vnquam ita liquido integróque ſuffragio ad Imperium eſt prouectus, non Perſis imminẽtib. nõ territo ac ſtupefacto exercitu, non ignorãtib. vbinã terrarũ eſſent, iis qui ſuffragium de eius Imperio ferebãt, nec caſu deniq; ac fortuna Principẽ illum conſtituente potius, quã meditata animi ratione, atq; cõſilio. Sed in maxima ſecuritate, in libertate cõmuni, in cõuentu, atque comitiis, illis primis creãtib. quos par erat maximè de Imperij iure cõtendere. Siue igitur illum conſideres, ſiue naturalem ac verum Parentem inſpicias, etiam hac tibi ratione ſpiſſum ac difficile certamen propoſitum eſt. Cum.n.is, qui communi omnium ſentẽtia Imperator factus eſt, ne punctũ quidem temporis interponere potuerit, quin eũ ſtatim Imperij ſui participẽ ac ſocium aſciſceret, nõne euidentius in eo creationis ille ſplẽdor ac dignitas cõprobatur? Non vno eodẽq; præſtantiſſimo ſuffragio ei à quo creatus eſt, antecellit? Quare tametſi arduũ eſt vel cum vno eiuſmodi in certamen deſcendere, tibi tamẽ duplex labor, ſtudiúmque capeſſendum eſt: à neutro .n. amborũ Parẽtum ſuperari tete cõuenit. Verũ illa nobis ipſis multo quã iis faciliora sũt: domeſticis enim exemplis abundamus, adeo vt in quæcũq; te demũ intenderis, ſiue Patruus, ſiue Imperator, ſiue Pater, ſiue Patruelis, occurrant, qui te ad æmulationem ſuæ virtutis extimulent. Nam vt ab autoribus generis diſcedens, alterum ſtirpis veſtrę par tibi atque æquale lumen inſpiciam,

ὅτι δὲ οἱ μὲν ἀρετῆς ἆθλον ἐκαρπώσαντο τὴν βασιλείαν, σοὶ δὲ ἡ τοῦ γένους δέδοται διαδοχὴ, ταύτῃ φημί σοι καὶ τὴν ἅμιλλαν δυσκολωτέραν. χρὴ γὰρ καὶ τῆς τύχης καὶ τῶν πατέρων μὴ χείρω φανῆναι, ὃ παρ' ἐκείνων οὐδεὶς ἂν ἐπεζήτησεν· ἀλλὰ τοῖς μὲν μικρὸν τὸ πρὸς τοὺς γονέας φιλονεικεῖν, σοὶ δὲ καὶ πάνυ μέγα τὸ κατ' ἴσον τοῖς πατράσιν ἐλθεῖν. τοῖς μὲν γὰρ πρὸς ἰδιώτην χρηστὸν ἢ (εἴπερ ἄρα) καὶ στρατηγὸν ἡ ἐξέτασις, σοὶ δὲ πρὸς αὐτοκράτορας τῆς Ῥωμαίων ἀρχῆς, καὶ τούτους οὐχ οἵους ἄν τις ἀριθμήσειε τῶν ἐπηλύδων. Εἴτε γὰρ τὸν πρεσβύτερον πρῶτον ἐνθυμηθείης, οὐδεὶς οὕτως ἀθορύβου καὶ καθαρᾶς πρὸς βασιλείαν ἔτυχε ψήφου, οὐ Περσῶν ἐπικειμένων, οὐδὲ καταπεπληγμένης τῆς στρατιᾶς, οὐδὲ ἀγνοούντων οἷ γῆς ἑστήκασι τῶν ἐκείνῳ φερόντων τὴν ψῆφον, οὐδὲ τῆς τύχης, οὐχὶ τῆς γνώμης, χειροτονούσης· ἀλλ' ἐπ' ἀδείας, ἐπ' ἐξουσίας, ἐν ἐκκλησίᾳ κοινῇ καὶ συνόδῳ αὐτῶν πρῶτον χειροτονούντων ὅσοις εἰκὸς ἦν ἀμφισβητεῖν. εἴτ' οὖν ἐκεῖνον ἐννοήσαις, εἴτε τὸν ὄντως πατέρα, καὶ ὡς ἐργῶδές σοι τὸ ἀγώνισμα. εἰ γὰρ ὁ τῆς κοινῆς ψήφου τυχὼν οὐδὲ πρὸς μικρὸν ἐκαρτέρησε μὴ οὐχὶ κοινωνὸν προσελέσθαι, πῶς οὐ μᾶλλον τούτῳ τὸ τῆς χειροτονίας σεμνὸν βεβαιοῦται, καὶ μιᾷ ψήφῳ πλεονεκτεῖ τιμιωτάτῃ τὸν προσελόμενον; ὥστε χαλεπὸν μὲν καὶ πρὸς ἕνα ἀγωνίζεσθαι τοιοῦτον ἀγῶνα· σοὶ δὲ διπλασίονος δεῖ τῆς σπουδῆς. χρὴ γὰρ μηδετέρου τῶν πατέρων ἀπολειφθῆναι. ἀλλ' ἐκεῖνα μὲν ἡμῖν αὖθις ῥᾴω πολλῷ. οἴκοθεν γὰρ εὐποροῦμεν τῶν παραδειγμάτων, καὶ ὁπόσα ἂν περισκέψῃ σεαυτῷ, ἢ θεῖος ἢ βασιλεὺς ἢ πατὴρ ἢ ἀνεψιὸς πρὸς ζῆλόν σε ἐκκαλέσεται. ἵνα γὰρ τοὺς ἀρχηγέτας ἀφεὶς, ἐπὶ τὸν ὁμόστοιχόν σοι λαμπτῆρα τοῦ γένους ἀπίδω,

ἀποχρήσει τέως νέῳ πρὸς νέον διαμιλλᾶσθαι. ἐκεῖνον μέντοι πυνθάνομαι προσκυνεῖσθαι μὲν ὑφ' ἁπάντων Ἑλλήνων τε καὶ βαρβάρων, ὑποκύπτειν δὲ τῷ διδασκάλῳ· καὶ φοβερὸν μὲν εἶναι Κελτοῖς καὶ Γερμανοῖς, κάτω δὲ ὁρᾷν φανέντος τοῦ τῶν μαθημάτων καθηγεμόνος, κατιόντα ἐκ τοῦ θρόνου τοῦ ὑψηλοῦ, ἡνίκα ἂν χρηματίσῃ τοῖς βαρβάροις, εὐλαβέστερον δὲ τῶν ἰδιωτικῶν μειρακίων ὑπέχειν ἑαυτὸν τῷ παιδεύοντι. ὦ μακάριος τούτου τοῦ δέους, εἰς ὁπόσον θάρσος αὐτὸν ὁ φόβος οὗτος προσάξεται. ὁπότε οὖν ἔχομεν οἴκοθεν οἷς ἀκολουθεῖν ἀναγκαῖον, ἡμέτερον ἂν εἴη μὴ μαλακίζεσθαι. τούτῳ μὲν δὴ πρῶτον πλεονεκτοῦμεν καὶ τῶν γονέων καὶ τοῦ ἀδελφοῦ, τῷ βαδίζειν ὁδὸν ἤδη πεπειραμένην. ἐπειδὴ ὅτι καὶ χωρίων μετειλήφαμεν εὐμουσοτέρων, καὶ οὐ μεταπέμπειν ἀναγκαῖον ἐκ περάτων γῆς τοὺς διδάσκοντας· ἀλλ' ὅποι ποτ' ἂν διατρίβῃς, παρεστῶτας ἔχεις καὶ ἀγαπῶντας, καὶ μάλιστα δὴ τοὺς τῆς τέχνης τῆς βασιλικῆς ἐπιστήμονας, ἧς ὑπὸ τὴν σὴν μερίδα τὰ ζώπυρα διασώζεται. εἰσὶ γὰρ, ὦ φίλε παῖ, καὶ ἐν τοῖς λόγοις οἱ μὲν, βασιλικοὶ καὶ διαπρεπεῖς ἀτεχνῶς, οἱ δὲ, ὑπηκόοις πρέποντες καὶ ἰδιώταις. ὅσοι μὲν πρὸς μέγεθος αἴρουσι τὴν ψυχὴν, καὶ σεμνότητος ἐμπιπλᾶσι, καὶ βασιλέα ποιοῦσιν ἑαυτοῦ πρότου τὸν μέλλοντα ἔσεσθαι καὶ τῶν ἄλλων, οὗτοι βασιλεῖ πρέποντα ἀκούσματα καὶ διδάγματα· ὅσοι δὲ τὴν γλῶτταν μὲν θεραπεύουσι, τὴν ψυχὴν δὲ ἐῶσιν ἀκόσμητον, οὗτοι δὴ ἅπαντες χαμαλοὶ καὶ μικροπρεπεῖς, καὶ ἐπ' ὀλίγον ἀναγκαῖοι τῷ βασιλεῖ. ὥσπερ οὖν ὅπλα οὐ τὰ αὐτὰ ἀναλήψῃ τοῖς ὑπηκόοις, οὐδὲ ἐσθῆτα ἀμφιέσῃ παραπλησίαν, οὐδὲ οἴκησιν ὁμοίαν οἰκήσεις, ἀλλὰ πάντα ἔσται σοι παρὰ τοὺς ἀρχομένους διαφανέστερα, καὶ ἵπποι, καὶ κύνες, καὶ διάκονοι, καὶ χρήματα· οὕτω καὶ τῶν λόγων τοὺς ἀρίστους καὶ θειοτάτους μαθητέον ἔσται σοι, δι' οὓς ἐπὶ σοὶ τὴν θειότητα ἀληθεύσομεν.

ſatis interim fuerit adoleſcentem cum adoleſcente contendere. De eo porrò tale ad me aliquid allatum eſt; cum ab omnibus tam Græcis quàm Barbaris adoretur, nihilominus ſeſe Præceptori ſuo ſubmittere; Et Gallis quidem ac Germanis formidabilem eſſe, coram eo vero, à quo diſciplinis imbuitur, è Tribunali deſcendentem, quoties Barbaris ius dicit, demiſſis in terram oculis ſtare, ſeſeque priuatis adoleſcentibus circumſpectiorem atque obſeruantiorem erga informatorem ſuum præbere. O felicem eo timore Puerum! quantam olim ad fiduciam metus eum iſte perducet! Quamobrem cum eos habeamus domi, quorum veſtigiis inſiſtere omnino neceſſe ſit, noſtrum iam erit mollitiem omnem atque inertiam excutere. Atque in eo primum meliori, quàm aut Parentes aut Frater conditione vtimur, quod tuto iam itinere progrediamur. Deinde quod in ea regione verſemur, quæ artium ac doctrinarum abundantior eſt, vt non ex vltimis terræ finibus præceptores arceſſendi ſint; ſed vbicumque tandem degas, præſentes eos habeas, & amantes tui, & artis Regię ac diſciplinæ peritos. Cuius quidem ſub parte Imperij tua adhuc ſemina quædã ac reliquię ſuperſunt. Etenim etiam inter artes ac diſciplinas (chariſſime Puer) quędam Regũ propriæ & alumnæ verè Iouis ſunt, aliæ ſubditis illorum, ac priuatis idoneæ. Quotquot enim ad magnitudinẽ quãdam animum extollunt, & maieſtatem ac grauitatem ingenerant, ſuique prius Regẽ illum faciunt, qui ſit aliorum futurus, eiuſmodi & acroamata & documenta Regibus conueniunt: quæcumque vero linguam ſolum excolunt, animum ornamenti omnis expertem relinquunt; eæ & abiectæ ſunt, atque humiles, nec multum ſanè Principi neceſſariæ. Ergo quemadmodum nec arma cum ſubditis eadem indues, nec ſimilibus veſtimentis vteris, nec in iiſdem ædibus habitabis, ſed omnia tibi, quàm illis, erunt ſplendidiora, equi, canes, miniſtri, vehicula: ſic tibi præſtantiſſimæ diuiniſſimæque artes addiſcendæ erunt, per quas verè à nobis diuinitatis tibi nomen attribuatur.

Neque enim parenti tuo, quòd Atticè loqui neſciret, obſtitit quominùs omnium, qui vnquam fuerunt Imperatorum clementiſſimus haberetur. Quòd autem reipſa magis quàm nominibus philoſophetur, hac parte longè eſt omnibus prҿſtantior: velvt ipſe totius cœli moderator, ac Princeps, nō quia prҿclariſſimè loquitur, ab cæteris omnibus adoratur: ſed quia vitæ largitor, diſpenſatorque felicitatis, & bonorum adminiſtrator eſt, quodque in difficultatibus ad eum cum fiducia recurrimus. Equidē Tragœdiarum ſcribendarum Dionyſius Tyrannus erat non imperitus artifex: verum fabulis argumentiſq; ſuis Siciliam magis quàm Scenam impleuit. Quem vero Seruatorem appellari conuenit, aut Cōſiliarium, aut Vrbis cuſtodem, quæ ſunt Iouis cognomina, ei eſt eiuſdem Iouis temperātia ſapientiáque comparanda. Hanc vero tuus quidem præ ſe fert Parens, ſed tibi ad eam etiam doctrinam licet adiungere. Quòd ſi te Platoni atque Ariſtoteli permiſeris, illi adhuc in terris ambulantem te ad regni cœleſtis regiam perducent, omnémque loci huius diſpoſitionem atque ordinem exponent, & mundi illius arcana ac myſteria patefacient. Regiam illam Clementia, Benignitas, atque Humanitas, tanquam ſatellites cuſtodiunt; ad eam malignitas nulla ſuccedit, nulla propinquat calumnia; criminatio longius omnis arcetur. In eum ordinem Parentes tui, ac moderationem intuentes humanas res adminiſtrant, ab ipſis primum domeſticis laribus exorſi, & inter ſe ordinem illum mutuò conſeruantes, & ſine ſtrepitu eorum communione gaudentes, quæ ab omni communione abhorrere hactenus videbantur, honoris, gloriæque dico, atque Imperij. Solique ex Imperatoribus non tabulis leges inſcribunt, quibus colere inter ſe ſocietatem ſubditi ſibi iubeantur, ſed ſemetipſos ſocietatis ac concordiæ leges conſtituunt. Nemo eſt enim, qui ſi Rectores ac Principes ſuos intueatur, plus aliquid quàm ſua interſit, habere concupiſcat. Et vero eiuſmodi fructus, atque iſtius Iuſtitiæ vos commoda percipitis.

Vterque

οὐδὲ γὰρ τὸν πατέρα τὸν σὸν τὸ μὴ τοῖς ῥήμασιν ἀττικίζειν διεκώλυσε πρᾳότερον νομισθῆναι τῶν πώποτε αὐτοκρατόρων· ἀλλ' ὅτι τοῖς πράγμασι φιλοσοφεῖ μᾶλλον ἢ τοῖς ὀνόμασι, ταύτῃ πάμπολυ διενήνοχεν. ὥσπερ καὶ ὁ τοῦ παντὸς οὐρανοῦ βασιλεὺς οὐχ ὅτι δοκιμώτατα φθέγγεται, προσκυνεῖται παρὰ τῶν ἄλλων, ἀλλ' ὅτι φιλανθρωπότατός ἐστι, δυνατώτατος ὤν, καὶ ὅτι ζωῆς χορηγὸς, καὶ ὅτι πρύτανις εὐδαιμονίας, καὶ ὅτι ταμίας τῶν ἀγαθῶν, καὶ ὅτι πρὸς ἐκεῖνον ὁρῶμεν ἐν τοῖς δεινοῖς τεθαῤῥηκότες. τραγῳδίας δὲ ἱκανῶς γράφειν καὶ Διονύσιος ὁ τύραννος ἱκανὸς ἦν· ἀλλ' ἐνέπλησε δραμάτων Σικελίαν μᾶλλον ἢ τὴν σκηνήν. ὃν δὲ χρὴ καλεῖσθαι σωτῆρα, ὃν βουλαῖον, ὃν πολιοῦχον, τὰς τοῦ Διὸς ἐπωνυμίας, τὴν τοῦ Διὸς κτητέον αὐτῷ σωφροσύνην καὶ φιλοσοφίαν ἐστί. ταύτην δὲ ὁ μὲν πατὴρ ὁ σὸς ἐπιδείκνυται, σοὶ δὲ ἔνεστι προσλαβεῖν καὶ τὴν ἐπιστήμην. καὶ εἴγε σεαυτὸν ἐπιτρέψειας Πλάτωνι καὶ Ἀριστοτέλει, οἱ δέ ἔτι σε βαδίζοντα ἐπὶ τῆς γῆς, ἀνάξουσιν εἰς τὰ ἀνάκτορα τῆς τοῦ οὐρανοῦ βασιλείας, καὶ τὴν ἐκεῖ τάξιν προεξηγήσονται, καὶ πρὸς τὸν κόσμον ἐκεῖνον μυσταγωγήσουσιν. ἐκεῖνα τὰ βασίλεια δορυφοροῦσι πρᾳότης καὶ εὐμένεια καὶ φιλανθρωπία, ἐκείνοις οὐ πρόσεστι κακοήθεια, ἐκείνοις οὐ πλησιάζει συκοφαντία, διαβολὴ δὲ καὶ πόῤῥωθεν ἀπελήλαται. εἰς ἐκείνην τὴν τάξιν ὁρῶντες οἱ πατέρες διευθύνουσι τὰ ἀνθρώπινα, πρῶτον ἀφ' ἑστίας καὶ πρὸς ἀλλήλους τὸν κόσμον τοῦτον ἐπιδεικνύμενοι, καὶ κοινωνοῦντες ἀφθονητὶ τῶν τέως ἀκοινωνήτων εἶναι δοκούντων, τιμῆς καὶ δόξης καὶ βασιλείας. καὶ μόνοι δὴ βασιλέων οὐκ ἐν γράμμασι τίθενται νόμους, ὥστε κοινωνεῖν ἀλλήλοις τοὺς ὑπηκόους, ἀλλ' ἑαυτοὺς νόμους πεποιήκασι κοινωνίας. οὐδεὶς γὰρ εἰς τοὺς προστάτας ὁρῶν, πλέον ἔχειν ἐφίεται τοῦ προσήκοντος. καὶ γὰρ τοῦ τοιούτου καρποῦ καὶ τῆς τοιαύτης δικαιοσύνης αὐτόθεν ἀπολαύειν ὑμῖν πάρεστιν.

ἑκάτερος γὰρ τῆς ἀσφαλείας τῆς ἑαυτοῦ φύλακα τὸν ἕτερον κέκτηται· καὶ δυοῖν ἑνὸς μέλει, μᾶλλον δὲ ἤδη τρισί, μελήσει δὲ ὅσον οὔπω καὶ τέτταρσιν ἑνός, ναὶ πρὸς Διὸς βασιλείου, ὦ πάντα σὺ τὸν ἀδελφὸν ἐζηλωκώς. οὔπω δίκαιον καὶ πολλῷ βραδυτέρους τῆς φύσεως ὑμᾶς νομισθῆναι. τοῦτον ἐκείνη παραλαβοῦσα ἐχειροτόνησεν αὐτοκράτορα· καὶ τέτακται, βασιλεῦ, βασιλεὺς ὥσπερ ἀετῶν νεοττός, ὀξὺ μὲν ὁρῶν ἤδη, περιμένων δὲ τὰ ὠκύπτερα. καὶ οὐκ ἐφ' ἡμῖν ταῦτα ψηφίζεσθαι, ἀλλ' ἡ φύσις ἐπαναγκάζει τὸν σκύμνον τοῦ λέοντος λέοντα εἶναι, καὶ τὸν βλαστὸν ταῖς ἐνεγκούσαις ῥίζαις ὁμοφυῆ· δότε δὴ τοῖς παισὶν ὑμῶν τὸ κάλλιστον τῶν ὑμετέρων ζηλῶσαι, τὴν πρὸς ἀλλήλους ὁμόνοιαν. νῦν δὲ τὰ ἄλλα πρὸ ὑμῶν εἰληφὼς ὁ σὸς ἀδελφιδοῦς, οὕτω πρὸς ὀντιναοῦν ὁμότιμον ἐπιδείξεται τὴν φιλαδελφίαν ἣν προσείληφεν. ἀλλ' ἀγαθῇ τύχῃ, καὶ δέχομαι τὸ προοίμιον. προοίμιον γὰρ ὀνομάζω τὴν τήμερον τῆς ἁλουργίδος καὶ τοῦ στεφάνου τὸ σκῆπτρον, καὶ τῶν δορυφόρων τοὺς ῥαβδοφόρους. ἔπος γὰρ οὐδὲν παλινάγρετον τοῦ Διός, οὐδὲ ἀπατηλόν,

Οὐδὲ ἀτελεύτητον, ὅ, τι κεφαλῇ κατανεύσῃ.

Κατένευσε δὲ ἡ θεία κεφαλὴ περιμένειν ἕτερον σχῆμα τοῦ παρόντος αὐτοῦ τιμιώτερον. οἷ' ὄψονται ἐπὶ τῆς παρούσης περιόδου θέαμα ἄνθρωποι, τέτρωρον βασιλέων (ποιητὴς ἂν εἴποι) δύο ξυνωρίδας ὁμηλίκων σχεδὸν ἑκατέρων καὶ ὁμοχρόνων, ἴσα βαινόντων, ἴσα πνεόντων, ἰσαρίθμων τοῖς πέρασι τῆς γῆς ἣν φυλάττουσιν. ἀλλ' εἰς τοῦτον μὲν τὸν ἀριθμὸν τὴν βασιλείαν ὁ φιλῶν θεὸς ὡς τάχιστα καὶ αὐξήσειεν. ἃ δὴ νῦν ἀντιβολεῖ μὲν ὁ δῆμος, ἀντιβολεῖ δὲ ἡ μεγάλη βουλή, παραθείς, ἵνα μὴ πέρα τοῦ καιροῦ διοχλοίην, ἀπαλλάξομαι ἡμᾶς, ὦ θειότατε βασιλεῦ, πρῶτοι μὲν σε αὐτοκράτορα πάντων ἀνθρώπων, πρῶτοι δὲ ὕπατον προσειρήκαμεν· παρ' ἡμῖν δὲ ἄμφω τῆς ἀρετῆς τὴν ὑπεροχὴν ἐπεδείξασθε,

Vterque enim ſecuritatis ſuæ cuſtodem habet alterum, & vnius à duobus cura ſuſcipitur; ac propediē vnius curam quatuor gerent. Ita, per Regum Præſidē Iouem futurum ſpero, ô fratris in omnibus imitator ſtudioſiſſime! Nequaquam certè æquum eſt vos natura ipſa multo tardiores putari. Hęc illum iam Imperatorem creauit: & Imperator conſtitutus eſt, velvt Aquilarum pullus, qui iam acutā habet oculorum aciem, ſed adhuc pennas expectat. Nec ea in poteſtate noſtra ſita eſt creatio; ſed & Leonis catulum leonem eſſe, & germen eius à qua pullulat radicis ſimilem eſſe, naturæ neceſſitas cogit. Itaque date hoc liberis veſtris, vt quod in vobis eſt præſtantiſſimum, mutuam nimirum concordiam imitentur. Iam vero cum cætera à vobis Patruelis tuus acceperit, ita demum fraternam caritatem, quam in cumulum accepit, æquali apud ſe in pretio eſſe quibuſlibet declarabit. Verum hoc felix fauſtumque ſit, & exordij omen amplector. Exordium enim appello purpuræ Togam prætextam, coronæ ſceptrum, lictores ſatellitum: Nullum enim verbum Iouis eſt reuocabile, neque mendax:

Nec vanum moto quicquid capite annuit ipſe.

Hoc autem diuinum annuit caput, vti alteram ſpeciem habitúmque præſenti excellentiorem expectet. Qualenam Dij boni in pręſenti temporis circuitu ſpectaculum homines aſpicient! quadrigam videlicet Regum (vti Poëta dixerit) paria duo æqualium fermè vtrinque & ætate & tempore Principum, æqualiter gradientium, æqualiter ſpirantium, eodem cum terrę finibus, quos tuentur, numero conſtantium. Verum qui ad eum numerum redegit Imperium Deus, idem quàm celerrimè vberioribus incrementis promoueat. Quod vero vnum à vobis & ſupplex populus, & ampliſſimus Senatorum ordo poſtulat, hoc ego ſimul atque adiecero, ne dicendi prolixitate moleſtior vobis ſim, orationi finem imponam. Nos te (Auguſtiſſime Imperator) primi omnium mortalium Imperatorem, primi Conſulem ſalutauimus; quin apud nos ambo vos ſummæ virtutis ſpecimen edidiſtis,

hic quidẽ, cum quod erat pretioſiſſimum, ſolus ob tinere noluit, tu vero cum ſolus dignus habitus es, qui in eius communionem adſciſcereris. Æquum igitur eſt Ciuitatem Regiam, quam vos diuinę veſtrę conſenſionis teſtem adhibuiſtis, etiam quę in præſentia geruntur, ſuffragio ſuo comprobare, ſuúmque Conſulem in paterno ſolio ſedentem in priore Curia conſalutare, priuſquã ſacram veſtem deponat, & faſces ſuos promiſcuè cum Parentis faſcibus conſecret. Sine obſecro, per Iouem, è Conſtantini Tribunali puerum, clarum, ſplendentem, velut in cœlo ſidus, attolli. Sine Populi vocem audiat is, qui cum Regibus didicit verſari. Sine dignam expectatione omnium pompam inſtituat. Hoc etiam & Duci vtique permittes, vt paululum clypeum reclinans, ac corpori quietis aliquantulum indulgens, quod pro Rep. perſæpe in diſcrimen coniecit, domi ſuæ craterem nobis ſtatuat, & patrię ſplendorem ſuum ac decus oſtentet, quemadmodum ij faciunt, qui Olympicis ludis victoriam reportarunt.

AD IOVIANVM IMPERATOREM Conſularis.

ORATIO XII.

TE quidem (Imperator) hodierna die magnificè prædicare, & cùm id publicæ hilaritati atque alacritati attribuere, tum præſentem celebritatem ad ſpeciem & argumentum orationis aſſumere, facilè aliis relinquo, quorum ſtudium eſt, vt citra conſiderationem vllã, perpetuò Principum gratiam aucupentur. Ego vero ideo in publicũ hodie proceſſi, vt id ſolẽni huic celebritati contribuerẽ, nõ quod ad nudã ambitionẽ pertineat, ſed quod vna cum ornatu etiam vtilitatem habeat coniunctam. Eſt enim hæc Philoſophiæ lex,

ὁ μὲν, ὥστε μὴ μόνος ἔχειν τὸ τιμιώτατον, σὺ δὲ, ὥστε μόνος τῆς κοινωνίας ἄξιος κριθῆναι. δίκαιον οὖν τὴν πόλιν τὴν βασιλίδα, καὶ ἣν μάρτυρα παρεστήσασθε τῆς θείας ὑμῶν ὁμολογίας, καὶ νῦν τὰ δρώμενα ἐπιψηφίσαι, καὶ τὸν ἑαυτῆς ὕπατον προσειπεῖν ἐπὶ τοῦ πατρῴου θρόνου καθήμενον ἐν τῷ προσφάτῳ βουλευτηρίῳ, πρὶν τὴν ἱερὰν στολὴν καταθέσθαι, καὶ τὰς ῥάβδους ἀναμὶξ ταῖς πατρῴαις καθιερῶσαι. ἔα πρὸς Διὸς ἀναγαγεῖν ἐκ τῆς Κωνσταντίνου κρηπῖδος τὸν νεανίαν, λαμπρὸν παμφαίνοντα, ὥσπερ ἀστέρα ἐν οὐρανῷ, ἔα δήμου φωνῆς ἀκοῦσαι βασιλεῦσιν ὁμιλεῖν εἰθισμένον, ἔα πομπεῦσαι τῆς ἐλπίδος πομπὴν ἐπαξίαν. ἢ που καὶ στρατηγῷ συγχωρήσεις μικρὸν ἀνακλίναντι τὴν ἀσπίδα, καὶ τὸ σῶμα ἀναπαύσαντι, ὃ πολλάκις ὑπὲρ τῶν κοινῶν ἐπιδέδωκεν ἐφέσιον ἡμῖν στῆσαι κρατῆρα, καὶ ἐγκαλλωπίσασθαι τῇ πατρίδι, ὥσπερ οἱ νικήσαντες Ὀλυμπίασιν.

ΤΟΥ ΑΥΤΟΥ ΥΠΑΤΙΚΟΣ ΕΙΣ τὸν αὐτοκράτορα Ἰοβιανόν.

ΛΟΓΟΣ ΔΩΔΕΚΑΤΟΣ.

ΒΑΣΙΛΕΥ, τὸ μὲν ἐπαινεῖν σε ἐφέντα τῇ προθυμίᾳ, καὶ τὴν παροῦσαν ἑορτὴν σχῆμα τοῦ λόγου προστήσασθαι, ἄλλοις παρίημι, οἷς ἐν μελέτῃ τὸ θεραπεύειν ἀεὶ τοὺς κρατοῦντάς ἐστιν ἀνεξετάστως· ἐγὼ δὲ παρελήλυθα σήμερον συντελέσων τῇ πανηγύρει οὐκ ἄχρι κοινῆς φιλοτιμίας, ἀλλ' ὃ τῷ κόσμῳ καὶ χρείαν συνοίσεται. νόμος γάρ ἐστι φιλοσοφίας,

μηδ' ὁτιοῦν ἐργάζεσθαι πρὸς μόνην ψυχαγωγίαν, ἁπανταχοῦ δὲ τῷ κεχαρισμένῳ τὸ συμφέρον καταμιγνύναι, ὥσπερ οἱ τῶν ἰατρῶν ἠπιώτεροι τὰ φάρμακα πρὸς τὴν αἴσθησιν ἐπικρύπτονται τοῖς ἡδύσμασι. ἔστι δέ σοι καὶ τῆς ἐκ τοῦ πλούτου πομπείας ἡ μὲν, πρὸς ἐπίδειξιν μόνον, ἡ δὲ, ἅμα τε ἐκπλήττει, καὶ τὴν χρείαν οὐ παρεώρακεν. ἐμοὶ δὲ, ὦ βασιλεῦ, καὶ μᾶλλον ἔτι φροντιστέον ἐστὶ, καὶ μὴ λίαν ἐνδεὲς ἀντεισενεγκεῖν σοι τὸ χαριστήριον, ὅτι φιλοσοφίαν οὐ πάνυ παρὰ τοῖς πολλοῖς δυσπραγοῦσαν κατὰ τὸν παρόντα χρόνον, ἐπανήγαγες αὖθις εἰς τὰ βασίλεια, καὶ παρίσταται σὺν εὐδοκιμωτέρῳ τῷ σχήματι. καὶ ποιεῖς οὐχ ἧττον ἔντιμον τὴν τῶν λόγων ἡγεμονίαν τῆς τῶν στρατοπέδων ἀρχῆς. οὕτω καὶ οἱ πατέρες τῆς σῆς βασιλείας τοὺς προγόνους ταύτης τῆς τύχης προῆγον, τὸν Ἄρειον ἐκεῖνον ὁ Σεβαστὸς, ὁ Τιβέριος τὸν Θράσυλλον, Τραϊανὸς ὁ μέγας Δίωνα τὸν χρυσοῦν τὴν γλῶτταν, τὸν Ἐπίκτητον τὼ δύο Ἀντωνίνω. ἐῶ τοὺς ἄλλους. ἀλλ' ὁ μὴ πάλαι τὴν ἐπωνυμίαν λαβὼν ἐκ τούτου σοι θεοῦ τὸν ἀρχηγέτην τῆς ἐμῆς οἰκίας, τούτοις κατ' ἴχνος ἀκολουθεῖς, ἐν τοῖς ἁπάντων ὀφθαλμοῖς συμπαραλαμβάνων φιλοσοφίαν. τιμωμένη δὲ φιλοσοφία εἰς τοὐμφανὲς, ἀναδίδωσιν εἰς τοὐμφανὲς καὶ αὐτὴ τὰ χαριστήρια, λόγους ἱκανοὺς παραπέμψαι τὰ ἔργα τῷ χρόνῳ, καὶ προσθεῖναι μνήμην τοῖς ἐφημέροις αἰώνιον, καὶ συμβουλὴν ἐν καιρῷ καὶ παρρησίαν. ταῦτα γὰρ ἴδια φιλοσοφίας καὶ ἔργα καὶ δῶρα, καὶ ἐπὶ τούτοις ἐξ ἀρχῆς καὶ παρακέκληται ὑπὸ βασιλείας, καὶ ἀχρεῖος οὐκ ἐνομίσθη· οὐχ ἵνα τὸ Σιλανίωνος ἔργον μεταχειρίζηται, ἐφ' ᾧ πάλαι μισθοῦ τοῖς Ἕλλησι διηκονοῦντο ἄνθρωποι βάναυσοι καὶ δημόσιοι. ἀλλὰ βούλει γνῶναι τὴν παρὰ φιλοσοφίας συντέλειαν; νόμον ἔμψυχον εἶναί φησι τὸν βασιλέα, νόμον οἶμαι ἄνωθεν ἥκοντα ἐν χρόνῳ τοῦ δι' αἰῶνος χρηστοῦ,

Nihil omnino ſolius oblectationis gratia perficere, ſed vbique cum eo quod iucundum eſt, quod vtile eſt admiſcere: vt benigniores Medici facere ſolent, qui medicamenta ne ſenſu percipiantur, condimentorum ſuauitate diſſimulant. Nam & tibi opum & diuitiarum oſtentatio alia ad faſtum dumtaxat & magnificentiam refertur, alia ſimul & terrorem incutit, neque vſum tamen prætermittit. Mihi vero eo magis enitendum eſt, ne beneficiorum tuorum magnitudini nimium imparem gratiam rependam, quo tu Philoſophiam non multum felici conditione apud multos vtentem, hoc rurſum tempore quaſi poſtliminio in Palatium reuocas, vt elegantiori modò habitu tecum aſſiſtat. Nec minore doctrinæ, ac ſcientiæ, quàm Caſtrorum Imperium, honore proſequeris. Sic autores Imperij tui, huius olim diſciplinę maioribus ampliſſima quæque deferebant, velut Ario Cæſar Auguſtus, Tiberius Thraſylo, Magnus ille Traianus Dioni aurea lingua prædito, Epicteto denique Antonini duo; Omitto cæteros: Præter illos vero is, qui non ita pridem ab eodem, quo tu, Deo cognomen acceperat, familiæ meæ ac ſtirpis autori. Horum tu veſtigia conſectaris, in omnium oculis Philoſophiæ conſortium tibi adiungens. Cæterum Philoſophia publicè honorata, publicè item ac palam gratiam refert, orationibus videlicet, ac monimentis, quæ egregiè factorum gloriam ad diuturni ſucceſſionem temporis propagare poſſint, & caducis ac fugacibus æternam memoriam famamque conciliare, nec non conſilium in tempore, atque audaciam præſtare. Hæc enim Philoſophiæ & facta & munera propria ſunt; ob eáque initio Imperiis adſcita eſt, nec inutilis eſt habita: Non vt Silanionis opus exequatur, in quo pridem mercede conducti homines operarij ac publici ſuam Græcis operam nauabant. Verum vis noſſe quid tandem Philoſophia conferat? Hæc viuam ac ſpirantem legem eſſe Principem dicit, legem inquam velut cœlitus in tempore delapſam, de eo quod omni æuo bonum atque commodum ſit,

ac quandam naturæ illius deriuationem, & citimam terris prouidentiam, in illud vbique reſpiciētem, & ad illius vbique imitationem numinis conſtitutum, verè Ioue genitum, verè ab Ioue nutritum, vt Homeri verbis vtar; qui cum Deo cæteris habeat appellationes communes, hoſpitalem, ſupplicum curam gerentem, amicitiæ Præſidem, fructuum largitorem, datorem bonorum, ſuppeditatorem Iuſtitiæ, commodorum adminiſtratorem, diſpenſatorémque felicitatis. Eiuſmodi à Philoſophis Imperatoribus tributa penduntur, iis quidem qui nequaquam nomen iſtud ementiuntur. Nam Caluos illos, & ærarios Fabros, qui orbam dominam aggrederentur, minimè Plato humanæ felicitatis artifices iudicabat. Quare quemadmodum ego dico, tibi quidem (Imperator) ob egregiam tuam in Philoſophiam voluntatem merita præmia, ac monimēta laudis viciſſim repēdere, amplioris curæ & orationis eſt: quæcumque vero in prçſentia, in hac celebritate ac lçtitia obeunda ſerio dici poſſunt, vtriq; veſtrûm proponam. Hoc igitur eſt orationis velvti condimētum; atque huius temporis celebritas in eo poſita, vt prçſentis anni felix nuncupatio declaretur, quæ par beatū Patris ſimul ac Filij præſcribat: qui quidem paternæ purpuræ æquales ſunt: atque iſtum honorem indicabit plus à vobis accipere, quàm cōferre ſplendoris ac gloriæ. Hunc enim veſtrum alter Imperij prçmium, alter primordium facit. Sed vtriſq; ad ampliora progreſſio commune quoddam præmium obtigit. Cum enim neuter ſimile quicquam antea ſperaſſet, tu ex priuato Imperator, hic Conſul eſt factus, cum in alterum prius facta eſſet animorum propenſio. In quo ſanè tua imprimis admirabilis prouidentia eſt, quòd eo ad amplitudinem ac dignitatem vſus es, quod ex neceſſitate difficile ac moleſtum acciderat. Hucuſque vos communiter noſtra compellauit oratio: deinceps ad te, Imperator, progredietur: facilè autem in eo ſuperiorem te eſſe patietur Puer, cuius non minus ipſe particeps eſt futurus. Sed paulo altiùs dicendi initium repetendum. Iampridem ergo paternæ virtutis nomine debitum tibi Imperiū fuerat:

Sed

ἀπόρροιαν ἐκείνης τῆς φύσεως, πρόνοιαν ἐγγυτέρω τῆς γῆς, ἁπανταχοῦ πρὸς ἐκεῖνον ὁρῶντα, πανταχοῦ πρὸς τὴν μίμησιν τεταγμένον, ἀτεχνῶς διογενῆ καὶ διοτρεφῆ, καθάπερ Ὅμηρος λέγει, κοινωνοῦντα τῷ θεῷ καὶ τῶν λοιπῶν ἐπικλήσεων, ξένιον, ἱκέσιον, φίλιον, ἐπικάρπιον, ἐάων δοτῆρα, δικαιοσύνης χορηγὸν, ῥᾳστώνης ταμίαν, πρύτανιν εὐδαιμονίας. ταύτας εἰσφέρουσι τὰς εἰσφορὰς φιλόσοφοι βασιλεῦσιν, οἱ μὴ ψευδώνυμοι. τοὺς φαλακροὺς δὲ καὶ τοὺς χαλκέας τοὺς ἐπιθεμένους τῇ δεσποίνῃ ὀρφανευθείσῃ οὐκ ἐποίει Πλάτων δημιουργοὺς αἱ θεσπίνης μακαριότητος. ὅπερ οὖν λέγω, τὸ μὲν ἀντεισενεγκεῖν σοι βασιλεῦ τῆς εἰς φιλοσοφίαν εὐνοίας τὰ πρέποντα ἀναθήματα, πλείονος καὶ φροντίδος καὶ λόγου· τὰ νῦν δὲ ὁπόσα δυνατὸν καὶ σπουδάσαι πανηγυρίζοντας, ἄμφω σοι συμπαραθώμεθα. τὸ μὲν τοίνυν ἥδυσμα τοῦ λόγου καὶ ἡ πανήγυρις μακαρίαν ἀποφῆναι τὴν ἐπωνυμίαν τοῦ ἔτους, ἢ τὴν ξυνωρίδα ἐπιγράψαι τὴν εὐδαίμονα παιδός τε ἅμα καὶ νέως τῆς πατρῴας ἀλουργίδος ἡλικιώτας, καὶ δεῖξαι τὴν πάροδον τιμὴν ταύτην σεμνοτέραν ὑφ' ὑμῶν γινομένην, ἢ συντελοῦσαν ὑμῖν εἰς σεμνότητα. ποιεῖτε γὰρ αὐτὴν βασιλείας ὁ μὲν ἆθλον, ὁ δὲ, προοίμιον. κοινὸν δὲ ὑμῖν καὶ τὸ ἆθλον τῆς ἐπὶ τὰ ἀμείνω προόδου. ἄμφω γὰρ οὐδὲν προσελπίσαντες, σὺ μὲν αὐτοκράτωρ ἐξ ἰδιώτου, ὁδὶ δὲ, ὕπατος, ἐφ' ἑτέραν τῆς ὁρμῆς γεγενημένης. ὃ καὶ ἄν τις μάλιστα ἀγασθείη τῆς σῆς προμηθείας, ὅτι καὶ τὸ κατ' ἀνάγκην ἐκβαίνει δυσκόλῳ πρὸς σεμνότητα ἀπεχρήσω. μέχρι δὴ τούτου κοινῇ προσειπὼν ὑμᾶς ὁ λόγος, τοὐντεῦθεν ἤδη πρὸς σὲ βαδιεῖται· συγχωρήσει δέ σοι πλεονεκτεῖν ὁ νεανίας ὢν οὐχ ἧττον καὶ αὐτὸς μεταλήψεται. μικρὸν δὲ ἄνωθεν ἀναληπτέον, ὅτι σοι πατρῴας μὲν ἀρετῆς ἕνεκεν ὠφλισκάνετο καὶ πρὶν ἡ βασιλεία·

τελευτήσαντος δὲ τοῦ πρεσβυτέρου τῶν παραρξάντων, ἀπολαβεῖν μελλήσας τὸ χρέος, ἵνα μὴ δόξειης ἐπιτίθεσθαι τῷ λειπομένῳ τῆς Κωνσταντίνου διαδοχῆς, εἰς τὸν παρόντα καιρὸν ἐφυλάχθης, ὥστε κομίσασθαι τὸ πατρῷον ὄφλημα, μηδενὸς ἀδικουμένου. Ἀλεξάνδρου μὲν γὰρ μεταλλάξαντος ἐν Βαβυλῶνι, Μακεδόνες οὐχ εὗρον τὸν κληρονόμον, ἀλλὰ Πτολεμαίου τοῦ Λάγου παρητίμησαν τὸν ἀνόητον Ἀριδαῖον, ὥσπερ χρήματα διαλύοντες ὑπὲρ ἀδελφοῦ τεθνηκότος τῷ περιόντι, ἀλλ' οὐ βασιλείαν διδόντες, ἧς μόνος διάδοχός ἐστιν ὁ σώζειν αὐτὴν ἐπιστάμενος. οἱ δὲ ἡμέτεροι ψηφοφόροι καὶ στρατιῶται τῆς τοῦ σώματος ἀγχιστείας τὴν τῆς ψυχῆς προεξήτασαν, καὶ ἀπέφηναν κληρονόμον τῆς ἁλουργίδος τὸν κληρονόμον τῆς ἀρετῆς· καὶ ταῦτα οὐκ ἐν σχολῇ, οὐκ ἐν εἰρήνῃ, οὔτε ἐνδιδόντος τοῦ καιροῦ θεραπείας καὶ παραγγελίας καὶ δεκασμούς, ἀλλ' ὡς ἐν ἀκμῇ τῆς ἐνυοῦς, ἐν τοῖς ξίφεσιν, ἐν τοῖς δόρασι φέροντες τὰς ψήφους, ἀπαράκλητον γνώμην, ἀκατασκεύαστον χειροτονίαν, ἣν ὁ καιρὸς ἐψηφίζετο, πρὸς ἣν χρεία ἐχειραγώγει. καί, τόγε ἔτι θαυμασιώτερον, ἐν ἐκκλησίᾳ ὑπερορίῳ, ἔξω τῆς Ῥωμαίων γῆς, ὑπὲρ τῆς Ῥωμαίων ἀρχῆς. καί σοι μόνῳ περίεστι τὸ κεκτῆσθαι τὴν βασιλείαν, ἢ κριτὰς ἢ μάρτυρας παραστήσασθαι πάντας ἀνθρώπους, κριτὰς μὲν τοὺς φίλους, μάρτυρας δὲ τοὺς πολεμίους. ὅτι γὰρ οὐχ ἧττόν σε Πέρσαι ἐχειροτόνουν Ῥωμαίων, ἔδειξαν, τὰ ὅπλα ῥίψαντες ἐπὶ τῆς ἀναρρήσεως ἤσθοντο, καὶ τοὺς αὐτοὺς πρὸ τοῦ μὲν θαρροῦντες, ὀλίγῳ δὲ ὕστερον εὐλαβούμενοι. οὕτω φασὶ καὶ τὸν Θηβαῖον Ἐπαμινώνδαν στρατεύεσθαι μὲν ἐν τοῖς ἄλλοις ὁπλίταις, ἑτέρων βοιωταρχούντων, πιεζομένης δὲ τῆς φάλαγγος ὑπὸ Θετταλῶν, ἐκ μέσης τῆς παρατάξεως βοιωτάρχην ἀναδειχθῆναι, καὶ οἴχεσθαι φυγῇ παραχρῆμα τοὺς πολεμίους, δείσαντας στρατηγὸν ὃν στρατιώτην οὐκ ἐδεδοίκεσαν. σὲ δὲ οὐ Θηβαῖοι καὶ Θετταλοί,

Sed poſtquam eorum qui ante Imperium geſſerant, natu grandior vita functus eſt, debitum iſtud recipere cunctatus, ne imminere ei videreris, qui è Conſtantini ſtirpe poſtremus ſupererat, ad id temporis reſeruatus es, vt citra cuiuſquam iniuriam paternum debitum reciperes. Nam Alexandro apud Babylonem defuncto, Macedones ſucceſſorem nullum idoneum repererunt: Sed Ptolemæo Lagi filio Aridæum ſtolidum prætulerunt, tanquam pecunias mortui fratris loco, ſuperſtiti perſoluerent, non imperium conferrent, cuius hæres ille vnicus eſt, qui illud conſeruare ac tueri nouerit. Noſtri vero illi ſuffragatores, & milites affinitati corporis animi cognationem anteposuerunt, atque hæredem virtutis, hæredem etiam Purpuræ conſtituerunt. Hæc non in otio, non in pace, non eo denique tempore geſta ſunt, quod ambitus prenſationem, aut decuriationem vllam admitteret, ſed velvt in ipſo feruore Martis, inter gladios atque haſtas ſuffragia perlata ſunt, hoc eſt non precibus extorta ſententia, nec per fraudem comparata creatio, quam tempus ipſum ſciſceret; ad quam neceſſitas ipſa perduceret: quodque in ea re admirabilius eſt; in concione vltra limites habita, extra Romanam ditionem, pro Romanorum Imperio. Vnde tibi iſtud vni conceſſum eſt, vt collati in te Imperij, vel iudices, vel teſtes mortales omnes poſſis producere: Iudices nimirum amicos, teſtes vero ipſoſmet hoſtes. Non minus enim te à Perſis, quàm à Romanis Imperatorem factum perſpicuè illi declararunt, cùm ſimul ac renunciatum te intellexerunt, arma proiecerunt. Ita vt eos poſtmodum metuerent, contra quos audaces antea atque inſolentes extiterant. Sic & Thebanum olim Epaminondam ferunt, cum inter alios milites in ordine eſſet ſub aliis Bœotorum Ducibus, atque à Theſſalis vrgeri exercitus cœpiſſet, media ex acie Bœotorum Imperatorem eſſe factum: ſtatimque hoſtes in fugam conuerſos, cum eundem, quem militem antea non timuiſſent, Imperatorem perhorreſcerent. Te vero non Thebani, ac Theſſali,

illi vltro crearunt, hi inuiti comprobarunt; ſed in vnum coactus Occidens vniuerſus, atque Oriens, quemadmodum æquum illum erat, qui toti terrarum orbi eſſet imperaturus, nullam eius partem ſuffragij expertem habere. Igitur cum haſtatus in expeditionem profectus eſſes, Imperator reuerteris: non ex equi hinnitu, velvt Darius: nec poſtquam galea libaſſes, quemadmodum Pſammitichus, nec iracũdæ mulieris opera ad Imperium euectus: ſed vel inimiciſſimis generibus eadem decernentibus, eadem ſtatuentibus,

Hi pugnam inter ſe dira pro lite cientes,
Iidem illi ſubito diſcedunt fœdere iuncti.

Non balteum enſe permutantes, ſed eiuſdem terræ ceſpites ad extruendum Tribunal miſcentes, & occaſionẽ belli in concordiæ ac ſocietatis initium trahẽtes. Tu vero cum neceſſitate cõpulſus, ſine cruore, integrum ſtatim Imperium accepiſſes, meliùs conſeruaſti, quàm qui generis ſucceſſione illud erant antea cõſecuti. Cauſa autem hęc erat, quod neminem infenſum tibi arbitrarere, nec tanquã digniorem metueres: atq; ita ex duabus Platonis ſententiis, alteram confirmaſti; Tũc ſcilicet pacata ac tranquilla imperia fore, cum iis mandarentur, qui ad id idonei maximè eſſent, & minimè tamen concupiſcerent. Poſtquam enim non ita primo ex ordine ad ſummum atque ampliſſimum prouectus es, non te aut æqualium tuorum obliuio cepit, aut liuor erga eos, qui tum honore præceſſerant, aut eos poſtremò, qui dignitate iam eſſent inferiores, aſpernatus es: Sed quamuis tantopere fortuna antecelleres omnibus, in eodem erga omnes animo ac voluntate perſtitiſti: vtpotè præclarè iſtud intelligens, non felicitatis eminentiam Imperium eſſe, ſed virtutis. Ac Darium illum Hyſtaſpis filium, parum in compenſando magnificum fuiſſe declaraſti. Cum autem animaduertiſſes, domeſticorum atque comitum iuſtitiam vnicum eſſe Principi fundamentum ſecuritatis, eos omnes, qui vbique terrarũm erant optimi, partim reuocaſti, partim adſciuiſti, partim liberaſti.

οἱ μὲν ἑκόντες ἐχειροτόνησαν, οἱ δὲ ἄκοντες ἐπεψηφίσαντο, ἀλλὰ συνελθοῦσα ἥτε ἑσπέρα καὶ ἡ ἑῴα, ὥσπερ εἰκὸς ἦν τὸν μέλλοντα ἁπάσης ἄρξειν τῆς γῆς, μηδ' ὁποιοῦν αὐτῆς μόριον ἐᾶν ἄμοιρον τῆς ψήφου. καὶ ἐξεστράτευσας μὲν αἰχμοφόρος, ἐπανήκεις δὲ αὐτοκράτωρ, οὐχ ἵππου χρεμετίσαντος, ὥσπερ Δαρεῖος· οὐδὲ κυνὶ σπείσας, ὥσπερ Ψαμμίτιχος· οὐδὲ γυναικός σε διαζήλου προσβαλλομένης εἰς τὴν ἀρχήν, ἀλλὰ τῶν δυσμενεστάτων γλωσσῶν τὰ αὐτὰ κρινόντων καὶ τὰ αὐτὰ γινωσκόντων,

Οἱ μὲν ἐμάρνανθ' ἔριδος πέρι θυμοβόροιο,

Οἱ δ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμηθέντες,

Οὐ ζωστῆρα ξίφους ἀνταλλαξάμενοι, ἀλλὰ ταύτην τὴν γνώμην ἀναμίξαντες, καὶ τὴν ὑπόθεσιν τοῦ πολέμου συμμαχίας ἀρχὴν ποιησάμενοι. δεξάμενος δὲ ὑπ' ἀνάγκης ὁλόκληρον εὐθὺς τὴν ἀρχὴν ἀναίμακτον, ἐτήρησας μᾶλλον τῶν ἐκ γένους παραλαβόντων. αἴτιον δέ, ὅτι μήτε δύσνουν τινὰ ὑπειλήφεις, μήτε ἐδεδίεις ὡς ἀξιώτερον, καὶ δυεῖν ἀποφάσεων Πλάτωνος σὺ τὴν ἑτέραν ἐβεβαιώσω, τότε ἀστασιάστους ἔσεσθαι τὰς ἀρχὰς ὅταν ἄρχωσιν οἱ πρέποντες μὲν τὴν ἀρχήν, ἥκιστα δὲ προθυμούμενοι. μεταστὰς γὰρ ἐκ τάξεως οὐ λίαν προφήτης εἰς τὴν ἁπασῶν ὑψηλοτάτην, οὔτε ἐξελάθου τῶν ὁμοτίμων, οὔτε ἐβάσκηνας τοῖς τηνικαῦτα προτεταγμένοις, οὔτε ὑπερεῖδες τῶν καὶ πρότερον ἀπολελειμμένων· ἀλλ' ὑπερβὰς τῇ τύχῃ τοσοῦτον ἅπαντας, ἐμμεμένηκας τῇ πρὸς ἅπαντας προαιρέσει, ὥσπερ ἀκριβῶς ἐγνωκὼς ὅτι τὴν βασιλείαν ἀρετῆς ὑπεροχὴν νομιστέον, οὐκ εὐτυχίας. καὶ τὸν Ὑστάσπου Δαρεῖον μικρὸν ἀπέφηνας εἰς μεγαλοπρέπειαν ἀμοιβῆς. αἰσθόμενος δὲ ὅτι τῶν βασιλέων κρηπὶς ἀσφαλείας ἡ τῶν συνόντων δικαιοσύνη, τοὺς ἀπανταχόθεν ἀρίστους τοὺς μὲν ἐπανήγαγες, τοὺς δὲ προσείλου, τοὺς δὲ ἀπήλλαξας.

καὶ δορυφορεῖ σοι νῦν τὰ βασίλεια Νέστορος μὲν εὐβουλία· Διομήδους δὲ ἐλευθερία, καὶ ὁ τοῦ Κύρου Χρυσάντας, καὶ ὁ τοῦ Ξέρξου Ἀρτάβαζος. Εἶτά σοι προοίμιον γέγονε τῆς τῶν ἀνθρώπων ἐπιμελείας ἡ περὶ τοῦ θείου νομοθεσία. καὶ δῆτα ἐμβέβηκεν ὁ λόγος εἰς τὴν πάλαι ὡρμημένην ἀρχήν. μόνος γάρ, ὡς ἔοικεν, οὐκ ἀγνοεῖς ὅτι μὴ πάντα ἔνεστι τῷ βασιλεῖ βιάσασθαι τοὺς ὑπηκόους, ἀλλ' ἔστιν ἃ τὴν ἀνάγκην ἐκπέφευγε, καὶ ἀπειλῆς ἐστι κρείττω καὶ ἐπιτάγματος, ὥσπερ ἥ τε ἄλλη ξύμπασα ἀρετή, καὶ μάλιστα ἡ περὶ τὸ θεῖον εὐλάβεια· καὶ ὅτι χρὴ προηγεῖσθαι τῶν ἀγαθῶν τούτων ὅτῳ μέλλει μὴ πεπλασμένως ὑπάρξειν, ἀβίαστον τὴν ὁρμὴν τῆς ψυχῆς καὶ αὐτοκράτορα καὶ ἑκούσιον πάνυ σοφῶς κατανοήσας. Εἰ γὰρ οὐδέ σοι βασιλεῦ δυνατὸν κατὰ διάγραμμα εὔνουν εἶναι τὸν μὴ τοῦτο ἔνδοθεν προαιρούμενον, πόσῳ μᾶλλον εὐσεβῆ καὶ θεοφιλῆ γράμματα ἀνθρώπινα δεδιότας, καὶ ἐπικήρους ἀνάγκας, καὶ ἀσθενῆ μορμολύκια, ἃ πολλάκις μὲν ἤνεγκεν ὁ χρόνος, πολλάκις δὲ καὶ περιήνεγκεν; εἶτα ἐλεγχόμεθα πάνυ γελοίως ἁλουργίδας, οὐ θεὸν θεραπεύοντες, καὶ ῥᾷον Εὐρίπου μεταβαλλόμενοι τὰς ἁγιστείας. καὶ πάλαι μὲν εἷς Θηραμένης, νῦν δὲ ἅπαντες κόθορνοι, μικροῦ δεῖν χθὲς ἐν τοῖς δέκα, σήμερον δὲ ἐν τοῖς πεντήκοντα, οἱ αὐτοὶ πρὸς βωμοῖς, πρὸς ἱερείοις, πρὸς ἀγάλμασι, πρὸς τραπέζαις. ἀλλ' οὐ σύ γε ὦ θεοειδέστατε βασιλεῦ, ἀλλὰ τά τε ἄλλα αὐτοκράτωρ ὤν τε καὶ εἰς τέλος ἐσόμενος, τὸ τῆς ἁγιστείας μέρος· ἁπάντων εἶναι νομοθετεῖς· καὶ τοῦτο ζηλῶν τὸν θεόν, ὃς τὸ μὲν ἔχειν πρὸς εὐσέβειαν ἐπιτηδείως, τῆς φύσεως κοινὸν ἐποίησε τῆς ἀνθρωπίνης· τὸν τρόπον δὲ τῆς θεραπείας ἐξῆψε τῆς ἐν ἑκάστῳ βουλήσεως. ὁ δὲ προσάγων ἀνάγκην, ἀφαιρεῖται τὴν ἐξουσίαν ἣν ὁ θεὸς συνεχώρησε.

Nunc itaque Palatium tuum ſtipatorum inſtar ac ſatellitum cuſtodit hinc Neſtoris in conſiliis dandis prudentia, inde Diomedis libertas, hinc Chryſantas ille Cyri, inde Artabazus Xerxis. Tum deinde tuæ erga homines curæ ac ſollicitudinis initium à conſtituenda religione feciſti. Atque opportunè ſanè ad illud dicendi exordium, quod iamdudum agitabam, noſtra ſe conuertit oratio. Solus enim, vt apparet, non ignoras, non in omnibus poſſe ſubditos à Principibus cogi, ſed eſſe nonnulla quæ vim omnem ac neceſſitatem effugiant, minisq; omnibus ſint ac mandatis ſuperiora: quemadmodum & cæteræ virtutes omnes, & erga Deum maximè pietas, atque religio. Porrò in eiuſmodi bonis, vt ne ea ficte cuipiam ſimulatéque ſuppetant, liberam animi propenſionem, ſuique iuris, ac voluntariam principem habere locum oportere: Recte id quidẽ, ac ſapienter prorſus animaduertens. Nam ſi neque hoc edicto tuo (Imperator) facere potes, is vt beneuolus in te ſit, cui non in animo iſtud collibuerit; quanto magis pios efficere, ac religioſos illos non potes, qui hominum decreta reformident, breuem, ac minimè diuturnam neceſſitatem, atque imbecillum terrorem, quem & ſæpius tempora tulerunt, & ſæpius abſtulerunt? Hinc eſt quod ridiculè omnino non Deum colere, ſed Purpuram conuincimur, & in mutanda religione Euripo inſtabiliores ſumus. Et olim quidem vnus Theramenes erat: nunc cothurni omnes ſunt: heri tantùm non inter decem, hodie inter quinquaginta numerati; iidem ad aras, ad victimas, ad ſimulacra, atque menſas. Non ita (diuiniſſime Imperator) feciſti: ſed cum in cæteris Imperator & eſſes, & perpetuò ſis futurus, quod ad religionem, cultúmque numinis pertineret, in cuiuſlibet eſſe arbitrio tua lege conſtituiſti. Hac & in parte Deum imitatus, qui cum naturalem quandam ad religionem propenſionem communem omnium hominum feciſſet, rationem tamen modúmque colendi numinis in vniuſcuiuſque voluntate ac libertate ſitam voluit. Quiſquis vero vim ac neceſſitatem infert, is conceſſam à Deo poteſtatem eripit.

Propterea Cheopis & Cambyſis leges vix cum illorũ qui conſtituerãt, vitę tempore adæquatæ ſunt; Dei autem, vt & tua, ſanctio immobilis ac ſempiterna manet: vti vniuſcuiuſque animo liberè permittatur, quodcumque iudicauerit, iter pietatis arripere. Hanc ipſam vero legem neque opum ac facultatum ereptio, neque cruces, neque ignis vnquam perrumpere potuerunt: Verùm corpus quidem, ſi ita contigerit, abduces, atque interficies, animus autem liberam vnà cum lege mentem circumferens auolabit, quamuis extortum ab lingua fortaſſis aliquid fuerit. At ego te etiam (Imperator) confido, diuinæ iſtius legis rationem intelligentem hunc in modum illius veſtigia eſſe conſecutum. Nimirum hominem eſſe ita comparatum, vt quæ contentione quadam, ac certandi ſtudio perficiat, in ea gerenda vehementius incumbat: quæ vero citra contentionem agat, ea lentius ac remiſſius capeſſat: Sic ipſa æmulorum atque aduerſariorum inopia oſcitantes nos atq; inertes facit. Facilè enim ſemper animus ad laborem concertationis ſtudio prouocatur. Ob id egregiam illam pietatis contentionem non excludis: non illum ardoris erga diuinum cultum, ac pietatis ſtimulum retundis, mutuum inuicem certamen, ac ſtudium. Quemadmodum autem ſub eodem certaminum moderatore feruntur quidem curſores omnes, nec eodem tamen omnes curriculo, ſed hac iſti, alia illi parte: ita tamen vt vbique, qui vincitur, nullum pręmium reportet: Sic vnum tu maximum ac verum certaminum pręſidem eſſe arbitraris: ad eum tamen non vna tantum via perueniri, ſed aliam difficiliorem, aliam rectiorem, aſperam aliam, aliam æquabilem, ac planam eſſe: Cæterum omnes ad idem illud diuerſorium pertinere: nec aliunde certamen hoc nobis, ac concitationẽ oriri, quàm quòd non eadem omnes via progrediantur. Quòd ſi vna dumtaxat relicta cæteras obſtruxeris, certaminis campum ac ſpatium obſepies. Vetus hęc hominum natura eſt; & hoc dictum; *Sacra alius Diuorum alÿ facit*, Homero antiquius eſt. Ac neſcio an minimè Deo gratum ſit, iſtiuſmodi inter homines conſenſum reperiri.

Natura

καὶ διὰ τοῦτο οἱ μὲν Χέοπος νόμοι καὶ οἱ Καμβύσου μάγοι τοῖς θεμένοις αὐτοῖς συνδιήρκεσαν· ὁ δὲ τοῦ θεοῦ καὶ ὁ σὸς νόμος ἀκίνητος μένει τὸν πάντα αἰῶνα, ἀπολελύσθαι τὴν ἑκάστου ψυχὴν πρὸς ἣν οἴεται ὁδὸν εὐσεβείας. καὶ τούτων οὐ χρημάτων ἀφαίρεσις, οὐ σκόλοπες, οὐ πῦρ κατὰ τὸν νόμον πώποτε ἐβιάσατο. ἀλλὰ τὸ μὲν σῶμα ἄξεις καὶ ἀποκτενεῖς, ἂν οὕτω τύχῃ, ψυχὴ δὲ οἰχήσεται, ἐλευθέραν μέντοι τοῦ νόμου συμπεριφέρουσα τὴν γνώμην, εἰ καὶ τὴν γλῶτταν ἐκβιασθείη. ἐγὼ δέ σε ὦ βασιλεῦ, πέπεισμαι καὶ τὴν αἰτίαν καταμαθόντα τῆς θείας ταύτης νομοθεσίας, οὕτως αὐτῇ κατ᾽ ἴχνος ἀκολουθῆσαι, ὅτι πέφυκεν ἄνθρωπος· ὅσα δὲ καὶ πρὸς ἅμιλλαν διαπράξεται, συντονώτερον ἀπεργάζεσθαι, ὅσα δὲ ἄνευ φιλονεικίας, ταῦτα ῥᾳδιουργεῖν· καὶ χάσμης ἐμπίπλησιν ἡμᾶς καὶ ἀργίας τὸ παντάπασιν ἀνανταγώνιστον. ἐρεθίζεται γὰρ ἀεὶ ῥᾳδίως ὑπὸ τοῦ φιλονείκου πρὸς τὸ φιλόπονον ἡ ψυχή. διὰ τοῦτο οὐκ ἀποκλείεις τὴν ἀγαθὴν ἔριν τῆς εὐσεβείας, καὶ διὰ τοῦτο οὐκ ἀμβλύνεις τὸ κέντρον τῆς περὶ τὸ θεῖον σπουδῆς, τὴν πρὸς ἀλλήλους ἅμιλλαν καὶ φιλοτιμίαν. ὥσπερ δὲ ὑπὸ τὸν αὐτὸν ἀθλοθέτην ἵενται μὲν ἅπαντες οἱ σταδιεῖς, οὐ μὴν ἅπαντες τὸν αὐτὸν δρόμον, ἀλλ᾽ οἱ μὲν, ἔνθεν, οἱ δὲ, ἔνθεν, ἁπάντῃ δὲ ἀγέραστος ὁ ἡττώμενος· οὕτως ἕνα μὲν ὑπολαμβάνεις τὸν μέγαν καὶ ἀληθινὸν ἀγωνοθέτην, ὁδὸν δὲ ἐπ᾽ αὐτὸν οὐ μίαν φέρειν, ἀλλὰ τὴν μὲν, δυσπορωτέραν, τὴν δὲ, εὐθυτέραν· καὶ τὴν μὲν, τραχεῖαν, τὴν δὲ, ὁμαλήν· συντετάσθαι δὲ ὅμως ἁπάσας πρὸς τὴν μίαν ἐκείνην καταγωγήν, καὶ τὴν ἅμιλλαν ἡμῖν καὶ προθυμίαν οὐκ ἀλλαχόθεν ὑπάρχειν, ἀλλ᾽ ἐκ τοῦ μὴ τὴν αὐτὴν πάντας βαδίζειν. εἰ δὲ μίαν μὲν ἀτραπὸν ἐάσεις, ἀποικοδομήσεις δὲ τὰς λοιπὰς, ἐμφράξεις τὴν εὐρυχωρίαν τοῦ ἀγωνίσματος. αὕτη παλαιὰ φύσις ἀνθρώπων, καὶ τὸ, ἄλλος δ᾽ ἄλλῳ ἔρεξε θεῶν, Ὁμήρου παλαιότερον ἦν. μήποτε γὰρ οὐκ ἀρεστὸν τῷ θεῷ ταύτην ἐν ἀνθρώποις γενέσθαι ποτὲ τὴν συμφωνίαν.

φύσις δὲ (καθ' Ἡράκλειτον) κρύπτεσθαι φιλεῖ, καὶ πρὸ τῆς φύσεως, ὁ τῆς φύσεως δημιουργός· ὃν διὰ τοῦτο μάλιστα σεβόμεθα καὶ τεθήπαμεν, ὅτι μὴ πρόχειρος ἡ γνῶσις αὐτοῦ, μηδὲ ἐπιπολῆς καὶ ἐρριμμένη, μήτε ἀνιδρωτὶ λαβέσθαι αὐτῆς οἷόν τε, καὶ τῇ ἑτέρᾳ. τοῦτον ἐγὼ τὸν νόμον * * πρὸς ἑαυτοὺς ἀστασίαστοι βιωσόμεθα.* χείρους Περσῶν ἀλλήλοις ἦμεν, χαλεπώτεραι ἦσαν τὴν ἐπιδρομὴν αἱ γραφαὶ, ἐξ ἑκατέρας θρησκείας παρὰ τῆς πόλεως, ὦ θεοφιλέστατε αὐτοκράτορ, ὑπερεκτείνατό σοι παραδείγματα ἐναργῆ ὁ παρελθὼν χρόνος. ἔα μένειν τὴν πρυτανείαν ἐφ' ἑαυτῆς, μὴ καθελκύσῃς ἐπὶ θάτερα τὴν ῥοπήν. ἀπανταχόθεν φοιτᾷν εἰς τὸν οὐρανὸν ταῖς ὑπὸ τῶν σκήπτρων τῶν σῶν ἱκεσίας. οὐδὲ ἡ σὴ βασιλεῦ στρατιὰ συντέτακται πᾶσα ἐκ μιᾶς ἰδέας καὶ τῆς αὐτῆς· ἀλλ' οἱ μὲν ὁπλιτεύουσιν, οἱ δὲ ἱππεύουσιν, οἱ δὲ ὁπλίζονται, οἱ δὲ σφενδονῶσι. καὶ οἱ μὲν περὶ τὸ σῶμα τὸ σὸν εἰσὶ τεταγμένοι, οἱ δὲ ἐγγὺς, οἱ δὲ καὶ ἄποθεν λίαν· τοῖς δὲ ἀγαπητὸν εἰ γνωρίζοιντο τοῖς δορυφόροις, οἱ δὲ καὶ τοῦτο ἀδυνατοῦσιν· εἰς σὲ δὲ ὅμως πάντες ἀνήρτηνται καὶ τὴν γνώμην, οὐχ οἱ στρατευόμενοι μόνον, ἀλλὰ καὶ οἱ λοιποὶ σύμπαντες ἄνθρωποι, καὶ οἱ δίχα τῶν ὅπλων ὑπήκοοι, οἱ γεωργοῦντες, οἱ ῥητορεύοντες, οἱ ῥητορευόμενοι, οἱ φιλοσοφοῦντες. ταύτῃ νόμιζε γάνυσθαι τῇ ποικιλίᾳ καὶ τὸν τοῦ παντὸς ἀρχηγέτην· ἄλλως Σύρους ἐθέλει πολιτεύεσθαι, ἄλλως Ἕλληνας, ἄλλως Αἰγυπτίους· καὶ οὐδ' αὐτοὺς Σύρους ὁμοίως, ἀλλ' ἤδη κατακερματίσαι εἰς μικρά. εἷς γὰρ οὐδεὶς τῷ πέλας τὰ αὐτὰ ὑπείληφεν ἀκριβῶς, ἀλλ' ὁ μὲν, τοδὶ, ὁ δὲ, τοδί. τί οὖν βιαζόμεθα τὰ ἀμήχανα; ἄγασθαι μὲν οὖν καὶ τοὺς ἄλλους τοῦ νόμου προσήκει τὸν θειότατον αὐτοκράτορα, μάλιστα δὲ οἷς οὐκ ἐφίησι μόνον τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τοὺς θεσμοὺς ἐξηγεῖται οὐ φαυλότερον Ἐμπεδοκλέους, οὐ μὰ Δία ἐκείνου τοῦ παλαιοῦ.

Natura quippe (ait Heraclitus) occultari amat, & ante naturam naturæ autor atque artifex Deus: quem ob id vnum maximè veneramur, atque obſtupeſcimus, quòd non procliuis ſit illius cognitio, nec in ſuperficie poſita, aut ante pedes abiecta, nec aut ſine ſudore, aut altera tantum manu apprehendere poſſimus. Hanc ego legem †† nulla inuicem diſſenſione, ac tumultu ætatem agemus † Perſis ipſis antea mutuò nobis infeſtiores eramus: quorum excurſionibus moleſtiores quæ vtraque ex ſecta, & ab ipſa Ciuitate accidebant, accuſationes erant. Tibi (ô chariſſime Deo Imperator) anteactum tempus perſpicua huius rei exempla ſuppeditat. Sine ipſa in ſe ſuſpenſa trutina permaneat. Noli alteram in partem momentum illius deprimere. Patere vndecumque ad cœlum pro Imperio tuo vota precéſque pertingere. Neque tibi exercitus (Imperator) vllus ex vna eadémque hominum ſpecie conflatur; ſed alij grauioris armaturæ ſunt, equites alij, alij funditores: ac nonnulli ad tutelam corporis tui, ac præſidium diſpoſiti ſunt, alij iis ipſis proximi, alij longiſſimè remoti, alij vero vel hoc ipſo contenti ſunt, ſi à ſtipatoribus tuis cognoſcantur: alij denique ne hoc quidem aſſequuntur. Nihilominus tamen à te omnes animo ac voluntate pendent, non milites modo, verum etiam cæteri omnes homines, & inermes ſubditi, velut agricolæ, oratores, qui orationibus aures præbent, Philoſophi. Hac quoque varietate totius vniuerſi autorem ac Principem delectari puta: Aliis inſtitutis ac ritibus vti Syros, aliis Græcos, aliis Ægyptios cupit, nec Syros adeo ipſos iiſdem omnes legibus cenſeri, ſed adhuc bifariam illorum inſtituti ratio diſtribuitur. Nullus enim eadem cum vicino ſuo penitus ſentit, ſed aliud vni, aliud alteri videtur. Quid nos igitur, quæ fieri nullo modo poſſunt, violenter efficimus? Atque cùm cæteros omnes Diuinum Imperatorem noſtrum amare de ea lege plurimum oporteat, tum eos potiſſimum, quibus non modo libertatem tribuit, ſed & iura ipſorum explicat, nihilo ſanè Empedocle deterius, (non veterem illum Empedoclem intelligo.)

Rectè enim illud nouit, vnicuiq; humanorum bonorum fraudem ac fallaciam in propinquo eſſe poſitam, ita vt & magnificentiæ perſonam præſtigiæ & impoſtura pietatis aſſumant. Propterea cum alias promoueat, alias tamen prohibet, & cum templa patefaciat, incantationum ac præſtigiarum ſacraria intercludit, ac legitimis ſacrificiis permiſſis, veneficiis licentiam nullã facit: prorſus eadem cum Ariſtonis filio Platone conſtituens: cuius vobis ego verba ipſa proferrem, niſi prolixiora ea eſſent, quàm temporis ratio pateretur. Verum ad ipſam denuò celebritatem redeundum eſt: quam cum omnium quæ vnquam extiterunt præſtantiſſimam iudicem, nonnihil tamen ei ſuccenſeo, quòd nondum egregia mecum Ciuitas, eorũ quæ hîc aguntur, ſpectaculo fruitur. Nunc vtique (ô eximia Ciuitas) mœrens triſtiſque ſacrificia peragis, & ſolemnes ludos ac choreas dolens interim inſtituis, ac ſpe futurorum exultans, mora ipſa atque cunctatione amplius cruciaris. Quod ſi expoſitum in litus amatorem tuum cerneres, & domi veſtigia imprimentem, quas non lætitiæ atq; hilaritatis voces emitteres? Etenim poſt Conſtantini filiũ, poſt eiuſdem ex Fratre nepotem, magnum illum atque egregium Conſtantium recipis.

Tales quippe pedes habuit quondam ille, manuſque,
Atque oculorum acies.

Nihil de faſcia ac diademate detraxit: non mancam Purpuram induit: ſeruabit eundem in te amoris ac beneuolentiæ modum. Cum Athenienſes olim de Perſis victoriam retuliſſent, in ipſis nauibus Myſteria cum facibus celebrarunt. Hic Imperator ſecundùm pacem, poſtquam extra templum prꝗludiis ſacrorum initiauerit, ſacra ipſa ac cæremonias in delubri adytis inſtituet. Age igitur, optime Imperator, quantum poſſumus iter acceleremus. Vides vt cœlum ipſum pariter cum Ciuitate geſtiens, laxatis nubibus, intempeſtiuè verni temporis ſuauitatem oſtendat? Sed interim Luciferum illum præmitte, Conſulem dico eum, qui in vlnis adhuc geritur, qui iam tum ab vberibus dependens patriſſat.

οἶδε γὰρ ἀκριβῶς ὅτι τῶν ἀνθρωπίνων ἀγαθῶν ἑκάστῳ ἀπάτη καὶ φενακισμὸς παραπέπηγε, καὶ ὑποδύεται μεγαλοπρέπειαν μαγγανεία, καὶ εὐσέβειαν ἀγυρτεία· καὶ διὰ τοῦτο τὰς μὲν προσάγει, τὰς δὲ κωλύει, καὶ ἱερὰ ἀνοίγων, ἀποκλείει μαγγανευτήρια, καὶ θυσίας ἐννόμους ἀφιεὶς, οὐ δίδωσιν ἄδειαν τοῖς γοητεύουσιν, ἄντικρυς τὰ αὐτὰ νομοθετῶν Πλάτωνι τῷ Ἀρίστωνος. καὶ εἶπον ἂν τὰ ῥήματα ὑμῖν, εἰ μὴ τοῦ καιροῦ μακρότερα ἦν. ἀλλ' ἐπανιτέον αὖθις εἰς τὴν πανήγυριν, ἣν ἁπασῶν ἐγὼ πανηγύρεων τιμιωτάτην ποιούμενος, καὶ δυσχεραίνω τι πρὸς αὐτὴν, ὅτι μὴ συναπολαύει μοι τέως ἡ καλλίπολις τῶν δρωμένων. ἦ που θύεις ὦ γύναια σκυθρωπάζουσα, καὶ πανηγυρίζεις, καὶ χορεύεις ὀδυνωμένη, καὶ γεγηθυῖα πρὸς τὴν ἐλπίδα, πλέον πρὸς τὴν μέλλησιν ἀνιᾷ. Εἰ δὲ ἀποβάντα ἴδῃς τὸν ἐραστὴν καὶ τὸ ἴχνος ἀπερείσαντα οἴκοι, ποίας οὐκ ἀφήσεις φωνάς; ποίας οὐκ ἐμπλήσεις τὸν αἰθέρα βοῆς; μετὰ τὸν νέα, μετὰ τὸν ἀδελφιδοῦν Κωνσταντῖνον, αὐτὸν ἐκεῖνον τὸν πάνυ Κωνστάντιον ἀπείληφας.

Κείνου μέντοι οἵδε πόδες, τοιαίδε τε χεῖρες,
Ὀφθαλμῶν τε βολαί.

Οὐκ ἀφείλετο τῆς ταινίας, οὐκ ἐνήψατο κολοβὸν τὴν ἀλουργίδα. φυλάξει σοι τὸ αὐτὸ μέτρον καὶ τῆς εὐνοίας. Πέρσας δὲ καὶ Ἀθηναῖοι νικῶντες ἐν ταῖς ναυσὶν ἐδᾳδούχησαν τὰ μυστήρια. καὶ βασιλεὺς μετὰ τὴν εἰρήνην ἔξω τοῦ νεὼ τὰ προτέλεια μυήσας, εἰς τὰ ἀνάκτορα τὴν τελετὴν καταθήσεται. σπεύδωμεν ὦ μακάριε καὶ ἐγκονῶμεν. ὁρᾷς τῇ πόλει καὶ τὸν οὐρανὸν συμπροθυμούμενον, ἀνίησι τὰς νεφέλας, ἔαρ ὑποφαίνει πρὸ ὥρας, στέλλει μοι τέως τὸν ἑωσφόρον, τὸν ἐν ἀγκάλαις ὕπατον, τὸν ἐκ τοῦ μαστοῦ πατρώζοντα ἤδη,

ὡς θαῤῥαλέος, ὡς ἀκατάπληκτος, ὡς ὅμοιος δημηγοροῦντι. θεὸς δὲ ὁ μείζω ποιήσας τῆς ἐπωνύμου ταύτης ἀρχῆς, μείζω ἀποφανεῖ καὶ τῆς ἁλουργίδος.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ Κωνστάντιον.

ΛΟΓΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ.

ΑΙΓΥΠΤΙΟΙ τὴν Ἀθηνᾶν τὴν ἐν Σάϊ τά τε ἄλλα σέβονται, καὶ τεθήπασιν αὐτὴν, ἐνιαύσιον ἑορτὴν ἄγοντες, ἣν καλοῦσι λυχνοποιίαν. ἐπειδὰν οὖν τοῖς Αἰγυπτίοις ὁ χρόνος ἐπιδημῇ τῆς πανηγύρεως, οἱ μὲν πολλοὶ τὰ λύχνα ἐνθέμενοι ἐν ταῖς βάρεσι, πλέουσι διὰ τοῦ Νείλου ἐπὶ τὴν Σάϊν, καὶ ἀφικόμενοι εἰς τὸν νεὼν, ἵνα τὸ ἄγαλμα ἵδρυται τῆς θεοῦ, τά τε ἄλλα θρησκεύουσιν ᾗ πάτριος ὁ νόμος, καὶ τὰ λύχνα ἀνακαίουσιν ὕπαιθρα περὶ τὰς σκηνὰς καὶ τὰ κεράσπεδα τοῦ περιβόλου, καὶ ἡ Σάϊς καταλάμπεται ἱερῷ πυρὶ τὴν νύκτα ὅλην ἐκείνην. ὅσοι δὲ ὑπ' ἀσθενείας ἢ τῆς περὶ τὸ πλεῖν δυσεβείας, ἢ καὶ βέλτιον αὐτοῖς ἐνομίσθη μένειν, οὗτοι ἐς μὲν τὴν Σάϊν οὐκ ἀφικνοῦνται, τιμῶσι δὲ οἴκοι τὴν Ἀθηνᾶν, καὶ τὸν καιρὸν λογισάμενοι τῆς ἑορτῆς, ἐν ταῖς ἑαυτῶν πόλεσιν ἕκαστος καὶ τὰ λύχνα ἀνάπτουσι, καὶ ὑμνοῦσι, καὶ εὐφημοῦσι. καὶ διὰ τοῦτο λέγει Ἡρόδοτος οὐκ ἐν Σάϊ μόνον γίνεσθαι τὴν πανήγυριν, ἀλλὰ καὶ ἀνὰ πᾶσαν τὴν Αἴγυπτον. ἐγὼ δὲ ἐπαινῶ μὲν καὶ τοὺς πόῤῥω ἐπ' εὐσέβειαν προθυμουμένους, ἐπαινῶ δὲ οὐδὲν μεῖον καὶ τοὺς ἐφ' ἑστίας τὸ θεῖον τιμῶντας, οὐ ταύτῃ μόνον ὅτι πολλαπλασιάζουσι τὴν ἑορτὴν, καὶ διάγουσι, τό γε ἐφ' ἑαυτοῖς, εἰς πλείονας πόλεις τε καὶ ἀνθρώπους,

Quàm hic audax! quàm interritus! quàm concionabundo ſimilis videtur! Deum Opt. Max. precor vt qui eum participem Magiſtratus illius fecerit, à quo anni nominantur, eundem & Purpuræ aliquando atque Imperij participem efficiat.

IN IMPERATOREM CONSTANTIVM ORATIO XIII.

ÆGYPTII Mineruam apud Saidem cùm alia veneratione colunt, tum velut attoniti ac ſtupore perculſi anniuerſarium in eius honorem feſtum celebrant, quam lucernarum geſtationem appellant. Poſtquam enim celebritatis annuæ tempus aduenit, plerique lucernas nauigiis imponentes, per Nilum ad Saidem nauigant: cúmque ad delubrum peruenerint, vbi Deo ſimulacrum erectum eſt, inter alios ritus, ac ceremonias, ſub dio circa tentoria atque extremos templi ambitus lucernas accendunt: ita vt tota illa nocte Sais vniuerſa ſacris ignibus colluſtretur. Quicumque vero ſiue ob imbecillitatem, ſiue ob nauigationis periculum domi ſeſe continere ſatius arbitrantur, hi Sain quidem minimè proficiſcuntur, Mineruam tamen domi venerantur. Etenim tempus ipſum peragendi feſti computantes animo, ſuis in vrbibus ſinguli lucernas inſtruunt, & hymnis Deam proſequuntur, ac prædicant. Propter quos Herodotus ſcribit non in Saide ſolum, ſed & per vniuerſam Ægyptum feſtum eiuſmodi celebrari. Ego vero quàmuis eos laudem, qui pietatis cauſſa longinquam peregrinationem obeunt, non minus tamen laude dignos alios cenſeo, qui domi ſuæ ſolemnes numini ritus atque honores conſtituunt: non ideo ſolum, quod feſtum ipſum multiplicent, &, quantum in ſe eſt, plures in Ciuitates atque homines producant,

ſed illam etiam ob rationem, quod non in ſolo ſimulacro, neque in ſolo delubro numen reſideat, ſed in omni terrę atque maris tractu, quocumque virtus illius pertinere ac peruagari poteſt. Itaque ſi vobis ea ſententia probatur (probari autem minimè dubito, neq; enim aliter tãquam egregiè eſſet dicta collaudaretis) & cum vtique hominem probabitis, qui eam ſit ſententiam ſecutus. Qui cum liceret ſibi in excelſiam rhedam, ac quatuor rotis inuectã, conſcendere, & alias alio tempore mulas, ſeu mularum potius ſeriem, partim iugalium, partim ad iugum deuinctarum iungere, atq; ita per medios Thracas, Pæonas, & Illyrios, ac ſi quæ aliæ ad Italiam vſque nationes ſunt, dies noctesque ſublimem concitato curſu properare, non

Pleiadas cernentem illic pigrumque Bootem:

ſicut Vlyſſes in rate dicitur (non enim illis locis tunc ſidera contueri nubium opacitas permittit) ſed glacie, ventis, ac niuibus conflictantem, & pedes, ac manus vdonibus, ac pellibus obuolutum; nec ſub vno gubernatore curſum ac nauigium regente, ſed innumeris aurigis abſurdè atque inconditè ad excitanda iumenta vociferantibus, ac flagellis inſonantibus, & impellentibus, ne in luto atque vligine adhæreſcant: ſed ita tamen, vt poſtquam eo ſe ad delubri locum contuliſſet, vbi & hymnos in honorem Numinis canere, & inchoare ſacrificia oporteret, nihil horum præſtare poſſet, verum alicubi in lecto tremens ac languidus iaceret, Medicorum auxilio indigens, qui ſibi calidiora aliqua medicamenta præſcriberent, quibus hiemis iniuriam à corpore propulſaret. Qui igitur cum hæc ſuſtinere poſſet, hærere domi maluerit, & in ſedibus ſuis quibus poſſet ſacrificiis Deum ſibi placatum ac propitiatum reddere, non manco ac debili corpore præ aſperitate frigoris, non animo prę intermiſſione ſtudiorum inſcito, & imperito; ſed illo quidem vegeto, atque integro, hoc autem defæcato, ac doctrinis excitato: num ille vobis minus religioſus, aut in diuinis ſolers videtur, quam Ægyptij dij, qui domi ſuæ lucernas accendunt? aut

ἀλλὰ καὶ ἐκείνη πλέον, ὅτι οὐκ ἐν τῷ ἀγάλματι μόνῳ ἐστὶν, οὐδὲ τῷ νεῷ μόνῳ ἐνδιαιτᾶται, ἀλλὰ πανταχοῦ γῆς καὶ θαλάσσης, ὅπου ἂν αὐτοῦ ἡ δύναμις ἐπιχωρῇ καὶ ἐξικνῆται. εἰ οὖν καὶ ὑμεῖς ἀποδέχεσθε τῆς γνώμης (ἀποδέχεσθε δέ· οὐ γὰρ ἂν ἐπῃνεῖτε ὡς καλῶς λεγόμενα) ἀποδέχοισθε ἂν ἄνθρωπον ὃς τῇ γνώμῃ ταύτῃ ἐπηκολούθησε· καὶ ἐξὸν αὐτῷ ἀναβάντι ἐπ' ἀπήνην τετράκυκλόν τε καὶ ὑψηλὴν, καὶ ζευγνυμένῳ ἡμιόνοις ἄλλοτε ἄλλαις, μᾶλλον δὲ ὁρμαθοῖς ἡμιόνων ζυγίων τε καὶ παρασείρων, διὰ Θρᾳκῶν τε καὶ Παιόνων καὶ Ἰλλυριῶν καὶ ὁπόσα ἔθνη μέχρι Ἰταλίας, φέρεσθαι μετεώρῳ νύκτας ἐφεξῆς καὶ ἡμέρας, οὐ

Πληϊάδας εἰσορόωντα καὶ ὀψὲ δύοντα Βοώτην,

καθάπερ Ὀδυσσεὺς ἐπὶ τῆς σχεδίας, (οὐ γὰρ ἐνδιδόασιν αἱ νεφέλαι τηνικάδε τὰ ἄστρα ὁρᾶν τοῖς ἀνθρώποις ἐκεῖ) ἀλλὰ κρυστάλλοις περισφαττόμενον καὶ πνεύμασι καὶ νιφετοῖς, καὶ ἐνειλημμένον χεῖράς τε καὶ πόδας πίλοις τε καὶ ἀρνακίσιν, οὐδ' ὑφ' ἑνὸς κυβερνήτου ἰθύνοντος τὸν πλοῦν καὶ τὸ σκάφος, ἀλλὰ μυρίων μὲν ἡνιόχων φωνάς τε ἀλλοκότους ἱέντων δι' ὧν τὰ ζεύγη ἐποτρύνουσι, καὶ ταῖς μάστιξιν ἐμπαταγούντων καὶ ἐπισοβούντων, ὡς ἂν μὴ ἐνίσχοιτο ἐν τοῖς τέλμασιν· ἐλθόντα δὲ ἐκεῖσε μόλις ποτὲ τοῦ ἀνακτόρου, οὗ ἔδει εὐθὺς ἀφικόμενον ὕμνους τε ᾄδειν τῷ θεῷ καὶ ἀπάρχεσθαι τῶν ἰατρῶν· τούτων μὲν οὐδὲν ποιεῖν οἷόν τε εἶναι, κεῖσθαι δέ που ἐν κλινιδίῳ τρέμοντα καὶ μαλακιῶντα, καὶ δεόμενον τῶν ἰατρῶν φάρμακα ἔμπυρα ἐξευρίσκειν οἷς ἂν τὸν χειμῶνα ἐξελάσειε τῶν μελῶν. ᾧ οὖν ταῦτα ἐξὸν ὑπομένειν, ὁ δὲ εἵλετο οἴκοι μένειν, καὶ ἐπὶ χώρας δι' ὧν ἐχρῆν θυμιαμάτων ἀρέσκεσθαι καὶ ἱλάσκεσθαι τὸν θεὸν, οὔτε ἀναπήρῳ τῷ σώματι ὑπὸ κρύους, οὔτε ἀμαθαινούσῃ τῇ ψυχῇ ὑπὸ ἀμουσίας, ἀλλὰ τῷ μὲν, ὑγιεῖ καὶ ἀρτίῳ, τῇ δὲ, ἀκραιφνεῖ καὶ παρωξυμμένῃ ὑπὸ τῶν μαθημάτων, μῶν τοῦτο ὁ ἀνὴρ ὑμῖν δοκεῖ εἶναί τι ἧττον εὐσεβὴς καὶ θεόσοφος ἢ οἱ τὰ λύχνα καίοντες τῶν Αἰγυπτίων;

ἧττον δὲ αἰσθάνεσθαι τῆς δυνάμεως τοῦ θεοῦ· ὅστις οὐκ ἐν μόνῃ ἐκείνῃ τῇ πόλει ἐστὶν, οὐδὲ ἐν μόνῳ ἐκείνῳ τῷ χωρίῳ ἐν ᾧ αἴσθοιτο ἄν τις αὐτοῦ καὶ ἀντιλάβοιτο καὶ φθεγγομένου ἀκοῦσαι; τοῦτο μὲν γάρ ἐστι τὸ πάθος ἀνθρώπων τοῖς ὄμμασι μόνοις πεπιστευκότων, κἀκεῖνο μόνον νομιζόντων τὸ ἀληθὲς ὃ ἔστιν ἐπιδράξασθαι ταῖν χεροῖν. τὸ δὲ ἀκριβὲς, οὐκ ἄρα ἐστὶν ἕκαστος οὐ μόνον ὁ θεὸς, ἀλλὰ καὶ ἄνθρωπος ἤδη, ὅπου ἂν δύνηται ὠφελεῖν καὶ ἔργον ἀγαθὸν ἐπιδείκνυσθαι. ἐπεὶ καὶ τὸν ἥλιον τοῦτον οὐκ ἐννοεῖτε ὡς ἐν ὁπόσῳ ἄρα μέρει φαινόμενος τοῦ οὐρανοῦ πάντα αὐτὸς ἐποπτεύει· καὶ τὸ μὲν σῶμα αὐτοῦ εἰ καὶ παμμέγα, ἀλλ' οὐ πανταχοῦ, ἡ δύναμις δὲ ἁπανταχοῦ καὶ αἱ ἀκτῖνες, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ, καὶ ἐν νήσοις, καὶ ἐν ἠπείρῳ, καὶ ἐν ὄρεσι, καὶ ἐν λειμῶσι, καὶ ἐν ποταμοῖς καὶ κρήναις, καὶ ἐγγὺς τῶν ζώων ἁπάντων καὶ ἐγγὺς τῶν φυτῶν; πᾶσι γὰρ τοῖσδε ἐκεῖθεν ἐποχετεύεται ἡ σωτηρία. ὅστις οὖν οἴεται τῆς μὲν ὠφελείας ἁπανταχοῦ ἀπολαύειν, τὰ χαριστήρια δὲ μὴ πανταχοῦ ἐκτιννύναι, γέλως ἂν εἴη καὶ δυσσεβείας οὐ πόρρω, καὶ οὐκ ἂν λογίζοιτο ὅτι καὶ οἱ σφόδρα ἐπιθυμοῦντες τοῖς ὄμμασιν ἀτενίσαι εἰς τὸν θεὸν, πρότερον μὲν ἐν τοῖς ὕδασι μελετῶσι καὶ διαπειρῶνται τῶν ὀφθαλμῶν πρὸς τὸ φάσμα αὐτοῦ καρτερεῖν τε καὶ ἀντερείδεσθαι, ὡς ἂν μὴ ἀθρόας τῆς ἀληθινῆς μαρμαρυγῆς ἐμπλησθέντες, σκότου μᾶλλον ἢ αὐγῆς ἀπολαύσειαν. καὶ ἐμοὶ μὲν ἴσως, ὦ ἄνδρες, (καὶ μὴ δυσχεραίνητε ἐπὶ τῷ λόγῳ) ἐγγυμναστέον ἔτι καὶ ἐμμελετητέον ἐστὶ περὶ τῆς ἀληθινῆς θέας, ταῖς εἰκόσι καὶ τοῖς κατόπτροις. διότι δὲ, ἐρῶ πρὸς ὑμᾶς ἄπληστά ἐστί μοι τὰ ὄμματα, καὶ οὐκ ἀνέχεται οὐδὲ ἀγαπᾷ ἐπιπολῆς μόνον ἰδεῖν, ἀλλὰ πειρᾶται ὅτι μάλιστα εἰσδύεσθαι εἰς τὸ βάθος τῶν ὁρωμένων. ἕως μὲν οὖν ἀγύμναστα καὶ ἀνάσκητα ἐγχειρῇ, μέχρι ἔξω περὶ τὰ σχήματα καὶ τὰ χρώματα, καὶ οὐχ οἷά τέ ἐστι τῶν ἐνδοτέρω θιγεῖν τε καὶ ἐπορέξασθαι. τοῦ δὲ βασιλικοῦ κάλλους,

aut minus diuini numinis vim percipere, quod non in ea vrbe ſola eſt, nec in eo ſolum loco, in quo audire quiſpiam illud, atque apprehendere, aut loquens auſcultare queat? Hoc enim affici modo hominum propria conditio eſt, qui ſolis oculis fidem adhibent, idque verum dumtaxat exiſtimant, quod attrectari manibus poſſit. Quod ſi accuratè loqui velimus, illic vnuſquiſque non Deus ſolum, ſed homo eſſe putandus eſt, vbicumque prodeſſe aliis poteſt, & præclarum opus aliquod præſtare. Nonne enim & Solem ipſum videtis, quemadmodum in aliquantula cœli parte conſpicuus omnia nihilominus ipſe perluſtret? Nam corpus ipſius quamuis maximum, non vbique tamen eſt, vis autem & radij vniuerſa peruadunt, terras, maria, inſulas, continentem, montes, prata, fluuios, fontes, ad animalia ipſa etiam, ac ſtirpes accedunt. In hæc enim omnia ſalus inde ac vita promanat. Quiſquis igitur vtilitatem vbique percipiendam putat, nec vbique perſoluendas grates putat, ridiculus is eſt, nec ab impietate multum alienus. Neque illud cogitat, etiam illos qui Deum hunc fixis oculis contueri maximè cupiant, primùm in aquis oculorum aciem experiri, vt illius imaginem ſuſtinere, ac contendere oculos poſſint, ne ſi vero illo ſplendore vniuerſo repentè completi fuerint, non luce potius quàm caligine perfundantur. Et mihi ergo fortaſſis, Auditores (neque id à me dictum malam in partem accipite) ante veritatis intuitum in imaginibus adhuc & ſpeculis exercendus ac præparandus obtutus eſt. Quid autem cauſæ ſit vobis exponam. Ego igitur inſatiabiles adhuc oculos habeo, nec ij ſatis eſſe ſibi putant, aut contenti ſunt, ſi aliquid ſuperficie tenus intueantur, ſed in eius quod obiicitur interiora penetrare quàm maximè contendunt. Quapropter cum rudes adhuc & inexercitati cernere quidpiam aggrediuntur, ad figuras ac colores adhæreſcunt, nec attingere interiora, atque in ea intendere poſſunt. Porro Imperatoriæ illius formæ,

quam ego videre geſtio, cuique me idoneum ſpectatorem præparo, eſt ipſe quidem externus decor eximius, ſed longè prçſtabilior atque incredibilior is eſt, quem incumbentes penitus diſpicere oporteat, quanta ſit pulchritudine ac ſuauitate refertus. Hìc quidem, vt Homerus ait, hominum ineſt amor, non ſubdolus, aut inſidioſus, ſed diuinus & incorruptus, quæ vno nomine humanitas appellatur: Ineſt & temperantiæ cupiditas, ibidémque & veritas conquieſcit, & habitat clemētia, & Iuſtitia refulget, multęque aliæ auguſtæ, ſanctæ ac diuinæ pulchritudines apparent: ad quas niſi quis antè, quantum ſat eſt, caſtum ſe atque purum prçſtiterit, niſi videndi ſenſum medicamentis Philoſophiæ repurgauerit, temere adeò, ac leuiter oculos adiicere, neque fas eſt, neque omnino cuiquam expedit. Sinite me quęſo tantiſper nunc in contemplando ſpeculo commorari. Pulchritudinis autem illius ſplendidiſſimum ac longè clariſſimum ſpeculum cùm vos eſtis, tum Ciuitas ipſa vniuerſa. Et quiſquis ſpeculum iſtud attentè conſiderauerit, ad verum decorem intuendum operę pretium habuerit. Adeo vbique in eo imagines, atque effigies illius admirabili ſplendore referuntur, qui decorem illum tum in ſingulos ciues, tum in vniuerſam Ciuitatem eiaculatur, grauitatem nimirum, maieſtatémque regiam, auguſtam quandam ac veneratione dignam corporis totius conformationem. Quamobrem quoniam (vt Æſchylus ait) nunc in os venit, quod pridem oportebat, ac vobiſcum ego ab initio feſtum perago, non mihi videor adhuc ab Regię illius celebritatis magnificentia longius remotus. Atque adeo ridicula planè fuit illa ſuperior oratio, cùm ad excuſandum quòd me domi continerem, Sain, atque Ægyptios allegaret, cũ illud commemorare poſſet, ea ipſa quæ paulo antè dixi domeſtica, Imperatoris eſſe delubrum, in quo ſacra faciens litanſque gratius illi quiddam ac iucundius facit, quàm ſi ſeſe ante illius veſtes ac pedes abijceret. Etenim nonne templum illud (optimi viri) eximium ex omnibus atque abſolutum feciſtis, perinde eius ác laris & foci curam gerentes?

οὗ ἐγὼ ἐρᾶν ὥρμημαι, καὶ ᾧ παρασκευάζω ἐμαυτὸν πρέποντα θεατήν, καλὴ μὲν πού καὶ ἡ ἔξωθεν ἀγλαΐα, πολὺ δὲ ἀμηχανωτέρα καὶ ἀφραστοτέρα, ἣν ἐγκύψαντας χρὴ ἰδεῖν ὁπόσης γέμει ὥρας τε καὶ εὐμελείας· ἔνθεν μὲν, καθ᾽ Ὅμηρον, φιλότης ἀνθρώπων, ἀλλ᾽ οὐ δολερὰ οὐδ᾽ ἐπίβουλος, ἀλλὰ θεοειδὴς καὶ ἀκήρατος, ἧς συντεθὲν τὸ ὄνομά ἐστι φιλανθρωπία. ἔνι δ᾽ ἵμερος σωφροσύνης, ἐνατρεμεῖ δὲ ἀλήθεια, ἐγκατοικεῖ δὲ πρᾳότης, ἐναστράπτει δικαιοσύνη, πολλά τε ἄλλα ἐνδάλλεται κάλλη σεμνά τε καὶ ἅγια καὶ θεσπέσια, οἷς μὴ προσαγνεύσαντα ἱκανῶς, μηδὲ τὴν ὄψιν προκαθηράμενον ἐκ τῶν φιλοσοφίας φαρμάκων, εἰκῇ οὑτωσὶ τὰ ὄμματα ἐξ ἐπιδρομῆς ἐπιβάλλειν οὔτε ὅσιον, οὔτε συμφέρον. ἐάσατε νῦν με τῷ κατόπτρῳ ἐνδιαιτᾶσθαι μικρόν τινα χρόνον. κάτοπτρον δ᾽ ἐκείνου τοῦ κάλλους λαμπρόν τε καὶ λίαν ἐναργὲς ὑμεῖς καὶ ἡ ξύμπασα ἥδε πόλις. καὶ ὅστις ἱκανῶς τεθέαται τὸ κάτοπτρον τοῦτο, πολὺ ἂν πρὸ ἔργου εἴη πρὸς τὴν θέαν τῆς ἀληθινῆς εὐμορφίας. οὕτω πανταχοῦ ἐπιπρέπει τε καὶ ἐπαυγάζει τὰ σύμβολα αὐτῷ τοῦ ἐλλάμποντος τὴν καλλονὴν ἀνδρί τε ἑκάστῳ καὶ ὅλῃ τῇ πόλει, σεμνὸν καὶ βασιλικὸν καὶ γεραρὸν καὶ αἰδοῖον. καὶ οὖν ἐπεὶ, κατ᾽ Αἰσχύλον, νῦν ἦλθεν ἐπὶ τὸ στόμα ὃ πάλαι ἐχρῆν, καὶ ἐξ ἀρχῆς ὑμῖν ἐγὼ συνεορτάζω, οὔ μοι δοκῶ ἔτι ἀπολιμπάνεσθαι τῆς βασιλικῆς πανηγύρεως. καὶ γελοῖος γὰρ ἦν ἐν τοῖς ἔμπροσθεν ὁ λόγος, τῆς οἴκοι μνήμης περιβαλλόμενος Σάϊν τε καὶ Αἰγυπτίους, ἐξὸν αὐτῷ ἀναμνήσασθαι ὅτι τὰ οἴκοι ταῦτα ὁ νεὼς ἦν τοῦ βασιλέως, ἐν ᾧ θύων τε καὶ καλλιερούμενος μᾶλλον ἂν αὐτῷ πράττοι κεχαρισμένα ἢ εἰ τῆς χλανίδος αὐτοῦ καὶ τῶν ποδῶν προσεκαλινδεῖτο. ἦ γὰρ οὐ τοῦτον ἄνδρες τὸν νεὼν περικλειτόν τε ἐξ ἁπάντων ἐποιήσατε καὶ διατελεῖτε ἐπιμελούμενοι ὥσπερ ἑστίας;

καὶ ἔρχεται αὐτῷ εἰς τὸ ἀνάκτορον τοῦτο πάντα ὅσα ἐκ πάσης γῆς ἀναθήματα. καὶ ἀπάρχονται μὲν τῇδε Αἰγύπτιοι τῷ βασιλεῖ ὁπόσα ἔτη, ἀπάρχονται δὲ Σύροι τε καὶ Ἀσσύριοι, καὶ Ἴωνες δὲ καὶ Αἰολεῖς, καὶ σχεδόν τι ἅπαντες ἄνθρωποι. αἱ δὲ ἀπαρχαί εἰσι νῆες γέμουσαι εὐδαιμονίας, καὶ ὅ,τι ἂν ἡ φύσις ἄριστον τέκῃ, καὶ ὅ,τι ἂν ἡ φύσις ἐντεχνότατον δημιουργήσῃ, συμφοιτᾷ ἄλλοθεν ἄλλο εἰς τὸ ἱερὸν τοῦτο, καὶ συναγείρεται. εἴδη τε ἐν αὐτῷ τέλεια ἵδρυται αὐτοῦ βασιλέως, καθάπερ, οἶμαι, ἐν Δελφοῖς οὐ τοῦ Ἀπόλλωνος μόνου, ἀλλὰ καὶ τοῦ Διός. καὶ Δελφῶν μὲν ἐξ ἀρχῆς Ἀμφικτύονες κτίσται καὶ εὑρεταὶ ἐγένοντο, ποιμένος τινὸς ἐν τῷ Παρνασσῷ ἐκ Κασταλίας τῷ μαντικῷ πνεύματι κατασχομένου· καὶ χρόνῳ ὕστερον ἐξεμισθώσαντο Ἀλκμαιωνίδαι τὸ ἔργον, φοιτῶντας Ἀθήνηθεν Πεισιστρατίδας· τούτου δὲ τοῦ νεὼ πατήρ τε καὶ δημιουργὸς ὁ αὐτός ἐστιν ὅσπερ καὶ τοῦ βασιλέως. ὃς γὰρ ἐκεῖνον ἐφύτευσε, τόνδε ἐποίησεν. ἅτε οὖν ἄγαν φιλάδελφος ὤν, ἔρωτι καὶ τοῦδε ἔχεται ὥσπερ ὁμογόνου, καὶ ἀεί τι προσμηχανᾶται ὅπως ἂν ὀλβιώτερος καὶ πολυκλεέστερος εἴη. καὶ πάντα μὲν δὴ τὸν ἐγκατοικοῦντα λεών, ἱερὸν αὐτοῦ νομίζει καὶ ποιεῖται· οὓς δὲ ἐξείλετο ζακόρους τε καὶ ἱερέας, τούτους ἤδη ἐπὶ μέγα κυδαίνει, καὶ ὁμοψήφους εἶναι ἑαυτῷ ἀξιοῖ, καὶ μόνου ἄρα τοῦ χοροῦ τοῦ ὑμετέρου αὐτὸς ὁ χορηγὸς προστάτης ἐστὶ καὶ κορυφαῖος, καὶ ἵδρυται θρόνος ἱερὸς ἐν τῷ πατρῴῳ βουλευτηρίῳ, ἐν ᾧ συγκαθίζειν τε οὐκ ἀναίνεται καὶ προηγορεῖν τοῦ συλλόγου. τῷ τοι καὶ τὰ παρόντα μυστήρια οἱ μὲν ἄλλοι ἄνθρωποι ὡς βασιλεῖ μόνον τελοῦσιν, ὑμᾶς δὲ ἐκεῖνος ἐθέλει καὶ ὡς ὁμοτίμους. καὶ ὅταν ἔξω τοῦ ἱεροῦ μυεῖν αὐτῷ δέοι τὴν τελετήν, ὥσπερ Ἀθηναῖοι στρατευόμενοι πρὸς τὸν Μῆδον πόρρω Ἐλευσῖνος ἐν ταῖς τριήρεσι, κλητούς τινας ἐκ τοῦ καταλόγου προαιρεῖται ἐπὶ τὰ δρώμενα, καὶ πειρᾶται ἅπαντας δι' ὀλίγου κοινωνοὺς ποιεῖσθαι τῆς πανηγύρεως.

Quare ad ipſum in hæc penetralia ex vniuerſo Orbe donaria omnia confluunt. Nam & Ægyptij quotannis eò primitias ſuas ad Imperatorem mittunt, Syri item & Aſſyrij, Iones, Æoles, vniuerſum pene hominum genus. Primitiæ autem ſunt naues commodis omnibus refertæ, quicquid aut natura præſtantiſſimum parit, aut hominum ingenium artificioſiſſimum efficit, hæc inquam aliunde alia ad illud templum confluunt, ac coaceruantur. Effigies porrò in eo Imperatoris perfectæ abſolutæque collocantur: quemadmodum, opinor, apud Delphos Iouis, non minus quàm Apollinis. Ac Delphorum quidem initio Amphyctiones & conditores & inuentores extiterunt, cum forte Paſtor quidam apud Parnaſum, ex Caſtalia fatidico quodam eſſet furore correptus. Tum poſtea Alcmæonidæ Piſiſtratidas Athenis fugientes faciendum opus redemerunt. At huius Templi idem, qui & Imperatoris noſtri, autor atque effector eſt: Qui enim illum genuit, is alterum quoque molitus eſt. Igitur vtpote Fratris amantiſſimus, illud tanquam germanum amore complectitur, ſempérque aliquid aſtruit, quo illuſtrius ac felicius reddat. Cúmque vniuerſum populum, qui ibi degit, ſibi eſſe ſacrum arbitretur, tum quos præcipuè Æditors ac Sacerdotes inſtituit, ampliſſimis illos honoribus afficit, idémque ſecum ius ac poteſtatem attribuit. Atque vnius ille veſtri chori Dux, ac Princeps, & Coryphæus eſt; cui in paterna Curia ſacrum Tribunal poſitum eſt, in quo ſedere inter vos, & conſilio præeſſe non dubitat. Quare cum hoc tempore in eius honorem feſta celebrantur, cæteri quidem homines tanquam Imperatori duntaxat perficiunt, vos autem ſibi tanquam æquali ac ſocio eadem celebrare deſiderat. Et quoties extra templum initiationes eiuſmodi, ac ceremonias obire neceſſe eſt, velut Athenienſes olim in bello Perſico procul ab Eleuſine in triremibus peregerunt, nonnullos ex Ordine euocatos ſeligit, qui iis quæ geruntur interſint, ac breui interuallo vniuerſos celebritatis participes facere conatur.

Quod igitur dicere cœperam, non minùs eum nos, qui hic Pompam adornamus, propitium experiemur, quàm qui ad illius Purpuram aduolarunt. Etenim vbicumque Princeps ipſe chorum ducit, ac moderatur, nullo huic externo atque adſcititio ſplendore opus eſt, ſed ipſamet eius præſentia ad ornandum atque illuſtrandum ſatis eſt: vbi vero, tanquam examen apum, ſine vero Duce mouerit ſeſe, plures adiutores deſiderat, vt ne fruſtra perſtrepat, & paſſim ac temere vagetur. Eſto. Verùm ſi ego iſtud ipſum vobis initio propoſuiſſem, tum cum nuncij venêre, qui ludos indicerent, atque ita eſſem locutus: Nunc quidem (ô ſodales) ſi extra vrbem pedem efferam, mutus efficiar, nec ad vllam rem agendam idoneus eſſe potero. Neque enim mihi luſciniarum inſtar canere hiems permittet: ſed Mercurio doctrinarum Præſidi Vialis officiet: Sin manere hîc apud nos mihi liceat, ego chorum informabo, ita vt Italicis cantoribus reſpondeamus. Quòd ſi noſter vobis hymnus arriſerit, Principi muneris loco eum offeremus. Libenter autem accepturum certò ſcio, multóque benignius, atque hilarius, quàm à Cinyra loricam Agamemnon acceperit. Doctrinæ enim non minus eſt, quàm belli ſtudioſus: nec Muſarum dona, quam Vulcani viliora exiſtimat. Quæ quidem ego non quaſi vaticinans dico; ſed quod probè iſtud nouerim, cum vos nuper mittendam ad eum coronam decreuiſtis, non auream quidem illam ex auro obrizo, ac multorum Talentorum (quales pleræque ad eum variis ex locis feruntur) ſed quam ego collectis ex Platonis, atque Ariſtotelis pratis incorruptis floribus texueram, ac Senatui Populóque in hoc ipſo Theatro monſtraueram, hac illum accepta tantum voluptatis cepiſſe, quantum ex nullo alio munere, magnóque in pretio habuiſſe. Quo quidem ex hymno factum, vt mihi ex ære ſtatua collocaretur. Igitur ſi tum vobis iſta propoſuiſſem, non dubito quin omni me ope retineretis, multóque magis tueremini, quàm Æginetæ quondam Auxeſiæ ſimulacrum.

Atqui

ὅσπερ εἶπον λέγω, οὐδὲν τι μεῖον λεὼ τυγχάνοιμεν ἂν οἱ ἐνθάδε τὴν πομπὴν διακοσμοῦντες τὴν ἐπὶ τὴν ἁλουργίδα αὐτοῦ πεπονημένων. καὶ γὰρ δὴ ἵνα μὲν αὐτὸς ἐπιστατῇ καὶ ἐξηγῆται, οὐδεμιᾶς ἂν δέοιτο ἔξωθεν περιάπτου λαμπρότητος ὁ χορός. ἀλλ' ἐξαρκεῖ αὐτῷ μόνῃ ἀγάλλεσθαι τῇ ξυνουσίᾳ, ἵνα δὲ ὥσπερ σμῆνος μελιττῶν κινῆται αὐτοῦ τοῦ ἀληθινοῦ ἡγεμόνος, πολλῶν ἂν δέοι τῶν ἀρηξόντων, εἰ μὴ μέλλοι βομβήσειν τε εἰκῇ καὶ πλανήσεσθαι ὅπῃ ἔτυχον. εἶεν. εἰ δὲ ἐγὼ ταῦτα ἐξ ἀρχῆς ὑμῖν προὔτεινάμην, ἡνίκα ἧκον οἱ ἄγγελοι περιαγγέλλοντες τὴν πανήγυριν, ὅτι ἐγὼ, ὦ συγχορευταὶ καὶ ὦ συνθιασῶται, νῦν μὲν ἔξω προκύψας τοῦ ἄστεος ἀφωνίᾳ τε ξυνεσοίμην, καὶ οὐχ ἕξω ὅ,τι χρήσομαι ἐμαυτῷ. οὐ γὰρ ἐάσει φθέγγεσθαι ὁ χειμὼν, καθάπερ τὰς ἀηδόνας, ἀλλὰ λωβήσεται τὸν Ἑρμῆν τὸν λόγιον ὁ Ἐρωδιός. μείνας δὲ ἐνθάδε ἑώμενος, διδάσκαλος ἂν γενοίμην τοῦ χοροῦ· καὶ αἰτησόμεθα ἅμα τοῖς Ἰταλιώταις ὑμνοποιοῖς· καὶ εἴπερ ἀρεστὸς ὑμῖν ὁ ὕμνος φανείη, δῶρον αὐτὸν ποιησόμεθα τῷ βασιλεῖ. ὁ δὲ προσήσεται, εὖ οἶδα, εὐμενέστερόν τε καὶ ἥδιον, ἢ παρὰ Κινύρου τὸν θώρακα ὁ Ἀγαμέμνων. φιλόλογος γὰρ οὐχ ἧττόν ἐστιν ἢ φιλοπόλεμος, καὶ τὰ ξένια τῶν Μουσῶν οὐκ ἀτιμότερα τῶν τοῦ Ἡφαίστου ποιεῖται. καὶ ταῦτα ἐγὼ οὐ μαντευόμενος λέγω, γιγνώσκων δὲ ὅτι καὶ πέρυσιν οὐ χρυσοῦν δή τινα στέφανον χρυσοῦ ἀπέφθου πολλῶν ταλάντων, (οἷοι πολλοὶ αὐτῷ ἀφικνοῦνται καὶ πολλαχόθεν) πέμπει ὑμῶν ψηφισαμένων, ἀλλ' ὃν ἐγὼ ἐπλεξάμην, ἄνθη ἀκήρατα συλλεξάμενος ἐκ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λειμώνων, καὶ ἔδειξα τῇ βουλῇ καὶ τῷ δήμῳ ἐν τῷ αὐτῷ τούτῳ θεάτρῳ, εὐφράνθη τε ὡς οὐκ ἄλλῳ δώρῳ, καὶ περὶ πολλοῦ ἐποιήσατο· καὶ ἡ χαλκῆ εἰκὼν ἐξ ἐκείνου τοῦ ᾄσματος. εἰ οὖν ταῦτα ὑμῖν προὔτεινάμην, εὖ οἶδ' ὅτι ἁρπὰξ ἄν μου ἐλάβεσθε, καὶ περιείχεσθε μᾶλλον ἢ τοῦ ἀγάλματος τῆς Αὐξησίας οἱ Αἰγινῆται.

καὶ νῦν δὴ οὕτω ξυμβαίνει διὰ τὴν ἐμὴν βραδυτῆτα καὶ τὸν ὄκνον, πλέον τι εἰσηνέγκατε τῇ πανηγύρει. οὐ γὰρ μόνον θεωροὺς ἐπέμψατε, ὥσπερ εἰς Δῆλον, ἀλλὰ καὶ οἴκοι στεφανηφορεῖτε καὶ εὐθυμεῖσθε, καὶ ἑστιᾶσθε, οὐκ εἰς τραπέζας ἐπικύψαντες βασιλικάς, οὐδὲ οἰνοχόων ὑμᾶς ξενιζόντων καὶ τραπεζοποιῶν καὶ μαγείρων, ἀλλὰ τῆς φίλης βασιλεῖ φιλοσοφίας. φίλην γὰρ αὐτὴν βασιλεῖ ὀνομάζειν οὐ δυσωποῦμαι, ἣν ἀπολιμπάνουσαν ἤδη ἀνθρώπους ἔσχε τε καὶ εἵσατο παρ' ὑμῖν, καὶ ἐς τοσόνδε ἐποίησεν ἔντιμόν τε καὶ εὐκλεᾶ, ὥστε πολλοὺς εἶναι τοὺς περιβλέποντας καὶ ζητοῦντας, καὶ ἑτοίμους ἀντιλαμβάνεσθαι καὶ θεραπεύειν. τῷ γὰρ ὄντι φύσις αὕτη, ὡς ἔοικεν, ἀσκεῖσθαι μὲν τὸ τιμώμενον, ἀμελεῖσθαι δὲ τὸ ἀτιμαζόμενον. ἴσως μὲν οὐ δεῖται ὁ χορὸς ὁ ὑμέτερος διδασκάλου πρὸς τὸν ὕμνον τοῦ βασιλέως. ἀεὶ γὰρ ὑμῖν ἐν μελέτῃ ἐστίν, οἷς γε καὶ ἡμέραι εἰσὶν ἱεραὶ ἐπὶ τῇ μελέτῃ ἐξῃρημέναι, καὶ αὗται οὐκ ὀλίγαι τοῦ ἔτους. αἷς ξυνιόντες καὶ ξυλλεγόμενοι εἰς τὸ ἄδυτον, ἐν ἐσθῆτι τῇ ἱερᾷ συγγυμνάζεσθε ἐν ἀπορρήτῳ ταῖς εὐφημίαις. ἀλλ' οὕτως ἄρα ἐγὼ κομψότατος καὶ ἀλαζών, ὥστε καὶ νῦν, οὐδὲν ἄλλο εἰπὼν δεξιῶς ἢ ἃ παρ' ὑμῖν ἔμαθον ῥήματα, ἀντὶ μαθητοῦ ἀμφισβητῶ διδάσκαλος εἶναι. καὶ γὰρ ὅτι Κωνσταντίου ἐστὶ γέννημα καὶ θρέμμα ἡ γερουσία, καὶ ὅτι προσήκει αὐτῆς τῷ ἐκείνου υἱεῖ κήδεσθαι καὶ προνοεῖν ὡς ὁμοπάτορος, καὶ τἄλλα ἐφ' οἷς πάνυ ἐξεβοήσατε, ἔλαθον λάθρα ἐκεῖθεν ἐσκευωρημένος. καὶ ἴσως ἄν με καὶ γραφὴν τις γράψαιτο ἀσεβείας, ὅτι ἐξενήνεγκα τὰ μυστήρια. τὰ δέ, οὐκ ἔτι μυστήρια, εἰ μὴ ἄρα οὐχ ὑμῶν μόνον, ἀλλὰ καὶ πάσης γῆς καὶ θαλάσσης, ὅσα ξυνεβάλετο καὶ ξυνέπραξεν εἰς τὴν γένεσιν ὑμῶν τῷ γεννήτορι. οὕτω δὲ καὶ Αἰθίοπες, καὶ Ἰνδοὶ καὶ οὓς λέγει Ὅμηρος Κιμμερίους ἔξω τοῦ ἡλίου τῷ Ὠκεανῷ προσοικοῦντας.

Atqui hoc ipſum modò ex tarditate noſtra ac cunctatione contigit: plus enim aliquid ad eam celebritatem contuliſtis. Nam non ſolum ſacros Legatos, tanquam ad Delum miſiſtis, ſed etiam domi coronas geſtatis, & hilaritati atque epulis indulgetis: non menſis quidem regiis accumbentes, neque à pincernis & ſtructoribus, ac cocis liberaliter excepti, ſed ab Imperatoris amica Philoſophia. Amicam enim illam Imperatoris appellare nihil vereor, quam hominum iam ſeſe conſortio ſubtrahentem retinuit ille, & apud vos collocauit: tantóque honore & gloria cumulauit, vt iam multi ſint, qui in illam reſpiciant, & requirant, ac ſibi vendicare & ſtudioſe obſeruare parati ſint. Reuera enim, natura hæc omnium rerum eſſe videtur, vt quod in pretio atque exiſtimatione eſt, colatur ab omnibus, quod vile ac ſine honore eſt, negligatur. Sed fortaſſe quidem ad Imperatoris præconium Præceptore veſter chorus non indiget: In eo enim aſſiduè vos exercetis, vtpote quibus ſacri quidam dies ad eam exercitationem definiti ſunt; nec pauci per annos ſingulos, quibus conuenientes, & in Adytum congregati, ſacriſque veſtibus ornati, illius laudes in ſecreto meditari ſoletis. Ego vero ita lepidus atque arrogantia tumidus ſum, vt vel nunc, cum nihil aliud ſcitè atque eleganter dixerim, niſi quæ ego à vobis verba didici, pro diſcipulo magiſtrum agere audeam. Quòd enim Senatus, Conſtantini fœtus atque alumnus ſit, quodque ideo eiuſdem filij curam ſuſcipere, ac tanquam eodem Patre genito prouidere eum ordinem conueniat, ac ſi quæ alia eiuſmodi à me dicta ſunt, ob quæ clamores ſuſtuliſtis, ea ſunt à me furtim omnia indidem translata. Ac me forſitan aliquis propterea impietatis arceſſat, quaſi arcana vulgauerim: verum nequaquam ea amplius arcana ſunt, niſi forte nõ veſtra tantum, ſed & terræ totius & maris arcana dicenda ſunt, quæ omnia ad productionem veſtri cum veſtro genitore contulerunt, ac præſtiterũt aliquid. Hac autem ratione etiam Æthiopes & Indi, & quos Homerus Cimmerios vocat, qui extra Solis metas Oceanum accolunt, hiſce arcanis

ac Myſteriis initiatos dixerimus. Hi enim omnes ad eum velvti partum Imperatori contribuerunt: iidéque omnes fatentur, nos præ cęteris mortalibus maximè cum Conſtantini ſtirpe coniunctos atq; implicatos eſſe, nec aliunde quàm ex illius vinculo atque nexu felicitaté noſtram ac proſperitatem eſſe ſuſpenſam; vti, opinor, cùm à Sole cæteræ ſtellæ aliæ aliud accipiant, ſola tamen Luna ab eo & lucem omnem & ſplendorem mutuatur. Cum igitur non aſcita aliunde, ac conciliata eum beneuolentia, ſed planè neceſſaria proſequamur; mirum non eſt ſi ex æquo viciſſim ab eo redamemur. Et quoniam rectè illud à Tragico dictum eſt: multam adferre voluptatem ei qui ſit

Ereptus, memoriam mali,
Quod paſſus ante eſt.

Recordamini quæſo, cum primum illa in Occidente Tyrannis excitata eſt, eodémque tempore alia apud Illyrios exorta, quemadmodum Imperium omne futuri erat expectatione ſuſpenſum? Ciuitas ipſa porro vehementiorem in modum perculſa. Nam & illius cor metu palpitabat, & lingua præ ſtupore balbutiebat; cúmque diſſimulare timorem ſuum vellet, facilè tamen deprehendebatur, eo quòd ex animi commotione identidem colorem mutaret, & doloris eſſet impatiens, nec quid ageret, ſatis expediret. Donec Magnus Imperator Oriente purgato, atque communito ad eam benignitatis ac clementiæ plenus acceſſit, & concuſſæ agitatæque dexteram porrexit, bonoque animo eſſe iuſſit: pauloque poſtea captiuum ad eam Tyrannorum alterum miſit. Quanquam quid eum captiuum appello? nō enim bello captus, ſed oratione in poteſtatem redactus eſt, exutuſque non ſenectute, velvti ſerpentes, ſed purpura pręter ætatem à ſe ſuſcepta: Senectutem vero Imperator eidem conſeruauit, peritiſſimus ſanè artifex, atque ob illam imprimis victoriam, quòd pulcherrimo eam dolo reportarit. Cæterum poſtquam quærendæ per arma victoriæ prærogatiuam alteram accepit Ciuitas, quæ oratione fuerat comparata, paululum quidē animū recipere, ac reſpirarē cœpit.

εἶεν ἂν τὰ μυστήρια τετελεσμένοι. πάντες γὰρ δὴ οὔπω συνή-
νεγκαί τε καὶ συνετέλεσθεν εἰς τὰς ὠδῖνας τοῦ βασιλέως, καὶ οὔ-
πω πάντες συγχωροῦσιν ὅτι ἡμεῖς μάλιστα ὑπὲρ τοὺς ἄλλους
ἀνθρώπους τῷ Κωνσταντίνου γένει συναιρούμεθα, καὶ τὴν
εὐδαιμονίαν καὶ τὴν εὐπραγίαν οὐκ ἄλλοθεν ἔχομεν ἐξηρ-
τημένην ἢ ἐκ τῶν ἀπ' ἐκείνου ἀμμάτων· ὥσπερ, οἶμαι, καὶ τοῦ
ἡλίου οἱ μὲν ἄλλοι ἀστέρες κατ' ἄλλο τι ἀπολαύουσι, τῇ σε-
λήνῃ δὲ ἄρα ἐκεῖθεν ἐξήρτηται καὶ αὐτὸ τὸ φῶς καὶ αὐτὸ τὸ
λάμπειν. ἅτε οὖν οὐκ ἐπίθετον κεκτημένοι τὴν πρὸς αὐ-
τὸν εὔνοιαν, ἀλλ' ἀναγκαίαν, εἰκότως, οἶμαι, καὶ ἀξίως ἀντα-
γαπώμεθα. δὴ λέγει που ἡ τραγῳδία ὅτι φέρει πολλὴν ἡδο-
νὴν καὶ τῷ σωθέντι μεμνῆσθαι πόνων παρεσχημένων. ἀνα-
μνήσθητε οὖν πρὸς Φιλίου, ἡνίκα ἐξερράγη μὲν ἡ τυραννὶς
περὶ τὴν ἑσπέραν, συμπαρέδυ δὲ καὶ ἑτέρα ἐν Ἰλλυριοῖς·
ὡς ἅπασα οὖν ἡ ἀρχὴ ὀρθὴ ἦν καὶ μετέωρος πρὸς τὸ μέλ-
λον, ἡ πόλις δὲ καὶ δειλότερον ἐξεπέπληκτο ὑπὸ δείματος.
καὶ ἔπαλλε μὲν αὐτῆς ἡ καρδία, ἐβάμβαινε δὲ ἡ φωνή, κρύ-
πτειν δὲ ἐπιχειροῦσα τὸ δέος, ἐξηλέγχετο ὅμως ὑπὸ τοῦ πά-
θους ἀλλοχροοῦσά τε καὶ ἀδημονοῦσα καὶ ἀπορίᾳ ξυνεχομένη·
ἕως ὁ βασιλεὺς ὁ μέγας ἀνακαθηράμενος καὶ φραξάμενος τὰ
πρὸς ἕω ἧκέ τε εὐμενὴς παρ' αὐτῇ, καὶ χεῖρα ὤρεξε κερα-
δαινομένῃ, καὶ προὐτρέψατο εὔψυχον εἶναι. καὶ ὀλίγῳ ὕστερον
πέμπει αἰχμάλωτον αὐτῇ τὸν ἕτερον τῶν τυράννων. ὃν πῶς
ἄν τις λέγοι αἰχμάλωτον; οὐ γὰρ αἰχμῇ ἑάλω, ἀλλ' ὑπὸ
λόγου ἠνδραποδίσθη, καὶ ἀπεδύσατο οὐ τὸ γῆρας, καθάπερ
οἱ ὄφεις, ἀλλὰ τὴν ἔξωθεν ἁλουργίδα· τὸ γῆρας δὲ αὐτῷ διε-
τήρησεν ὁ βασιλεὺς ὁ καλλίτεχνος ἀτεχνῶς, μάλιστα δὲ ἐπὶ
ταύτῃ τῇ νίκῃ, ὅτι τῷ καλλίστῳ ὅπλῳ ταύτην ἐκτήσατο.
δεξαμένη δὲ ἡ πόλις προοίμιον τῆς διὰ τῶν ὅπλων νίκης
τὴν διὰ τοῦ λόγου, μικρὸν μέν τι ἀνεθάρρησε καὶ ἀνέπνευσε,

πυνθανομένη δὲ τὸν αὐθέντην καὶ παλαμναῖον χεῖρά τε ἀνταίρειν ἐγγελατοῦντι τῷ βασιλεῖ, καὶ διακριβοῦσα αὐτῇ καὶ ἀπειλεῖν θεοβλαβοῦντα λάφυρά τε καὶ ἀνδραποδισμὸν καὶ ἀνάστασιν, ὡς οἰκειοτάτη καὶ ξυνηθεστάτη τῶν δεσποτῶν εἰς οἷς ἐξεμαίνετο καὶ ἐπαρῴνησεν, οὐ πρόσθεν ἄρα τοῦ κλόνου ἐπαύσατο καὶ τῆς ὑποψίας, ἕως ἐπεῖδε τοῖς ὀφθαλμοῖς πάντα αὐτοῦ ἐκεῖνα τετραμμένα εἰς τὴν κεφαλήν. ἢ οὖν ὑπάρχει μάλιστα πόλεων τῆς βασιλέως τύχης συναπολαύειν. ἢ δὴ ὁρμήσῃ, τί ἂν ἄλλο ἐκφέρῃ ἐναργέστερον σημεῖον ἀληθινῆς καὶ ἀπλάστου εὐνοίας; ταῦτά σοι ἀκριβῶς πεπεισμένος, καὶ τὰς ἄλλας νίκας ὑμῶν σὺν ἡδονῇ ἀνακρινοῦται, καὶ ἐν γράμμασι διαλέγεσθαι ἀξιοῖ, μικροῦ ὥσπερ Τιμόθεος Ἀθηναίοις καὶ Χαβρίας καὶ Ἰφικράτης, οἱ τῷ δήμῳ ὑπεύθυνοι στρατηγοί, χωρία τε πολέμια ἐξηγούμενος καὶ ποταμοὺς καὶ τενάγη καὶ νάπας καὶ τάφρους καὶ χαρακώματα, καὶ ὁπλιτῶν ἐπιθέσεις καὶ ἱπποκρατίας, καὶ ἔτι μάλιστα ὑμᾶς προσαναγκάζων τῷ λόγῳ Ῥῆνόν τε ὁρᾶν γεφυρούμενον, καὶ Χάονάς τε καὶ Ἰάζυγας κεραϊζομένους, Γερμανῶν τε φῦλα ἀτάσθαλα δίκην τίνοντα ὧν ἐξύβρισε. καὶ οὕτως ἐγὼ ἀληθεύω, καὶ οὐ μόνον κεῖθι ὅπου βασιλεὺς ἔπη ὁρᾶται, ἀλλά γε ἐν Κελτοῖς στρατοπέδων, Πέρσας εἰρήνης ἐπιθυμεῖν ἀναγκάζει. καὶ εἶδον ἐγὼ ἔναγχος ἐν τῷ ἄστει τοῦ Ἀντιόχου ἄνδρας ἐκ Σούσων καὶ Ἐκβατάνων ἀφιγμένους σὺν κηρυκείοις, καὶ γράμματα ἀρχαῖα βύσσῳ λευκῇ ἐνειλιγμένα. τὰ δὲ γράμματα ἐξελιπάρει τὸν ὕπαρχον σπονδὰς προτείνειν Ἀχαιμενίδαις καὶ δεξιὰν ἐκ βασιλέως. ἐγὼ οὖν ταύτην τὴν νίκην ἰσχυροτέραν ὑπολαμβάνω, ἢ εἰ μάχῃ τε ἔναγχος ἐκρατήθησαν, καὶ ἐτέτμητο αὐτῶν ἡ γῆ, καὶ φρούρια εἵλομεν καὶ αἰχμαλώτους. τότε μὲν γὰρ καὶ τύχην ἐπῃτιῶντο, καὶ ἀναμαχεῖσθαι ἠπείλουν· νῦν δὲ ἑκόντες ὑποπτήξαντες δηλοῦσι τῇ γνώμῃ αὐτῇ ἡττημένοι.

Sed cum parricidam atque execrandum alium audiſſet, Imperatori exercitum ducenti bellum intuliſſe, cùmque minas illius compertas haberet, quibus vecors ac fanaticus homo, direptionem ſibi, ac ſeruitutem, & euerſionem intentaret, tanquam cum Dominis ſuis, aduerſus quos furere atque inſanire cœperat, ſummo neceſſitudinis ac cognationis vinculo coniunctæ, non priùs agitari, ac ſuſpicari deſiit, quàm omnia hæc vidiſſet oculis ſuis in illius caput eſſe conuerſa. Quamobrem quæ vna ex omnibus Ciuitatibus id præſertim habet, vt Imperatoris fortuna, quocumque ſeſe dederit, in eam ipſam redundet, quodnam aliud veræ ac ſinceræ beneuolentię euidentius præbere indicium poteſt? Quæ cum ille certiſſimè ſibi perſuaſerit, cum cæteras omnes victorias libenter communicat, tum per literas res à ſe geſtas exponere alienum ſua dignitate non reputat. Ita vt penè tanquam alter Timotheus, aut Chabrias, atque Iphicrates, qui obnoxij erãt populo Duces, hoſtiles regiones deſcribat; nec non & fluuios, paludes, ſaltus, foſſas, munitiones, militum incurſiones, ſecunda Equitum prælia, ac ſub ipſum planè aſpectum impoſitum Rheni pontem ſubiiciat: Chaonas item & Iazygas populatos, & ab impiis Germanorum nationibus iniuriarum omnium atque inſolentiæ pœnas repetitas. Ita verum eſſe conſtat, quod paulo antè dixi: nec ibi ſolum Imperator eſt, vbi cernitur, verum adhuc in ſtatiuis Gallię reſidens Perſas ad poſtulandam pacem compellit. Et nuper ego Antiochiæ Suſis atque Ecbatanis miſſos caduceatores vidi, vnaque byſſo candida inuolutas literas perantiquas, quibus literis à Pręfecto petebatur, vti fœdus ab Imperatore, ac dexteram Achæmenidis impetraret. Equidem hanc victoriam multo validiorem exiſtimo, quàm ſi proximè eſſent prælio ſuperati, & illorum vaſtata regio, ac præſidia, captiuique in ditionem redacti. Tum enim & fortunam accuſarent, & bellum ſe reparaturos minarentur. Nunc vero poſteaquam ſe ſponte ſubdiderunt, perſpicuè illud indicant ſe animo ac voluntate eſſe victos.

Et quidem Alexandrum Darius ægrè tandem aliquando ſupplex rogauit; cum primò ad Granicum, poſtea ad Iſſum Ciliciæ eſſet ab eo profligatus. Imperator vero, cum à Tigridis fluuio ad Heſperium Oceanum arma vertiſſet, Babylonij longinquas adeo minas illius ferre nõ potuerunt. Sed redeo vnde hùc digreſſus fueram; ſcilicet non immeritò apud nos Imperatorẽ efferre ſe, ac de rebus geſtis gloriari; & innumera Trophæa, atq; egregia facinora demonſtrare, tanquam apud eos, qui verè atque ex intimo corde gratulentur. Qui enim cõmunem maximè cum eo ſecundarum rerum fructum habent, eos maximè cum ſecundæ illi res fuerint, gaudere atque exhilarari neceſſe eſt. Ciuitas ipſa porro, quem ab eo ſibi honorẽ tribui animaduertit, eum viciſſim deferre, atque iis bonis exornare nititur, quæ illius beneficio conſecuta eſt. Sicut homines iiſce Deum hoſtiis ac donis cohoneſtare inuicem ſolent, quæ ab illo prius acceperint. Itaque ſecundũ vnamquamq; victoriam, atque vnumquodq; Trophæum curribus Circus refertus eſt: & ob felicium nunciorum multitudinẽ inter ludos ac feſta perpetuo verſamur. Quô fit vt id ſolis nobis eueniat, minimè diebus feſtis quieſcere, ſed per eos quiete potiſſimum indigere. Et quoniam Alexãdri paulò ante meminimus, ſecundarum Alexandri rerum nullum Pella patria fructũ cepit. Sed cũ terrarum tãtum ſub Imperium ſuum ac ditionem ſubiunxiſſet, ne vno quidẽ iugere ampliorem Patriam reddidit. Cum Imperatore vero merito ſanè Patria iiſdem incremẽtis augeſcit quæ ætate Imperij huius æqualis eſt. Audio enim vno eodemq; tempore Patrem illius, & Vrbi murorum ambitum, & Filio purpuram circumdediſſe. Vnde & rectè poſteaquam triplo amplius Imperium fecit, æqualem ſibi Ciuitatem amplificat, non productis Pomœriis, ſed ad pulchritudinem aliquid ſemper adiiciens; ſiue perennioris aquę ſcaturigines inueſtigans, ſiue balneas de ſe nominatas extruens (quarum amplitudinem cum iam videatis, conſentanea amplitudini pulchritudo ſperatur) ſiue eandem ſupernè contecto ſtadio, tanquam pretioſiſſimo cingulo præcingens, ſiue

καὶ Ἀλεξάνδρου μὲν Δαρεῖος μόλις ποτὲ ὕστερον ἐδεήθη, πρότερον μὲν ἐπὶ Γρανίκῳ πληγείς, μετὰ ταῦτα δὲ ἐν Ἰσσῷ τῆς Κιλικίας· βασιλέως δὲ ἀπὸ τῆς Τίγρίδος ῥεῖθρον τὰ ὅπλα τρέψαντος ἐπὶ τὸν ἑσπέριον Ὠκεανόν, οὐκ ἤνεγκαν οἱ ἐν Βαβυλῶνι οὕτω πόῤῥω οὖσαν τὴν ἀπειλήν· ἀλλ' (ὅθεν δεῦρο ἐξετραπόμεθα) ὡς ἄρα ὑμῖν εἰκότως ἐγκαλλωπίζεται καὶ ἐναβρύνεται ὁ βασιλεύς, ἔπαινα συχνὰ ἐπιδεικνύμενος καὶ τὰς ἀριστείας, ἅτε ἀληθινῶς καὶ ἐκ τοῦ βάθους συνησθημένοις. τοὺς γὰρ μάλιστα αὐτῷ συναπολαύοντας τῆς εὐπραγίας, μάλιστα ἀναγκαῖον εὖ πράττοντι συγγανύσκεσθαι. τιμῶντα δὲ αὐτὸν καὶ πόλις ἀντιτιμᾶν πειρᾶται καὶ ἀντικυδαίνειν οἷς παρ' ἐκείνου κέκτηται ἀγαθοῖς· ὥσπερ, οἶμαι, καὶ τὸν θεὸν οἱ ἄνθρωποι ἀντιτιμῶσιν οἷς παρ' ἐκείνου ἔχουσι θύμασί τε καὶ ἀναθήμασι. καὶ μεστὸς μὲν ἱππόδρομος τῶν ἁρμάτων ἐφ' ἑκάστῃ νίκῃ καὶ ἐφ' ἑκάστῳ τροπαίῳ, διὰ δὲ τὸ πλῆθος τῶν εὐαγγελίων διατελοῦμεν πανηγυρίζοντες· καὶ μόνοις ἄρα συμβέβηκεν οὐκ ἀναπαύσεις εἶναι τὰς ἑορτάς, ἀλλ' ἀναπαύσεως δεῖσθαι. καὶ, ἐπειδὴ Ἀλεξάνδρου ἐμνήσθη μικρῷ πρόσθεν ὁ λόγος, τῆς μὲν Ἀλεξάνδρου εὐτυχίας Πέλλα οὐδὲν συναπώνατο ἢ συναπέλαυσεν, ἀλλὰ τοσαύτην γῆν κτησάμενος ἐν ἑαυτῷ, πλέθρῳ ἑνὶ μείζω οὐκ ἐποίησε τὴν πατρίδα. βασιλεῖ δὲ εἰκότως συναυξάνεται πόλις ἡ τῆς βασιλείας ἡλικιῶτις. πυνθανόμεθα γὰρ ὡς καὶ ἠμφίασεν ὁμοῦ ὁ γεννήτωρ τό, τε ἄστυ τῷ κύκλῳ καὶ τὸν νέα τῇ ἁλουργίδι. ὥστε ἐν δίκῃ τετραπλασιάσας τὴν ἀρχήν, πολλαπλασιάζει αὐτῇ τὴν ὁμήλικα, οὐ τὸν περίβολον ἐξάγων, ἀλλὰ τῷ κάλλει προσμηχανώμενος, πηγάς τε μαστεύων ἀφθονωτέρων ναμάτων, λουτρά τε ἐπώνυμα οἰκοδομούμενος· (ὧν τὸ μέγεθος μὲν ἤδη ὁρᾶτε, τὸ κάλλος δὲ ἐλπίζεται πρέπον τῷ μεγέθει) δρόμῳ τε αὐτὴν ὑποστέγῳ οἷα πολυτελεῖ μίτρᾳ διαζωννὺς,

καὶ τὴν βασίλειον ἀγορὰν ὥσπερ καλλιτέραν διαπλέκων χρυσῷ καὶ μαργάροις. ὃ δὲ ἁπάντων ἐρωτικώτατόν τε καὶ ἐμπορώτατον, ὅτι ἥκιστα αὐτὸς τρυφῶν, χορηγεῖ τῇ πόλει τρυφῆς ἀφθονίαν, καὶ τὴν ἑαυτοῦ ψυχὴν ἀποκλείων ταῖς ἡδοναῖς, συναλίζει ὑμῖν τὰς νομίμους ἀπὸ παντάχοθεν. ὥστε καὶ ὅσα παρ᾽ ἑτέροις ἀγαπητὰ θεάματα καὶ ἀκούσματα, κατακορῆ ὑμῖν καὶ πλήσμια ἤδη. καὶ ἐκ τούτου σωφρονεστέρα γίνεται ἡ πόλις. ὧν γὰρ οἱ ἄλλοι ἐκκρέμανται δι᾽ ἔνδειαν καὶ ἀπορίαν, οὐδὲν ὑμῖν περισπούδαστον οὐδὲ τίμιον. ἐκεῖνο δὲ ἤδη πῶς οὐ μακρὰν καὶ πόῤῥω τῶν παιδικῶν προορῶντος, ὅτι καὶ συμβασιλεύειν αὐτῷ ἄνδρα ἐξείλετο ὅν τινα αὐτῷ καὶ συνεραστὴν τῆς Καλλιόπης ἀναγκαῖον; οὗ τῇδε μὲν τὼ γεννήτορε συνηλθέτην, τῇδε δ᾽ ἐσπάρη τε καὶ ἐφυτεύθη, πόλις δὲ αὐτὸν ἐμαιώσατο ἐκ τῶν ὠδίνων, πόλις δὲ αὐτὸν ἐξέθρεψε καὶ ἐξεπαίδευσε, καὶ ἀπέφηνεν ἄξιον αὐτὸν βασιλεῖ κοινωνὸν τῆς ἀρχῆς, ἴσα βαίνοντα, ἴσα φρονοῦντα, συνοπλοφοροῦντα, συνασπίζοντα, συνδρῶντα, οὐ φυλακῆς δεόμενον, ἀλλ᾽ αὐτὸν φύλακα ὄντα καὶ ἔρυμα τοῦ ἑλομένου. διὰ ταῦτ᾽ ἄρα καὶ αἵματι πάνυ ἀγχοῦ προσηκόμενον ἔτι προσηγάγετο ἐγγυτέρῳ τῇ ἐκ τοῦ γάμου κηδείᾳ, καὶ συνεστήσατο πρὸς τὴν πόλιν δεσμῷ ἀναγκαίῳ, μείζω ποιήσας τὴν πρὸς τὸν οἰκιστὴν ἀγχιστείαν. ὅθεν δὲ ὡρμήθη ὁ λόγος τὰ δείγματα ὑμῖν συλλέξασθαι τῆς βασιλέως εὐνοίας, ἀκούσατε αὐτοῦ πρὸς Χαρίτων, εὖ μάλα ἐντεινάμενοι τὴν διάνοιαν. ἢ διαφεύξεται ὑμᾶς ὑπ᾽ εὐλαβείας ζόφῳ καὶ ἀσαφείᾳ συγκαλύψας ὥσπερ ἀχλύϊ. οὕτω γὰρ δὴ ἡμῖν ὁ ἐραστὴς ἀμηχάνῳ φίλτρῳ ξυνέχεται, ὥστε οὐ μόνον παρὰ τῶν ζώντων ἁπάντων ἀγείρει τῇ πόλει τὴν εὐπραγίαν, ἀλλὰ καὶ παρὰ τῶν πάλαι ἀποιχομένων ὅσαπερ οἴεται ἀγαθὰ ἐρανίζεται.

ſiue Regium forum flammei inſtar auro ac ſegmentis intexens. Quod vero vnum vehementis cuiuſdam atque inflammati amoris eſt, cum minimè ipſe delitiis vtatur, magnam nihilominus Ciuitati delitiarum copiam ſuppeditat, cúmque omnes ab animo ſuo voluptates excludat, quæcumq; tamen honeſtæ & licitæ ſunt, eas nobis omnibus ex locis in vnum contrahit, adeò vt quibus cæteri ſpectaculis, aut acroamatis vnicè capiuntur, ea iam nobis moleſtiam ac faſtidium pariant; ex quo modeſtior temperatiorque Ciuitas efficitur. Nam quibus ob egeſtatem atque inopiam ſupra modum addicti ſunt alij, nihil eorum nobis ſplendidum aut magnificum videtur. Illud vero quàm longè eius, quem amat, commodis proſpicientis eſt, quòd eum præcipue Virum Imperij conſortem aſciuerit, quem eodē Calliopes amore detineri neceſſarium eſſet. Cuius hoc ipſo in loco parentes copulati ſunt; ibidémque ſatus ille, ac genitus, tum eadem illi obſtetricata eſt Ciuitas, eadem educauit, atque inſtituit, eadémque Principi dignum Imperij conſortio reddidit, æquis cum eo paſſibus gradientem, æquali mente prẹditum, ſimul arma geſtantem, clypeum conferentem, pariter cum eo omnia capeſſentem: qui neque cuſtodibus indigeat, & ei à quo aſſumptus eſt cuſtodiæ munimentique vicem prẹbeat. Propterea cum ſanguine eſſet illi proximè coniunctus, nuptiarum adhuc affinitate coniunctiorem fecit, cumque neceſſario quodam vinculo cum Ciuitate conſtrinxit, dum arctiori propinquitate cum eius conditore ſociauit. Sed vnde primum ad colligenda vobis in Imperatore beneuolentiæ ſigna adducta oratio eſt, quæſo illud (per Gratias) accipite, animúmque, quantum in vobis ſitum erit, adiicite. Alioqui enim, prẹ timore, ac cautione, caligine ſeſe, ac obſcuritate velvt nebula quadam denſiore contegens effugiet. Tam enim incredibili in nos amator ille noſter amoris illecebra detinetur, vt non modo ex omnibus contracta in vnum commoda in Ciuitatem cōferat, ſed etiam ex iis, qui iamdudū mortui ſunt, quẹcumque bona eſſe exiſtimat, corrogare non dubitet.

Neque hoc ipſum ei ſatis eſt: verum illud, proh Deum immortalem! quàm admirabile, quàm prodigij ſimile eſt (Auditores) quod Sapientum ac præclarorum Heroum animas ad huius emolumentum Vrbis reuocat, atque ex ipſis ſepulchris in lucem reducit! Nunquid Magicis id artibus, ac furori tribuendum putatis? Atqui nullum aliud noſtri amatoris opus, aut præclarius, aut Deo iucundius eſt. Clariùs quid velim explicabo; vt & vos, quæ à me dicuntur, intelligatis, ac turbari animo, & fluctuare deſinatis. Igitur animam ego ſapientis hominis, illius ſapientiã eſſe arbitror, ac mentem, atque ſermonem; ſepulchra vero eiuſmodi animarum libros, ac ſcripta, in quibus tanquam in monimentis reconditæ eorum reliquiæ ſeruantur. Hæc ergo monimenta diuturna iam incuria in Mnemoſynes theſauro inſtar ædificiorum collapſa, cum nihil iam propius eſſet, quàm vt interirent funditus, ac profligarentur, vnáque commiſſas ſibi animas perderent, excitare illa, & inſtaurare imperat, eique operi Curatorem præficit, cui ſumptus omnes, ac impendia ſubminiſtrat: Cęterum ea nobis opera non Fabri ærarij, non Architecti, non Lapidarij, ſed profectæ à Cadmo & Palamede artis opifices perficiunt; qui ea facultate præditi ſunt, vt mentem ex vetere ac ruinoſo tabernaculo in recens ac nuper fabricatum transferant. Itaque paulò poſt publicè nobis & ſapientiſſimus Plato renaſcetur, & Ariſtoteles, & Pæanieus Orator, & Theodori atque Olori filius. Sed horum quidem virorum etſi in publico poſita ſimulachra periclitarentur, priuata tamen apud ſingulos etiam citra legem vllam, diligenter cuſtodiri, atque ab interitu vindicari ſolent; ſatiſque ad eos conſeruandos eximia illorum virtus eſt. Quicumque vero comites illorum, & aſſeclę ſunt, quorum opera ſibi ad perpetuitatem minimè ſufficiunt, hos omnes ex mortalibus immortales reddere Imperatoris prouidentia contendit. Quare plurimos iam Homeri interpretes, &, vt ita dicam, ædituos, plurimos item Heſiodi cultores,

καὶ οὐδὲ τοῦτο αὐτῷ ἀπόχρεών τε καὶ ἱκανόν, ἀλλ' ἐκ θείου ἤδη ἰοὺ ἰοὺ ὡς ἄτοπον καὶ τεράστιον, ὅτι καὶ τὰς ψυχὰς αὐτάς, ὦ θαυμάσιοι, τῶν σοφῶν καὶ ἀοιδίμων ἡρώων ἐπ' ὠφελείᾳ τῆς πόλεως ἀνακαλεῖται, καὶ ἀνίστησιν ἐκ τῶν τάφων. ἔτι που οἴεσθε μαγγανείαν τὸ χρῆμα καὶ μανίαν; καὶ μὴν οὐκ ἄλλο ἔργον αἱρετώτερόν τε καὶ θεοφιλέστερον τοῦ ἑκάστου. καὶ ἐρῶ ὑμῖν σαφέστερον, ἵνα μάθητε ὅ,τι καὶ λέγω, καὶ μὴ θορυβῆτε. ψυχὴν τοίνυν ὑπολαμβάνω ἐγὼ ἀνδρὸς (σοφοῦ εἶναι) τὴν οὐσίαν καὶ τὸν νοῦν καὶ τὸν λόγον, ἡνία δὲ τῶν ψυχῶν τούτων τὰς βίβλους τε καὶ τὰ γράμματα, ἐν οἷς ἀπόκειται αὐτῶν τὰ λείψανα, ὥσπερ ἐν μνήμασι. ταῦτα οὖν τὰ μνήματα ὑπὸ μικρᾶς ἀθεραπευσίας διαρρυέντα, ὥσπερ οἰκοδομήματα ἐν τῷ θησαυρῷ τῆς μνημοσύνης, καὶ κινδυνεύοντα παντάπασιν αὐτά τε ἀφανισθῆναι καὶ ἀποσβῆναι, καὶ συναποσβέσαι τὰς ψυχὰς τὰς ἐγκειμένας, ἀναζωπυρεῖν παραγγέλλει, καὶ τάττει μὲν ἄρχοντα ἐπὶ τῷ ἔργῳ, καὶ ἐπιδίδωσι τὴν χορηγίαν τῷ δαπανήματι. καὶ ἐργάζονται ὑμῖν ταῦτα τὰ ἔργα οὐ χαλκεῖς καὶ τέκτονες καὶ λιθολόγοι, ἀλλ' οἱ τῆς Κάδμου καὶ Παλαμήδους τέχνης δημιουργοί· οἳ ἱκανοί εἰσι τὸν νοῦν μετοικίζειν ἐκ παλαιοῦ σκηνώσεως ἐκτετηκότος εἰς ἀρτιπαγές τε καὶ νεουργόν. καὶ ὀλίγῳ ὕστερον ὑμῖν ἀναβιώσεται μὲν δημοσίᾳ ὁ πάνσοφος Πλάτων, ἀναβιώσεται δὲ ὁ Ἀριστοτέλης, καὶ ὁ ῥήτωρ ὁ Παιανιεύς, καὶ ὁ τοῦ Θεοδώρου καὶ ὁ τοῦ Ὀλόρου. καὶ τούτων μὲν δὴ τῶν ἀνδρῶν εἰ καὶ τὰ ἐν κοινῷ ἀγάλματα ἐκινδύνευεν, ἀλλά τά γε ἴδια παρ' ἑκάστῳ, καὶ ἄνευ νόμου, φυλακῆς ἐτύγχανε καὶ σωτηρίας, καὶ ἱκανὴ αὐτὴ διασώζειν ἡ περιουσία τῆς ἀρετῆς. ὅσοι δὲ ὀπαδοί τε ἐκείνων, καὶ τὰ ἔργα αὐτῶν οὐκ ἐξαρκεῖ ἑαυτοῖς πρὸς διαμονήν, τούτους βιάζεται θνητοὺς ὄντας, ἀθανάτους ποιεῖν ἡ βασιλέως προμήθεια, πολλοὺς μὲν Ὁμήρου ὑποφήτας καὶ νεωκόρους, πολλοὺς δὲ Ἡσιόδου θεραπευτάς,

Χρύσιππόν τε αὐτὸν ἤδη καὶ Ζήνωνα καὶ Κλεάνθην, χορούς τε ὅλους ἐκ Λυκείου καὶ Ἀκαδημίας, ἐν βραχεῖ τε εἰπεῖν, σῖτος ἀνάριθμον ἀρχαίας σοφίας, οὐ κοινῆς οὐδὲ ἐν μέσῳ κυλινδουμένης, ἀλλὰ σπανίου καὶ ἀποθέτου, ἀμεληνόν τε ἤδη καὶ ἐξίτηλον ἐν τῷ πρόσθεν χρόνῳ, ἐν σκότῳ κατορωρυγμένον κινεῖ καὶ ἐγείρει ὥσπερ ἐξ ᾅδου, καὶ τοιαῦτα ἕτερα ὑμῖν καὶ ἀμείνω ἀγάλματα ἀνίστησι τῶν Μουσῶν. ἆρα ἀγνοεῖτε ὁπόσῳ ὑμῖν σεμνότερος καὶ βασιλικώτερος ὅδε ὁ κόσμος τῶν περιστόλων τοῦ θεάτρου καὶ τοῦ διαφανοῦς ἱπποδρόμου. καὶ ὅτι φανεῖτε αἰεὶ ἐπ' αὐτῷ δικαίως ἢ ἐπὶ τοῖς λιμέσι τοῖς ἐντὸς πυλῶν, δι' ὧν εἰσρεῖ καὶ ἐμπλέκεται ἡ θάλασσα ἐν μέσαις ταῖς ἀγοραῖς. ταῦτα γὰρ ἅπαντα, οἶμαι, τύρβη καὶ ὄχλος καὶ βαναυ * * καὶ ἀρχαῖα μὲν τὰ θεάματα, ἄχρηστα δὲ τὰ ἀκούσματα, μόνος δὲ οὗτος ὁ κόσμος ἀμείνους ποιεῖ τοὺς θεωμένους· καὶ ὥσπερ ἄν τις αὐτὸν ἀτενέστερον καθορῴη, καὶ γίγνοιτο ἐνδοτέρω, τοσῷδε ἄπεισιν ὀλβιώτερος τοῦ θεάματος. καὶ τέως μὲν τῇ πόλει ὤνειτε τοῦ εἴδους, ὅτι ἔρχεται μὲν εἰς αὐτὴν ἅπαντα ἁπανταχόθεν τὰ ἀγαθά, ἐξέρχεται δὲ οὐδέν, εἰ μὴ γῆ καὶ ψάμμος καὶ φορυτός. νῦν δὲ ὥρα ἐξάγειν καὶ ἐμπορεύεσθαι παρ' ὑμῶν οὐ μὰ Δί' οὐ χρυσόν, οὐδὲ ξύλα, οὐδὲ πορφύραν, ὥσπερ ἐκ μετάλλου ἢ ὄρους ἢ βακτηρείας, ἀλλ' οὐδὲ οἴνου σταμνία, οὐδὲ ὄσπρια, οὐδὲ τραγήματα. ταῦτα μὲν ἐπιεικῶς οἶμαι ὑπάρχειν παρὰ τῶν φαυλοτέρων ἐκκαρποῦσθαι τοῖς ἀμείνοσιν. ὃ δὲ ἄρτι ἐμπόριον ὑμῖν κατασκευάζεται βασιλεύς, ἀρετή ἐστιν ἐκ τοῦδε καὶ φρόνησις τὰ ἀγώγιμα· καὶ ἥξουσιν ὑμῖν ἐπὶ ταύτην τὴν ἐμπορίαν οὐ κάπηλοι καὶ ναῦται καὶ φορτικὸς ὄχλος, ἀλλ' οἱ ἔκκριτοι καὶ φιλομαθέστατοι, καὶ ὅ,τι ἄνθος Ἑλλήνων λόγοι καὶ παιδεία τὰ ἀγοράσματα. μὴ οὖν ὑμῖν φαίνονται ἀπεικότως αἱ Μοῦσαι συστρατεύεσθαι τῷ βασιλεῖ,

ſed & Chryſippum ipſum, ac Zenonem, & Cleanthem, atque integros ex Lyceo, & Academia choros, &c, vt vno verbo dicam, innumerabile ex veteri ſapientia Scriptorum agmen: non tritâ illâ, aut in medio poſita, ſed rara, atque recondita, quod quidem ſuperioribus temporibus pene extinctum atque intermortuum fuerat, defoſſum in tenebris tanquam ex inferis reuocat, atque ad lucem excitat, atque eiuſmodi nobis, & his præſtantiora Muſarum ſimulachra conſtituit. Num igitur ignorare poteſtis quanto vobis ornatus ille ſplendidior, magnificentiorque ſit, quàm aut Theatri, aut egregij illius Circi ambitus columnis ornati? Quodque illuſtriores ob id merito videamini, quàm ob eos portus, qui intra portas extructi ſunt, per quos mare media in fora confluit, atque immittitur. Hæc enim, opinor, omnia infima plebs, ac forenſis factio, & incondita operariorum turba † † cum ſpectacula vero ipſa, tum acroamata inutilia ſunt. Solum illud ornamentum meliores ſpectatores ſuos facit; quóque attentiùs id quiſpiam conſiderauerit, atque interiùs penetrauerit, eo ſpectaculi huius ex intuitu felicior diſcedit. Et hactenus quidem in hac Ciuitate ſolo ex aſpectu pulchritudinis fructum homines capiebant, propterea quod omnia vndique in illam bona inueherentur, nihil præter terram, ſabulum, ac quiſquilias aueheretur. Iam vero exportare, ac mercari à nobis aliquid licet, non mehercule aurum, aut ligna, vel purpuram, quaſi ex fodinis, aut monte, vel officina tinctoria, ſed nec vini dolia; aut legumina, aut bellaria: hæc enim omnia à deterioribus petere admodum meliores, opiner, ſolent. Ex Emporio illo vero, quod Imperator modo nobis excitat, Virtus, ac Prudētia loco mercium exportantur. Et ad eum mercatum conuenient non inſtitores, aut nautæ, aut ſentina illa popularis: ſed ſelecti quique, atque eruditionis cupidiſſimi, ac totius Græciæ flos, quorum merces doctrinæ erunt, atque diſciplinæ. Num igitur merito Muſę eas ob cauſas cum Imperatore noſtro in expeditionem proficiſci videntur?

Num eidem inſignes quaſdam largiri victorias, in quibus nihil ſibi Mars vindicare poſſit? Age verò, etiam eum cuius id conſilio factum eſt, indicabo. Neque enim prætermitti ſilentio ab eruditorum orationibus debet, qui tantæ, tamque multiplici eruditioni propemodum pereunti ſuccurrerit: ſed noui inſtituti nomine commendandus eſt, quòd non eo contentus fuerit, quo inſtauratores cæteri; nec ſatis ſibi eſſe illud exiſtimauit, quòd aut annonæ laxitatem, aut balnearum ardorem prębere: ſed eo vſque prouidentiæ illius conſilium progreſſum eſt, vt & Sapientiæ publicas nobis opes ac Theſauros conſtitueret. Igitur mihine adhuc Imperator ſuccenſebit, ſi ego meas vobis Orationes ante alios committam; nec eas prius extra domeſticos parietes educam, quàm conuocata concio, tanquam Ephebos probauerit, & publico annulo ſignauerit? Tum enim verè pennas capiunt, ac robuſtiores fiunt, vt è nido proſilire, ac per aërem ſublimes ferri, & volitare poſſint; atque idoneæ ſint, vt & ad Imperatorem ipſum perueniant, & ab eo terras omnes ac maria peruagentur. Quod ſi forte alicubi aduerſus eas cornix garrula crocitauerit, quòd cum philoſophari ſe ſimulent, ad oratores tamen degenerent, tueri ſe nobiſcum abundè poterunt, ac corniculas conuincere, nondum Muſam Platonis extremis labiis deguſtaſſe. Niſi forte Platonem ipſum veri ac germani Regis laudatorem, ac prædicatorem eſſe non putant; cum ita diſertè loquitur, ac ſcribit: Tũc optimam hominum vitam, ac feliciſſimam fore, cum iuuenis Rex fuerit, temperans, ſagacis memorię, fortis, magnificus, atque docilis. Quare ſi vel vnum ex omnibus illis verbis abeſt ab Imperatore noſtro: ſi aut de eius Temperantia dubitari poteſt, cum quo ſi conferatur nullam omnino grauitatem morum habebit Hippolytus: aut memoriam iure quiſquam reprehendat, cuius phantaſiæ rerum imagines, quàm ſculpturę annulis tenaciùs adhæreſcunt: aut certè fortitudinem: qui, cùm pacem agere cum Tyrannis liceret, etſi multis improbantibus, tamen priuatis commodis Romanorum libertatem antepoſuit.

De ma-

καὶ διδόναι αὐτῷ νίκας ἐξαιρέτους ὧν ὁ Ἄρης οὐκ ἐκοινώνησε; φέρε δὴ ὑμῖν καὶ τὸν σύμβουλον μηνύσω. δίκαιος γὰρ μὴ σιωπᾶσθαι ὑπὸ τῶν λόγων, τοσοῖσδε λόγοις ἐπιρρήξας διηλλυμένοις, καὶ ἄξιος ἐπαινεῖσθαι τῆς καινουργίας· ὅτι οὐκ ἐνταῦθα ἔστη ἵνα περ οἱ ἄλλοι καταρτιστῆρες, οὐδ᾽ ἀπόχρεων ἐνόμισεν ἀγορᾶς τε εὐκολίαν παρέχεσθαι καὶ βαλανείων φλογώσεις· ἀλλ᾽ εἰς τόσον ἄρα προὔβη ἡ γνώμη τῆς προμηθείας, ὥστε καὶ σοφίας ὑμῖν δημόσιον πλοῦτον ἐμηχανήσατο. ἔτι οὖν ἀχθήσεται βασιλεὺς εἰ καὶ ἐγὼ τοὺς ἐμοὺς λόγους ὑμῖν παρὰ τῶν ἄλλων ἐπιδιδοίην, καὶ οὐ πρόσθεν ἐξάγοιμι τούτους, εἰ μὴ ξυλλεγεῖσα ἡ ἐκκλησία δοκιμάσειέ τε ὥσπερ ἐφήβους, καὶ ἐπίθοιτο τὴν δημοσίαν σφραγῖδα; τηνικαῦτα γάρ μοι ἀτεχνῶς πτεροφυοῦσι καὶ τελειοῦνται, καὶ οἷοί τε εἰσὶν ἐκ τῆς νεοττιᾶς ἀναΐσσειν μετέωροι καὶ ὑψηλοί, καὶ ἀξιόχρεῳ πέτεσθαι πρός τε αὐτὸν βασιλέα, καὶ παρ᾽ ἐκείνου ἐφ᾽ ἅπασαν γῆν τε καὶ θάλατταν. καὶ εἴ πῃ αὖ αὖθις κορώνη λακέρυζα ἐπικεκράξειεν, ὅτι φιλοσοφεῖν ποιούμενοι μεθαρμόζονται εἰς τοὺς ῥήτορας, ἱκανοὶ μὲν ἡμεῖς ἀμύνασθαι καὶ ἐλέγχειν, ὅτι αἱ κορῶναι αὗται οὐκ ἐγένοντο τῆς Πλάτωνος Μούσης. εἰ μὴ οἴονται καὶ Πλάτωνα ἐπαινέτην εἶναι καὶ ὑμνοποιὸν τοῦ ἀληθινοῦ βασιλέως, ὁπόταν λέγῃ καὶ γράφῃ ἄντικρυς οὑτωσί, τότε ἄριστα τὸν βίον καὶ εὐδαιμονέστατα ἕξειν ὅταν γένηται βασιλεὺς νέος, σώφρων, μνήμων, ἀνδρεῖος, μεγαλοπρεπής, εὐμαθής. εἰ μὲν οὖν τι τούτων ἐνδεῖ τῶν ῥημάτων, καὶ ἡ σωφροσύνη ἀμφισβητήσιμος, πρὸς ὃν οὐδὲ σεμνὸς ὁ Ἱππόλυτος ** ἢ μνήμην αὖ τις ἐπαινέσαιτο οὗ μᾶλλον κατέχει τοὺς τύπους ἡ φαντασία ἢ οἱ δάκτυλοι τὰ ἐγγλύμματα; ἢ τὴν ἀνδρείαν, ᾧ οὐκ ἐξὸν εἰρήνην ἄγειν πρὸς τυράννους, πολλῶν ἀνθρώπων, τῆς ἑαυτοῦ ῥᾳστώνης ἐπίπροσθεν ἐποιήσατο τὴν Ῥωμαίων ἐλευθερίαν;

Rr

μεγαλοπρέπειαν δὲ τὴν μὲν ἐν δαπάναις τί αὖ τις λέγοι; τὴν δὲ ἐν τῷ ἄλλῳ τῆς ψυχῆς εἴ τις ἐπιποθεῖ, ἐννοησάτω δυοῖν ἀνδρῶν τοῦ μὲν σωτηρίαν, τοῦ δὲ τιμωρίαν. ὧν τὸν μὲν ἰδίᾳ λυπήσαντα, διὰ τὴν ἐς τὰ κοινὰ ἀρετὴν, διετήρησε καὶ ἐφύλαξε· τῷ δὲ ἔναγχος οὐκ ἤρκεσε λυγρὸν ὄλεθρον ἡ κολακεία καὶ ἡ θωπεία, ὅτι χρηματισμὸν ἐπεποίητο τὴν ἐπίκρισιν τῆς εὐνοίας. ὅπερ οὖν εἶπον, εἰ μέν τι τούτων ἐνδεῖ ὑμῖν τῶν ῥημάτων, μᾶλλον ἄν τινα ἐπαινοίημεν ἡμεῖς, καὶ οὐχ ὅπερ οἴεται ὁ Ἀρίστωνος· εἰ δὲ ὁ μὲν τύπους βασιλικοὺς ἐν κοινῷ ὑπεγράψατο διὰ τῶν λόγων, καὶ ᾔτει παραδείγματος ἀληθινοῦ, ἡμῖν δὲ ἔδωκεν ὁ θεὸς ἐπιδεῖν τὴν μορφὴν ἐν ᾗ ἐξέλαμψαν οἱ τύποι καὶ ἐξεφαίνοντο, εἴημεν, ὡς ἔοικεν, τοῦ θείου Πλάτωνος οὐ κολακικώτεροι, ἀλλ' εὐποτμότεροι, ὅτι ὁπόσα ἐκεῖνος ὠνειροπόλησεν, ὕπαρ ἡμεῖς τεθεάμεθα.

ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΤΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ἐγκωμιάσαντος αὐτὸν πρὸς τὴν γερουσίαν, εὐχαριστήριος, αὐτὸν ἀποδεικνὺς τὸν βασιλέα μάλιστα φιλοσοφίας μετέχοντα.

ΛΟΓΟΣ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΣ.

ΑΡ' αὖ ὑμῖν ὦ ἄνδρες δοκοίην χρέους ἀποστερῶν, φιλοσοφίας ἐνδίκως μεταποιεῖσθαι; καίτοι Ἀθήνησι τοὺς ὀφείλοντας τῷ δημοσίῳ κατείργει νόμος μὴ κοινωνεῖν τῆς πολιτείας, ἕως ἂν τὸ ὀφλόμενον ἀποτίσωσιν. ἐγώ τε αὐτὸς ὀφλισκάνω τι καὶ ἐγγέγραμμαι, οὐ μὰ Δία τῷ δημοσίῳ τῷ ὑμετέρῳ, ἀλλὰ δι' ὃν ὁ ὑμέτερος δῆμος γέγηθέ τε καὶ εὐθυμεῖται.

De magnificentia enim illius in ſumptibus quid eſt quod dicere quiſpiam poſſit? Eandem vero aliis in rebus animi propriam ſi quis deſideret, is apud ſe è duobus hominibus alterius ſalutem, pœnam alterius ac vindictam cogitet. Quorum alterum, qui priuatim in ſeſe commiſerat, propter eius publicis in rebus virtutem, ſeruauit, atque eripuit; alterum vero nuper adulatio atque blanditiæ nequaquam ab atroci exitio liberarunt, quod ſimulationem beneuolentiæ in occaſionem quæſtus atque compendij vertiſſet. Igitur ſi, (vt modo dixi) aliquid eorum nobis verborum deeſt, quemlibet potius prædicari à nobis fatebimur, quàm qui ab Ariſtonis filio laude dignus iudicatur. Sin ille quidem Regias notas in commune oratione ſua deſcripſit, quod vero exemplari careret; nobis verò formam quandam intueri à Deo conceſſum eſt, in qua notæ illæ perſpicuæ atque expreſſæ reſiderent, non magis, vt videtur, Diuino Platone adulatores erimus, ſed feliciores dumtaxat, quoniam quæcumque ille ſibi per ſomnium finxit, ea nos reipſa veréque ſumus contemplati.

DE IMPERATORE A QVO ERAT in Senatu laudatus: Gratiarum actionem continens, ipſumque Imperatorem demonſtrans Philoſophiæ cumprimis eſſe participem.

ORATIO XIV.

NVM ego vobis (Auditores) Philoſophiã profiteri merito viderer, ſi creditorem meum debito fraudarem? Atqui Athenis Lex prohibet eos quorum nomina in ærarium relata ſunt, Remp. prius capeſſere, quàm debitum illud diſſoluerint. Ego vero & obſtrictus ſum, & inſcriptum nomen meum eſt, non in ærario veſtro, ſed apud eum, per quem Populus veſter in lætitia ac rerum omnium copia verſatur.

Quòd ſi id quod à me dicitur, nondum intelligitis, mali vtique teſtes nominum eſtis, neque hoc meminiſtis, iampridem vos ob eum ipſum contractum, teſtandi gratia in Curiam eſſe conuocatos. Præerat autem tum ei mutuo dando fortis ac conſtantiæ plenus Vir, qui, ſi inficiari velim, nequaquã ſinat, aut de iure quicquam remittat. Ita à me contractum nomen illud inſigne eſt, nec, vt maximè contendã, fraudare, aut euadere impune licet. Sed & voſmetipſos teſtes tantiſper quieſcere, atque expectare ſcio, quaſi nondũ omnino præfinitũ ſolutionis tempus exceſſerim. Quòd ſi me planè hac in parte negligentem eſſe deprehendatis, inuadetis illico, & redarguetis, atq; ad iudicium præſto eritis, vt quocumq; vobis teſtimonium denũtiatum erit, clamoribus me veſtris inſectemini. Quod ſi de auro argentóve contractus ille eſſet inſtitutus, non adeo fortaſſe ſuccenſeretis, ſi minimè ſoluendo eſſe poſſem. Noſtis enim, niſi mihi iniuriam facitis, neque me conſeruandarum pecuniarum gnarum ac peritum eſſe, neque, ſi amiſero, in iiſdem facilè cumulandis ac recuperandis ſolertem. Cui enim ego arti impenſiùs ſum addictus, ea me in hac re callidum ac perſpicacem eſſe non patitur. Nihil tum itaque mirum eſſet, nec vllius prauitatis indicium, ſi aliquo nomine diuiti cuipiam obſtrictus ægrè ac poſt præſcriptum tempus fidem meam exſoluerem. Quapropter ſi, vt antè dixi, eiuſmodi noſtrum illud debitum foret, non adeo mihi teſtimonium veſtrum metuendum putarem. Iam verò quod ad aurum attinet, ſi quid indigerem, non dubito quin me magis eo Imperator oneraret, quàm Crœſus olim Alcmæonem illum Athenienſem, cùm ei permiſit, vt quantum corpore ſuo poſſet, auferret. Quandoquidem & nunc, quantum in illo fuit, clam in meas ædes delitiarum ac commoditatum quoſdam riuulos immiſiſſet, quos ego vix obſtruere, atque obturare potui; neque domum meam maiori, quã Philoſophia ſinat, opum copia inundari atque obrui ſum paſſus: neutiquam ignorans quocumque ſponte ac citra laborem riuus ſe ille furtim inſinuaſſet, inde emigrare virtutem oportere.

εἰ δὲ οὔπω δῆλον ὑμῖν ὃ λέγω, φαῦλοι ἄρα ἐστὲ μάρτυρες τῶν χρεῶν, καὶ οὐ μέμνησθε ὅτι πάλαι ἐπ' αὐτῷ τούτῳ τῷ ξυμβολαίῳ συνελέγητε εἰς τὸ βουλευτήριον μαρτυρήσοντες. ἐπεξέπλευσε δὲ τῷ δανείσματι ἀνὴρ μυριάδας καὶ ἔμπλεως παρρησίας, ὃς οὐκ ἐπιτρέψει οὐδὲ καταχαριεῖται ἐξαρνουμένῳ. οὕτω μοι τὸ χρέος περιβόητόν ἐστι, καὶ οὐδεμία μοι μηχανὴ ἀποστερεῖν ἐπιχειροῦντι καὶ καταπροΐξασθαι. ἀλλὰ καὶ ὑμεῖς οἱ μάρτυρες εὖ οἶδ' ὅτι τέως μὲν ἡσυχάζετε διαμέλλοντες ὡς οὔπω παντάπασιν ὑπερήμερον· εἰ δὲ αἴσθοισθε παντελῶς ἀπορραθυμοῦντα, ἐπικείσεσθε καὶ ἐξελέγξετε, καὶ παρέσεσθε εἰς τὸ δικαστήριον καταβοησόμενοι ἔπη ἄν τις μετακαλῆται. καὶ εἰ μὲν ἐπὶ χρυσίῳ ἢ ἀργυρίῳ τὸ ξυμβόλαιον ἦν, τάχα ἂν οὐ πάνυ ἐνεμεσᾶτε πρὸς τὴν ἔκτισιν ἀποδυομένῳ. ἐπίστασθε γάρ, οἶμαι, εἰ μὴ ἀδικεῖτε, ὅτι χρήματα ἐγὼ οὔτε φυλάττειν πάνυ ἔμπειρος καὶ δαήμων, οὔτε αὖ προθέμενος ξυναγείρειν τε καὶ ἀνακτᾶσθαι ῥᾳδίως. ἡ γὰρ τέχνη περὶ ἣν λιπαρῶς ἔχω, οὐκ ἐᾷ με ταύτην εἶναι σοφὸν τὴν σοφίαν. ἀλλ' οὐδὲν θαυμαστόν, οὐδὲ ἐμῆς μοχθηρίας σημεῖον, εἰ καὶ ὀφλήσας ποτὲ ἀνδρὶ πλουσίῳ, χαλεπῶς τὰ δίκαια ποιήσαιμι καὶ ὑπὲρ τὸν συγκείμενον χρόνον. ὅπερ οὖν εἶπον, εἰ ἦν τοιόνδε τι τὸ δάνεισμα, οὐ σφόδρα ἂν ὑμῶν ὑπερώπτευον τὴν μαρτυρίαν· νῦν δὲ χρυσίον μέν, εἴ τι ἐγὼ ἐδεόμην, εὖ οἶδα ὅτι μᾶλλον ἄν με κατεφόρτισε βασιλεύς, ἢ πάλαι Κροῖσος Ἀλκμαίωνα τὸν Ἀθηναῖον, ἐκ τοῦ ψήγματος ἐπιτρέψας ὁπόσον ἠδύνατο τῷ σώματι ἀποφέρεσθαι. ἐπεὶ δὲ νῦν πού τε ἐπ' αὐτῷ μέρος τρυφῆς τινος ὀχετοῦ καὶ εὐπαθείας λαθών με ἐπαφῆκεν εἰς τὸ δωμάτιον, οὗ ἐγὼ μόλις ἀπῳκοδόμησά τε καὶ ἀπέφραξα, καὶ οὐκ εἴασα ἐπικλυσθῆναι τὴν οἰκίαν ὕλῃ μείζονι οὗ φιλοσοφία προσοίσεται, εἰδὼς ὅτι, ὅπου ἂν λάθῃ τὸ ῥεῦμα τοῦτο αὐτομάτως τε καὶ αὖθις ποιοῦ ὑπὸ ** ἐντεῦθεν ἀναγκαῖον ἐξοικίζεσθαι ἀρετήν.

ἀλλὰ σοφώτερος ἄρα ὁ Κωνσταντῖνος, ὡς ἔοικεν, ἀνδρὶ ξυμβαλεῖν φιλοσόφῳ, ἢ Ἀλέξανδρος ὁ Φιλίππου. ὁ μὲν γε ἐπὶ τοῖς πεντήκοντα ἅμα ταλάντοις οὐκ ἔπεισεν οὐδὲ ἔκαμψε τὸν Καρχηδόνιον Ξενοκράτην, ἀλλ᾽ ἀπεχρύσατο γενναίως τὴν προσβολὴν τοῦ χρυσίου, ἀπεῖπέ τε αὐτὸς καὶ ᾖρέ τε τὼ χεῖρε, καὶ οὐ προσήνεγκεν ἑτέραν πεῖραν ἰσχυροτέραν. βασιλεὺς δὲ ὁ μέγας ἐμηχανήσατο ὅπῃ ἂν μόνως ἐγὼ ὑποχειρωθείμην, καὶ ὑπόσχοιμι οὐχὶ τὰς χεῖρας, ἀλλὰ τὴν ἀκοήν. ὁ γὰρ ἔπαινος ἡδὺ μέν που καὶ ἄλλως καὶ δυσμαχον δῶρον, καὶ παρ᾽ ὁτουοῦν γινόμενον (καὶ γὰρ αἱ σειρῆνες ἐπὶ σκοπέλων ἐπαινοῦσαι καὶ ἐπ᾽ ὀλέθρῳ, μικροῦ προσηγάγοντο καὶ ἐχειρώσαντο τὸν πολύμητιν Ὀδυσσέα) οὐ δὲ δὴ καὶ μόνον τὸ νεῦμα φερέγγυον πρὸς σωτηρίαν, τοῦτο μικρὸν βιβλίον συγγράφων μεστὸν εὐφημίας, τίνα οὐκ ἂν σιδηροῦν καὶ ἀδάμαντος στερεώτερον μαλάξειέ τε καὶ ὑποχείριον λάβοι; ὅταν δὲ δὴ καὶ τὸ ἀκουστήριον ἐννοήσω, καὶ ὑμᾶς οἷς τὸν ἔπαινον ἐκοινοῦτο, καὶ τὸν προφήτην καὶ ἐξηγητὴν τοῦ γράμματος, ὅπως μὲν ἐν κόσμῳ εἱστήκει, τρανώτερον καὶ ἀριδηλότερον τὰ γράμματα ἐξηγούμενος Βάκιδός τε καὶ Ἀμφιλόχου, ὑμεῖς δὲ ὥσπερ ἐν ταῖς πανηγύρεσι μεταμφιεσάμενοι τὰς τηβέννας, καὶ τὰ ὑποδήματα ἀλλαξάμενοι, συγκαθεζόμενοι ἐπὶ τῶν δίφρων, ἐξεβοᾶτε ἐπὶ τοῖς ῥήμασι θαμινά, ἐξαλλόμενοι καὶ μυρίας ἱέντες φωνάς, ζηλοῦντές με τοῦ ἐπαίνου· ταῦτα δὴ ἅπαντα ξυνιόντα ἄρα ἂν καρτερεῖν ἀναγοίμην; ἀλλὰ Ζήνων μὲν ὁ τῆς στοᾶς ἀρχηγέτης, καίπερ τὰ ἄλλα σεμνὸς ὢν καὶ ὑψηλολόγος, ὅμως ἐγαννύσκετο καὶ ἐλαμπρύνετο, ἐπειδὴ αὐτὸν Ἀθηναῖοι ξένον ὄντα καὶ Φοίνικα, ἐπὶ τοῖς λόγοις δημοποίητον ἐποιήσαντο· ἐγὼ δὲ οὕτως ** ἀτεχνεῖς καὶ ἀνήκοος Ἀριστοτέλους, ὃν προὐταξάμην βίου τε καὶ τῆς σοφίας, ὥστε πᾶσαν οἴεσθαι τιμὴν καὶ παρ᾽ ὁτουοῦν καὶ ἐφ᾽ ὁτῳοῦν ἀχάριστον εἶναι ἀνδρὶ σπουδαίῳ καὶ ἐν καλοῖς μοίρᾳ. καὶ οὐ μέμνημαι ἄρα τῶν λόγων οἷς διορίζει χαυνότητα μεγαλοψυχίας,

Verum callidiùs vtique Philoſophum aggredi Conſtantinus nouit, quàm Philippi filius Alexander: Hic enim poſteaquam quinquaginta ſimul Talentis oblatis perrumpere ac flectere Chalcedonium Xenocratem non potuit; ſed auri ille impetum fortiter conſtantérque propulſauit; ceſſit illico, ac manum ſuſtulit, nec aliam validiorem machinam adhibuit. At Magnus Imperator eam rationem excogitauit, cui ego vni cederem, nec manus, ſed aures ſubiicerem. Etenim laus alioqui ſuaue ac validiſſimum donum eſt, à quocumque proficiſcatur. Nam & Sirenes in ſcopulis exitij inferendi gratia laudantes verſutum Vlyſſem propemodum illexerunt, & in poteſtatem habuerunt. Cuius vero vel nutus ipſe ad ſalutem ſatis eſt, hic cum libellum commendatione plenum ſcribit, quem non, licet ferreum, atque adamante ſolidiorem, emolliat, ac ſibi ſubiiciat? Quoties vero Auditorij illius mihi venit in mentem, cum vos ego, quibuscum laudem illam communicabat: cum libelli huius ſic tanquam oraculi interpretem conſidero, quanta cũ modeſtia ſtans, Bacide atque Amphilyco diſertius & clarius eas literas explicaret; voſque interim, quaſi in ludis, togati, ac permutatis calceis, in ſellis conſidentes, penè ad ſingula verba clamores attolleretis, proſilientes, atque in voces varias erumpentes, méque ob tam amplam commendationem beatiſſimum prædicantes, his, inquam, omnibus in vnum collectis atque conflatis egone reſiſtere ac diſſimulare ſuſtineam? At Zeno ille Stoicorum Princeps, vir alioqui grauis, & magniloquus, gloriabatur tamen, atque efferebat ſeſe, quòd cum peregrinus, atque è Phœnicia oriundus eſſet, ob inſignem eruditionem atque ſcientiam ciuis eſſet ab Athenienſibus factus. Ego vero adeo ſcilicet infelix, & in Ariſtotelis doctrina rudis, ac peregrinus ſum, quem ego mihi vitę ſapientiæque Ducem propoſui; omnem vt à quocumque & cuiuſcumque gratia collatum honorem viro bono ingratum eſſe, ac nihili faciendum exiſtimem. Nec eorum verborum recordor, quibus vanitatem à magnanimitate hoc modo ſeparat.

Sic enim alicubi diſputat: Circa ampliſſimos honores, quemadmodũ & cætera omnia quæ dicuntur bona, aliam immodicam, atque infinitam cupiditatem, aliam moderatam, & rationi conſentaneam hominibus ineſſe. Iam quiſquis ob populares ſtrepitus & plauſus inflatur, ac ſupercilium attollit, pro eo quòd in Theatris atque Circis multum in eos pecuniæ profudit, vanum hunc eſſe, eoque vitio detineri, cui nomen illud impoſitum eſt. Quicumque vero ſtrepitus illos contemnit, nec multum ab eo fragore differre exiſtimat, quem illiſi litori fluctus emittunt, cæterùm bonorum virorum de ſua virtute ſuffragium, nulla adulatione ſuffuſum, maximo in pretio habet; hunc demum magnanimum eſſe, atque alta mente præditum. Nam & Sophroniſci Filius ille Socrates populi furorem pariter ac laudem nihili vnquam æſtimauit. Idem tamen de Apollinis teſtimonio gloriabatur, eoque potiſſimum nitebatur, ac ſibi propterea cùm Apollini reſponſi huius, tum Chærephonti interrogationis nomine referendas gratias putabat. Et extat Heroicis numeris à Socrate conditum in laudem Apollinis Prooemium. Quod ſi forte id ambitioſè fieri à me dixeritis, quòd cum Pythio Imperátorem conferam, hoc quidem minimè vobis Chryſippus ac Cleanthes conceſſerint, reliquáque omnis è Porticu Philoſophorum natio; qui eandem eſſe hominis Deique virtutem ac veritatem aſſeuerant. Mihi vero, quod ad Deos attinet, fauendum linguę eſt, iuxta Herodotum †† dicens: Etenim lignum erat. Xenophontem autem è Socratis diſciplina ſcio dubitaſſe nihil, quin Ageſilaum Spartæ Regem prædicaret, longoque volumine gratiam referret, pro eo quod is exuli ſibi inter Elidem atque Arcadiam, non longè à Scillunte, agrum quendam impetraſſet. Sed hoc inſuper certiſſimè ſcio, Spartiatam illum, licèt alioqui laudis cupidus, ac magnanimus fuerit; humanitate tamen ac clementia tantum fuiſſe vero Rege inferiorem, quantum regno ab eodem ſuperabatur, ſi quid adhuc Lyſandri illam carnium diuiſionem recordamini.

Sed

διαφέρειν δὲ ὧδε· φησί που καὶ περὶ τιμὰς τὰς μεγάλας, ὥσπερ καὶ περὶ τὰ ἄλλα τὰ λεγόμενα ἀγαθά, εἶναι μὲν ἀμέτρων σπουδὴν τοῖς ἀνθρώποις, εἶναι δὲ ἐμμέτρων καὶ ξὺν λόγῳ. τὸν μὲν δὴ ἐπὶ δήμου θορύβοις καὶ κρότοις ἐξογκούμενόν τε καὶ ἀγείροντα τὴν ὀφρύν, ὅτι σφίσιν εἰς θέατρά τε καὶ ἱπποδρομίας πολλὰ χρήματα ἐξέχεε, χαῦνόν τε εἶναι καὶ ξυνέχεσθαι τῇ κακίᾳ ᾗ τοὔνομα τοῦτο ἐπιτίθησι· τὸν δὲ τούτων μὲν τῶν θορύβων περιφρονοῦντα, καὶ σμικρὸν οἰόμενον διαφέρειν ῥοθίου κυμάτων αἰγιαλοῖς προσηχούντων, ψῆφον δὲ ἀνδρῶν ἀγαθῶν ἀκολάκευτον ἐπ' ἀρετῇ περὶ πλείστου πάντων ποιούμενον, τοῦτον εἶναι τῷ ὄντι μεγαλόψυχόν τε καὶ μεγαλογνώμονα. ἐπεὶ καὶ Σωκράτης ὁ Σωφρονίσκου τοῦ μὲν δήμου τὰς ὀργὰς καὶ τοὺς ἐπαίνους ἐν λόγῳ οὐδέποτε ἐποιήσατο, ἐκυδροῦτο δὲ καὶ ἐπεποίθει τῇ τοῦ θεοῦ μαρτυρίᾳ, δι' ἧς ἀνεῖπεν αὐτὸν σοφίᾳ νικᾶν τοὺς τότε ἀνθρώπους· καὶ ᾤετο δεῖν ἐκτιννύναι τὸ χαριστήριον τῷ τε Ἀπόλλωνι τῆς μαντείας, καὶ Χαιρεφῶντι, τῆς ἐρωτήσεως. καὶ ἔστι Σωκράτει προοίμιον πεποιημένον ἐν τόνῳ ἑξαμέτρῳ πρὸς τὸν θεόν. εἰ δ' αὖ φήσετε κολακείαν εἶναι, τῷ Πυθίῳ παραβάλλειν τὸν βασιλέα, Χρύσιππος μὲν ὑμῖν καὶ Κλεάνθης οὐ συγχωρήσει, καὶ ὅλον ἔθνος φιλοσοφίας, ὁ ἐκ τῆς ποικίλης χορός, οἱ φάσκοντες εἶναι τὴν αὐτὴν ἀρετὴν καὶ ἀλήθειαν ἀνδρὸς καὶ θεοῦ. ἐμοὶ δὲ περὶ μὲν θεῶν εὔστομα κείσθω, κατὰ τὸν Ἡρόδοτον ** λέγων, ξύλον γὰρ ἦν. Ἀγησίλαον δὲ οἶδα τὸν βασιλέα τῆς Σπάρτης ὅτι Ξενοφῶν ὁ Σωκράτους ὁμιλητὴς οὐκ ὤκνει ἐπαινεῖν καὶ ἀμείβεσθαι μακρῷ βιβλίῳ, ἐπειδὴ αὐτῷ νέμεσθαι διετάξατο χωρίον τι μεταξὺ Ἤλιδος καὶ Ἀρκαδίας, οὐ πόρρω Σκιλλοῦντος, ἐν τῇ φυγῇ. καὶ πρὸς ἐκείνῳ, τόδε εὖ οἶδα, ὅτι ἐστὶν ὁ Σπαρτιάτης τὰ μὲν ἄλλα φιλότιμός τε ἦν καὶ ὑψηλόφρων, φιλανθρωπίᾳ δὲ καὶ πρᾳότητι τοσόνδε ἐλείπετο τοῦ ἀληθινοῦ βασιλέως, ὁπόσον καὶ τῇ βασιλείᾳ, εἴπερ τι μέμνησθε τῆς Λυσάνδρου χρεωδαισίας.

οὐ μὴν οὐδὲ ἡ χάρις ὁμοία ἀγρὸν ἐργάζεσθαι παρεῖχεν Ἀρκαδικὸν, ἢ ἐπαίνου τυχεῖν ἀγήρω τε καὶ ἀθανάτου. τάχα δ' αὖ καὶ αὐτὸς ὁ Ἀρχίδαμος τιμιώτερον ξυνέφη εἶναι τῆς αὐτῆς δωρεᾶς τὸ χαριστήριον Ξενοφῶντος. τὸ μὲν γάρ, λόγος ἦν ὑπὸ φιλοσόφου ξυγγεγραμμένος, ἡ δέ, εἴ τι δεῖ προσέχειν τῷ εἰληφότι, πυροὶ καὶ κριθαί, καὶ τρωκτὰ ἱερεῖα, καὶ δορκάδες, καὶ σῦς διώκειν τε καὶ ἀκοντίζειν. ὅθεν μοι καὶ ἄπορος καὶ ἀμήχανος ἡ ἔκτισις γίνεται μᾶλλον ἢ Ξενοφῶντι. πρὶν μὲν γὰρ ἐνομίζετο ἐν ἀνθρώποις πλοῦτοι μὲν καὶ ἀρχαὶ καὶ στρατεῖαι, δῶρα ἀγαθῶν βασιλέων, βιβλία δὲ καὶ συγγράμματα καὶ γράμματα, φιλοσοφίας ἔργα καὶ ἀναθήματα· νῦν δὲ ὃ μόνον εἶχον οἱ λόγοι χαριστήριον, δυνάμει τοῦτο αὐτὸς παραλαβὼν ἐδωρήσατο βασιλεύς. οὐκοῦν ἔστι μοι θρύπτεσθαι καὶ ἀκκίζεσθαι καθάπερ Ἰσοκράτης ὁ Θεοδώρου, ὅτι σεμνότερα καὶ ἰσχυρότερα τὰ ἐμὰ δωρήματα, καὶ οὔτε ἐν χρόνῳ γηράσκει, οὔτε ἐν τόπῳ καθείργεται. ὃ γὰρ μέγα καὶ πάμμεγα εἴπω παρὰ τῶν λόγων, μέρος τῆς βασιλέως γίνεται δωρεᾶς. λείπεται οὖν μοι, ὡς ἔοικε, συμπορίσασθαι ἵππους καὶ ἱμάτια, καὶ οἰνοχόους, καὶ πλέθρα γῆς ψιλῆς καὶ πεφυτευμένης, καὶ ταῦτα ἀντεισφέρειν τῷ βασιλεῖ ἐπὶ λόγῳ, εἴπερ γε δεῖ ἀμφοτέρους τὰ ἔργα ἀνταλλάξασθαι. ἀλλ' οὐ γάρ· ἀλλὰ τολμητέον δὴ κατὰ δύναμιν, ὡς τὰ μὲν χρήματα τὰ ἐμά, καταγέλαστα, καὶ πενία πολλή, καὶ ἐλάττω ἢ ψεκὰς πρὸς Ὠκεανόν, οὐ μόνον ὅσα ἐγὼ κέκτημαι, ἀλλὰ καὶ ὅσα ὁ πατήρ ποτε καὶ ὅσα ἡ μήτηρ, καὶ ὅσα ξύμπαντες Παφλαγόνες. λόγῳ δὲ παραβαλλόμενος πρὸς τὸν λόγον, ἔχω τινὰ (εἰ μὴ μέγα εἰπεῖν) ἐλπίδα οὐ πολλῷ ὀπίσω ἀπολείπεσθαι, οὔτι λέγω τῷ κάλλει τῶν ἀθυμημάτων καὶ ὀνομάτων (μᾶλλον γὰρ τούτοις ἀστράπτει βασιλεὺς ἢ στεφάνῳ καὶ τῇ ἁλουργίδι) ἀλλ' εἴπω ὑμῖν ᾧ δοκῶ περιέσεσθαι ἐκ τῆς ἁμίλλης·

Sed nec beneficij par ratio eſt, Arcadicum agrum gratis exercere, aut perpetuam, ac nunquam ſeneſcentem laudem fuiſſe conſecutum. Ac vel ipſe fortaſſis Archidamus relatam à Xenophonte gratiam munere iſto præſtantiorem fuiſſe ingenue fateretur. Erat enim illa Oratio à Philoſopho ſcripta; hoc autem, ſi ipſimet, qui acceperat, habenda fides eſt, nihil pręter triticum, hordeum, tempeſtiuos fructus, capreas, atque apros ad venandum iaculandumque continebat. Ideo mihi difficilior multo quã Xenophonti compenſatio eſt. Nam antea quidem diuitiæ, Magiſtratus, Præfecturę, bonorum Principum dona inter homines habebantur; libri verò, ingenij monimenta, & literæ Philoſophię opera ac dona cenſebantur. Iam verò; quod vnum penes artes ac doctrinas erat, quo rependere gratiam poſſent, hoc ipſemet Imperator vſurpans modò beneficij loco largitus eſt. Non iam itaq; poſſum, quemadmodum Iſocrates Theodori Filius, delicias agere, ac ſimulatione vti, idque allegare: Ampliora multo dona mea, & validiora eſſe; neq; aut temporis diuturnitate ſeneſcere, aut certo loco, ac ſpatio definiri. Quicquid enim de doctrina magnũ atque inſigne pręadicauero, hoc in ipſo munere Principis reperitur. Reliquũ igitur mihi eſſe videtur, vti equos, veſtes, pincernas, nudi atq; conſiti agri iugera conquiram, eaque Principi pro illa Oratione conferam: quando vtrique inuicem opera atque officia permutãda ſunt. Verum minimè illud quidẽ: ſed audendum pro virili parte mihi eſt; quoniã opes meæ omnes ridiculæ, atque extremæ inopię loco ſunt, minoréſq; multo, quã ſtilla ſi cum Oceano cõparetur, non modo quas ego poſſideo, verum etiam quas Pater vnquam, & Mater, imo quas Paphlagones ſimul omnes habuerunt. Oratione vero ſi cum oratione contendero, quædam mihi (niſi id nimium audax dictu eſt) iniecta ſpes eſt, fore vt non longo adeo interuallo relinquar. Nec ſententiarum ac verborum ornamenta dico (his enim magis Imperator, quàm coronâ aut purpurâ, refulget.) Verùm dicam ego vobis, quid ſit quo me ſperem in eo certamine ſuperiorem futurum.

Sic enim exiſtimo, veriorem noſtram quàm Imperatoris orationem iudicandam. Huic enim eius qui laudatur meritum prætergredi, ac tranſcendere ob humilitatem ac vilitatem neceſſe eſt. Mihi vero abunde magnum certamen in ipſa veritate conſtitutum eſt. Quanquam dum ego ea aggredi atque attingere volo, quæ in Imperatore reperiuntur, mirum quiddam in me, atque inuſitatum experior. Etenim pectus mihi, & cor ipſum aperitur, & pellucidior (vt ita dicam) animus, mentiſque perſpicaciores oculi ſunt. Video igitur iam (optimi Viri) quæ prius videre non poteram: Sed quæ video, ea dicere atque enunciare non audeo, ne tanquam fanatici ac furore correpti homines deludar. Nihilominus tamen, quoniam nondum viſum illud euaneſcit, ſed adhuc perſiſtit, & quo attentiùs defixis illud oculis intueor, eo euidentius pateſcit, ac detegitur, libet quid ego ſentiam communicare vobiſcum, & ſi poſſim clariſſimè demonſtrare; vos me modo intelligentia conſequimini. Mihi igitur in ea oratione, quam de me ad Regium conſeſſum nuperrimè miſit Imperator, præſcriptum quidem nomen eſſe meum videtur, cæterum ſub hymnum ipſum ac pręconium clam ipſe ſubiiſſe, qui ſcripſerat. Quemadmodum de Parrhaſio, vt opinor, ferunt, cùm pingendum Mercurium ſuſcepiſſet, ſuam in Tabula imaginem expreſſiſſe: & hodiéque ſpectatores ſcripturæ inſcriptione falluntur; exiſtimant enim à Parrhaſio Deum ipſum honoris cauſa hoc munere affectum eſſe, à pictura longius aberrantes. Qui quidem, vt ſtultitiæ atque arrogantiæ crimen effugeret, alieno nomine ad ſui picturam abuſus eſt. Nolite igitur & vos decipi, neque eminus aſpicientes, audientéſque Philoſophi ac Philoſophiæ prædicationem, alium quàm Imperatorem Philoſophum eſſe putatote. Sed quemadmodum ſi quis velociſſimè currens, cæteroſque mortales omnes ea facultate ſuperans, longum velocitatis præconium inſtitueret, demonſtrans atque explicans quanta ad hominum vitam commoda pedum illa pernicitas adferat,

οἴομαι ἀληθινώτερον φαίνεσθαι τὸν ἐμὸν λόγον ἢ τὸν βασι-
λέως. τῷ μὲν γὰρ ἀνάγκη ἐστὶ τὸν ἐπαινούμενον παρα-
δραμεῖν καὶ ὑπερβῆναι διὰ τὴν φαυλότητα καὶ οὐδέ-
νειαν· ἐμοὶ δὲ ἀπόχρεων ἀγώνισμα, ἡ ἀλήθεια. καίτοι μέλ-
λων γε ἅπτεσθαι καὶ θιγγάνειν τῶν ** ἀνάκτη, ξένον τι ἀτε-
χνῶς ὑπομένω καὶ ἄπιστον πάθος. διανοίγεται γάρ μοι τὸ
στῆθος καὶ ἡ καρδία, καὶ διαυγεστέρα γίνεται ἡ ψυχὴ καὶ τὰ
ὄμματα ὀξύτερα τῆς διανοίας. ἐρῶ γοῦν, ὦ μακάριοι, ἃ
πρότερον οὐχ οἷός τε ἦν. ἃ δὲ ὁρῶ, δέος ἔχει με ἐξειπεῖν
καὶ ἐκλαλῆσαι, μὴ ὥσπερ οἱ νυμφόληπτοι, ἐξαπατῶμαι.
ὅμως δὲ, οὐδὲ γὰρ ἀφίσταται τὸ φάντασμα, ἀλλ' ἐπιμέ-
νει, καὶ ὅσῳ ἂν μᾶλλον ἐγκύπτων ἀτενίζω τοῖν ὀφθαλμοῖν,
τοσῷδε ἐναργέστερον ἀναφαίνεται καὶ ἐκκαλύπτεται. ἐθέλω
οὖν καὶ πρὸς ὑμᾶς τὸ πάθος ἀνακοινώσασθαι καὶ ἐνδείξα-
σθαι τὴν δύναμιν. ἀλλ' ἔπεσθαι φαίνεταί μοι τῷ λόγῳ τῷ
βασιλέως, ὃν ἐπὶ τῷ 'μῷ ὀνόματι πρῴην ἔπεμψεν εἰς τὴν
βασιλίδα βουλήν, τοὔνομα μὲν τοὐμὸν ἄλλως ἐπικεῖσθαι,
τῷ ὕμνῳ δὲ αὐτὸς ὑποδεδυκέναι ὁ ξυγγραφεύς. ὥσπερ, οἶ-
μαι, φασὶ τὸν Παῤῥάσιον, ὅτι γράφειν τὸν Ἑρμῆν ἐγχειρή-
σας, τὴν ἑαυτοῦ μορφὴν τῷ πίνακι ἐγκατέθετο, καὶ ἐξαπατᾷ
τοὺς ἀνθρώπους τὸ ἐπίγραμμα τῆς εἰκόνος. οἴονται γὰρ ὅτι
Παῤῥάσιος ἑαυτὸν ἐτίμησέ τε καὶ ἐκύδηνε τῷ ἀναθήματι,
πόῤῥω ὄντες τῆς ζωγραφίας. ὃς ἵνα φύγῃ ἀπειροκαλίαν τε
καὶ φιλαυτίαν, ἀλλοτρίῳ ὀνόματι εἰς τὴν γραφὴν κατε-
χρήσατο. μὴ οὖν καὶ ὑμεῖς ἐξαπατᾶσθε, μηδὲ ὁρῶντες πόῤ-
ῥωθεν καὶ ἀκούοντες ἔπαινον φιλοσόφου καὶ φιλοσοφίας, ἄλλον
τινὰ οἴεσθε τὸν φιλόσοφον ἢ τὸν βασιλέα. ἀλλ' ὥσπερ εἴ τις ὀξύ-
τατα αὐτὸς θέων, καὶ ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους, μακρὸν
ἐποιεῖτο τάχους ἐγκώμιον, ἐπιδεικνύς τε καὶ ἐξηγούμενος ὁπό-
σα παρέχεται ἡ ὠκύτης ποδῶν ἀγαθὰ τῷ βίῳ τῷ ἀνθρωπίνῳ,

φυγεῖν τε ὃ ἄν τις ἐκκλίνῃ, ἑλεῖν τε οὗ ἄν τις ἐφίηται, καὶ ὁδὸν ὡς ῥᾷστα ἀνύειν, καὶ θηρεύειν ἵππων οὐ προσδεόμενον, καὶ ταῦτα ἔλεγεν ἀποβλέπων εἴς τινα ἀνθρώπων ἄλλον δήπου μόλις βαδίζοντα σὺν βακτηρίᾳ, δῆλος οἶμαι ὅτι ἦν ὁ ἀνὴρ τὴν ἑαυτοῦ ἐξυμνῶν ποδώκειαν δι' ἀλλοτρίου παραπετάσματος. οὕτω δὴ βασιλεὺς ὁ τῷ ὄντι καὶ οὐ ψευδωνύμως αὐτὸς τὴν ἑαυτοῦ ψυχὴν ἐνδείξασθαι ἐπιθυμήσας, φιλοσοφίαν τῷ λόγῳ ὑπετυπώσατο. ὑμεῖς δὲ ἴσως ὑπολαμβάνετε, ἂν μέν τις ἄνω καὶ κάτω περὶ συλλογισμῶν διαλέγηται, καὶ οὔτιδας λόγους ἐξετάζειν οἷός τε ᾖ, καὶ τοὺς ἐγκεκαλυμμένους ἀποκαλύπτειν, καὶ τινάς τε αὖ καταφάσκοντας καὶ ἀποφάσκοντας, ὥσπερ Φίλων ἢ Ἡλιόδωρος, ὧν τὰ λαμπρὰ ἀναθήματα, ὁ κυριεύων καὶ ὁ κερατίνης, σοφίσματα δυσμήχανα καὶ κακοῦργα, ὧν χαλεπὴ μὲν ἡ ξύνεσις, ἄχρηστος δὲ ἡ ἐπιστήμη, ὥσπερ ὁ ζυγόδεσμος τῆς Μίδου ἁμάξης, τοῦτον μὲν καὶ τὸν τοιοῦτον φιλοσοφεῖν· ἢ μᾶλλόν γε ὅστις ὑπὲρ ἀρετῆς θαμὰ διεξίοι καὶ θαρσαλεότητος καὶ ἀνδρείας, ἐπὶ σκιμποδίου καθήμενος, πρὸς μειράκια τρία ἢ καὶ τέτταρα, οὐχ οἷός τε ὢν τοῦ δωματίου παρακύψαι ὑπ' ἀσθενείας, ἢ αὖ περὶ πολιτείας μὲν καὶ νόμων οὗ μηδὲ ὁ ἀγρὸς εὖ οἰκεῖται· καὶ περὶ μεγαλοπρεπείας καὶ τῶν μεγάλων δαπανημάτων ὁ μηδὲ ἁψάμενός ποτε χρυσοῦ καὶ στατῆρος. καὶ ὅπως δεῖ κατέχεσθαι τὴν ὀργήν, ὃν καὶ ἀγανακτοῦντα οὐδεὶς εὐλαβεῖται, καὶ ὅπως κρείττων εἶναι ἐπιθυ * * μηδὲν πλέον καὶ ἠττημένῳ. ὅστις δὲ ἐν ἐξουσίᾳ μὲν ἀδικίας, δικαιότερος Ἀναξαγόρου· ἀδείᾳ δὲ ἀκολασίας, σωφρονέστερος Ξενοκράτους· τρυφᾶν δὲ ὑπὲρ ἐκεῖνον τὸν Σαρδανάπαλον ῥᾷον ἀνέχεται λιμοῦ καὶ δίψης ἢ Διογένης ὁ Σινωπεύς· ἐξὸν δὲ αὐτῷ ἅπαντα ποιεῖν ὀργισθέντι, πρᾳότητι νικᾷ τὸν Ἀρίστωνος· ἀνδρείαν δὲ οὐκ ἐπίσταται, ἀλλὰ καὶ ἐργάζεται· καρτερίαν δὲ οὐ διδάσκει, ἀλλὰ καὶ ἐκπονεῖ· φιλανθρωπίαν δὲ οὐχ ὅ,τι ποτέ ἐστι λέγει, ἀλλὰ καὶ ἀπολαύειν παρέχεται· τοῦτον

vt & fugere quęcumque ſibi cauenda putauerit, & quod concupierit aſſequi poſſit, & iter quàm facillimè conficiat, & ſine equo venationem exerceat, eáque omnia in hominem reſpiciens diceret, qui ægrè cum baculo procederet, non obſcurè, vt opinor, ille celeritatem ſuam ſub alieno inuolucro prædicaret. Sic igitur noſter ille verus, atque eo nomine digniſſimus Imperator, ſuummet ipſius animum oſtentare cupiens Philoſophiam oratione deſcripſit. Vos autem id fortaſſe perſuaſum habetis, ſi quis ſus déque de Syllogiſmis diſputet, & argumentationes, quæ Vtides, id eſt, nullæ, dicantur, dignoſcere poſſit, & inuolutas explicare, itémque Affirmantes ac Negantes propoſitiones intelligere, velvti Philo, vel Heliodorus, quorum pręclara monimenta ſunt, Dominans, atque Cornutus, moleſta quædam atque improba ſophiſmata, quorum & intelligentia difficilis, nec vtilis notitia eſt: inſtar illius lori, quo Midæ plauſtrum erat alligatum: eiuſmodi, inquam, hominem philoſophari putabitis; vel eum potius, qui in lectulo ſedens, de virtute ſæpius, atque audacia, & fortitudine apud tres quatuorve adoleſcentes ſermonem inſtituat, cum è cubiculo præ imbecillitate prodire nequeat: ſiue de republica, ac legibus, cuius ne ager quidem bene adminiſtratur, aut de magnificentia, & immenſis ſumptibus, qui ne aurum quidem vnquam, aut ſtaterem attigerit? Vel quemadmodum ira coërcenda ſit, quem nemo iraſcentem reformidet; Vel denique quomodo ſuperior eſſe † † nihilo amplius & victo. Sed qui cùm iniurię alteri faciendæ poteſtatem habeat, Anaxagora ſeſe iuſtiorem exhibet, qui in ſumma libidinum ac voluptatum licentia Xenocrate temperatior eſt, cúmque delitiis etiam ſupra Sardanapalum illum affluere poſſit, Sinopenſi Diogene famis ſitiſque tolerantior eſt, qui facere iratus omnia cum poſſit, manſuetudine filium Ariſtonis ſuperat; qui fortitudinem non præcipit, ſed exercet, tolerantiam item non docet, ſed in perferendis laboribus præfert: nec quid humanitas ſit, explicat, ſed eam hominibus impendit: qui eiuſmodi ſit,

hunc ſi verum ac germanum Philoſophum dixerimus, num falſo tandem atque alieno nomine ad eum demerendum ornabimus? Atqui non ita aliis nos in rebus gerimus: ſed & Fabrum ex opere ipſo pronunciamus, & ex calceamentis ſutorem, ac Medicum eum, qui ægritudinibus medeatur. Quamquam quid ego longius exempla commemoro, nec machinam admoueo? vel potius è ſuggeſto dicentes Oratores imitor. Scitis enim, Oratores, quamdiu ſigna ac veriſimilitudines proferunt, aut argumentantur, ſæpius cauſam Iudicibus non probare, & artem quidem oſtentare ſuam, nondum tamen veritatem demonſtrare: Vbi verò Draconis, aut Solonis, aut Cliſthenis legem attulerint, iam eum qui in iudicio ſedet, tabulam ſuam ac ſententiam parare. Quamobrem habeo & ego de iis, quę à me dicuntur, leges quamplurimas, quas grauiſſimi legislatores Philoſophiæ, multóque Zaleuco Locrenſi, & Charonda Thurio pręſtantiores tulerunt, magnus ille videlicet Plato, & Ariſtoteles Nicomachi filius. Ac vobis ipſa eorum ſcripta ſelecta ex Legum tabulis recitabo. Horum itaque Legiſlatorum alter cum de morali virtute diſputat, his verbis vtitur: Finem illius non in cogitatione, ſed in actione conſiſtere. Et iterum: Non enim vt ſciamus quid virtus ſit, conſideramus, ſed vt boni actionibus ipſis efficiamur. Item alio loco: Nam ad cæteras artes plurimum momenti habet ipſa cognitio: ad virtutes autem aut nihil, aut parum admodum valet: actiones ipſæ non parum, ſed in his vis omnis eſt præcipuè conſtituta. Iam ſi quis virtute Principis efficaciorem eam quæ in Chryſippo aut Antipatro fuit, demonſtrare poteſt, qui quidem per omne vitæ tempus calamo, & atramento fortitudinem, iuſtitiam, ac patientiam oſtenderunt; forſitan adulari, ac veritatem ſupergredi videar. Sin illorum non vltra ſcholas progreſſa animi magnitudo eſt; Imperatoris ſub dio, atque in aperto certamina poſita ſunt; quid tandem eſt, per Iouem, cur illos Philoſophos dicere nihil vereamur,

Impe-

εἰ φαίημεν εἶναι τὸν ἀληθινὸν φιλόσοφον, ψευδεῖ ἄρα καὶ οὐ προσήκοντι ὀνόματι τὸν ἄνδρα θεραπεύσομεν; καίτοι οὐχ οὕτως ἔχομεν ὑπὲρ τῶν ἄλλων· ἀλλὰ καὶ τέκτονα ὀνομάζομεν ἐκ τοῦ ἔργου, καὶ σκυτοτόμον ἐπὶ τοῖς ὑποδήμασι, καὶ ἰατρὸν, εἰ ἀκοῖτο τὰ νοσήματα. καὶ τί ἐγὼ παραδείγματα ἀπομηκύνω, καὶ οὐκ ἐρωτῶ τὴν μηχανὴν, μᾶλλον δὲ οὐ ζηλῶ τοὺς ἐπὶ τοῦ βήματος ῥήτορας; ἴστε γάρ που ὅτι οἱ ῥήτορες, ἕως μὲν ἂν σημεῖά τε καὶ εἰκότα παρέχωνται καὶ ἐπιχειρῶσι, πολλάκις ἀπιστοῦνται ὑπὸ τῶν δικαστῶν, καὶ δοκοῦσι τὴν τέχνην μὲν ἐπιδείκνυσθαι, τὸ δὲ ἀληθὲς μήπως ἐλέγχειν· ὅταν δὲ νόμον ὑπαναγνῶσι Δράκοντος ἢ Σόλωνος ἢ καὶ Κλεισθένους, τὴν ψῆφον ἤδη ὁ καθήμενος εὐτρεπίζεται. ἔχω οὖν καὶ ἐγὼ ἐφ' οἷς λέγω, πάνυ πολλοὺς νόμους οὓς συνεγράψαντο οἱ σεμνότατοι νομοθέται φιλοσοφίας, καὶ ἀμείνους πολλῷ Ζαλεύκου τοῦ Λοκροῦ καὶ τοῦ Θουρίου Χαρώνδα, ὁ πάμμεγας Πλάτων καὶ Ἀριστοτέλης ὁ Νικομάχου. καὶ αὐτὰ ὑμῖν τῶν ἀνδρῶν τὰ γράμματα ἀναγνώσομαι, λαβὼν ἀπὸ τῶν κύρβεων καὶ ἀπολέξας. λέγει τοίνυν ὁ μὲν ἕτερος νομοθέτης ἐν οἷς φησιν ὑπὲρ τῆς Ἠθικῆς ἀρετῆς, αὐτοῖς τούτοις τοῖς ῥήμασιν, ὅτι τέλος αὐτοῦ οὐ γνῶσις, ἀλλὰ πρᾶξίς ἐστι. καὶ αὖθις, ΟΥ γὰρ ἵνα εἰδῶμεν τί ἐστιν ἀρετὴ, σκοπούμεθα, ἀλλ' ἵνα ἀγαθοὶ γενώμεθα διὰ τῶν ἔργων. καὶ ἑτέρωθι· πρὸς μὲν γὰρ τὰς ἄλλας τέχνας τὸ εἰδέναι πάμμεγα δύναται, πρὸς δὲ τὰς ἀρετὰς τὸ μὲν εἰδέναι οὐδὲν ἢ μικρὸν ἰσχύει· τὰ δὲ ἔργα, οὐ μικρὸν, ἀλλὰ τὸ πᾶν. εἰ μὲν οὖν ἤδη τις ἐπιδεῖξαι δυνήσεται τῆς βασιλέως ἀρετῆς ἐναργεστέραν τὴν Χρυσίππου ἢ τὴν Ἀντιπάτρου, οἳ δὴ καλάμῳ καὶ μέλανι τὸν ἅπαντα χρόνον τὴν ἀνδρείαν ἐπεδείξαντο καὶ τὴν δικαιοσύνην καὶ τὴν καρτερίαν, τάχα ἂν ἐγὼ θεραπεύοιμι καὶ ὑπερχοίμην· εἰ δὲ τῶν μὲν ἄχρι τοῦ διδασκαλείου ἢ γυναιότης, βασιλέως δὲ ὕπαιθρα τὰ ἀγωνίσματα, τοῦ δὴ χάριν πρὸς τοῦ Διός, τοὺς μὲν, φιλοσόφους καλεῖν οὐκ ὀκνοῦμεν,

βασιλέας δὲ, αἰσχυνόμεθα; ὅτι γὰρ μὴ ἄλλο τι τὸ φιλοσοφεῖν ἐστὶν ἢ τὸ ἐργάζεσθαι ἀρετὴν, ἀκούετε αὖ πάλιν ῥῆσιν ἑτέραν, οὐ τὴν ἀπὸ Σκυθῶν, ἀλλὰ τὴν ἀπὸ Σταγείρων, καὶ εἰ σμικροτέρα ἐστὶν, ἀλλὰ ἀκούετε. ἢ οὐ λέγετε ὅτι ἐκ τοῦ τὰ δίκαια πράττειν ὁ δίκαιος γίνεται, καὶ ἐκ τοῦ τὰ σώφρονα, ὁ σώφρων· ἐκ δὲ τοῦ μὴ ταῦτα πράττειν οὐδεὶς ἂν οὐδὲ μελλήσειεν ἀγαθὸς γενέσθαι; ἀλλ' οἱ πολλοὶ ταῦτα μὲν οὐ πράττουσιν, ἐπὶ δὲ τὸν λόγον καταφεύγοντες οἴονται φιλοσοφεῖν· ὅμοιόν τι ποιοῦντες τοῖς κάμνουσιν, οἳ τῶν ἰατρῶν ἀκούουσι μὲν ἐπιμελῶς, ποιοῦσι δὲ οὐδὲν τῶν προσταττομένων. ὥσπερ οὖν οὐδὲ ἐκεῖνοι εὖ ἕξουσι τὸ σῶμα, οὕτω θεραπευόμενοι, οὐδὲ οὗτοι τὴν ψυχὴν, οὕτω φιλοσοφοῦντες. εἰ οὖν οὐ φιλόσοφοι, ἀλλὰ ψευδώνυμοι καταφεύγοντες τὸν λόγον ** δεικνύμενοι, αὐτὴ τῶν λόγων, ἀληθινῶς ἂν καὶ ἐνδίκως ἀξιοῖντο τοῦ προσρήματος. ἀλλὰ δὴ καὶ τῶν Ἀττικῶν ἀκούσατε νόμων, οὐ τοῦ Σόλωνος, ἀλλὰ τῶν τοῦ Σόλωνος ἀπογόνων. καίτοι σχεδόν τι ἅπασα καταπέπλησται ἡ τοῦ θείου Πλάτωνος συγγραφὴ, καὶ οὐκ ἔστιν ὀλίγα ῥήματα ἐξελόμενον ἐπιλέγεσθαι ὑμῖν, ὥσπερ γραμματέα, ἀλλὰ βιβλίων ὅμαδος ὅλος ἐπ' ἀλλήλοις συντεταγμένος ἀπισχυρίζεται μάλιστα δεῖν φιλόσοφον τὸν βασιλέα, πολιτεῖαί τε αἱ κλειναὶ, καὶ οἱ θεσπέσιοι νόμοι, καὶ πᾶσα ἡ περὶ τὴν πλάτωνος διατριβὴ τὴν ἀμφιλαφῆ τε καὶ ὑψηλήν. ἡ γὰρ εὐδαίμων ἐκείνη καὶ μακαρία χορεία, ἣν αὐτὸς μὲν φησὶ μετὰ τοῦ Διὸς χορεύειν, ἄλλους δὲ μετ' ἄλλων θεῶν, καὶ οἱ τὸν ὁράμενον γνωματεύοντες, φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν ἐστί. καὶ ἄλλα δὴ ὅσα μυρία οὐκ ἀμυδρῶς ἐστι λέγοντος ὃ λέγω, οὐδὲ πρὸς μόνους τοὺς ὀξύτερον ἀκούοντας. ἀλλ' ἐμοὶ ἀπόχρη τὸν Κολοφῶνα ἐπιμαρτύρεσθαι εἰς ὃν ξυνδεῖ καὶ ἀνάπτει πάντα τὰ ἄμματα τῆς χρυσῆς καὶ ἀρρήκτου σειρᾶς, διατείνων καὶ συνέλκων ἐκ γῆς εἰς τὸ ἄκρον τοῦ οὐρανοῦ.

Imperatorem, vereamur? Quòd enim aliud nihil ſit philoſophari, niſi virtutem exercere, audite rurſus alteram non à Scytharum regione, ſed à Stagiris ſententiam: quanquam ea quidem prolixior eſt, ſed qualemcumque tamen attendite. Nonne ita dicitis: Ex eo quòd, quæ iuſta ſunt, efficiat, iuſtum aliquem fieri, & ex eo quòd ad temperantiam ſpectantia, temperantem, ex eo vero quòd nihil horum præſtet, bonum vnquam neminem futurum? Plerique verò cum nequaquam iſta faciant, ſed ad ſermones tantum de iis ac diſputationes confugiant, philoſophari ſeſe arbitrantur, qui ſimiliter atque ægroti quidam faciunt, qui cùm Medicos diligenter auſcultent, nihil eorum quę præſcripta fuerunt, exequuntur. Vt ergo nunquam ij, qui ita curantur, corporis, ſic nec iſti, qui hoc modo philoſophantur, animi ſanitatem aſſequentur. Igitur ſi eiuſmodi homines non Philoſophi, ſed ita perperam appellati, ad orationem confugientes †† pro verbis prę ferentes, verè ac merito nomen illud ſortientur. Accipite nunc Atticas etiam leges, non Solonis, ſed vnius è Solonis poſteris. Quanquam vniuerſa fere Platonis monimenta ſcatent eius generis teſtimoniis: neque fieri poteſt vt pauca quædam ſelecta verba ſcribarum vobis more recitem, ſed integra voluminum ſeries aliis ſuper alia diſpoſitis, Imperatorem Philoſophum imprimis eſſe confirmat. Velvti celebres illi de Republica libri, diuini item alij de Legibus ſcripti: tum omnis illa ſub opaca & excelſa platano diſputatio. Nam felix illa & beata circumductio, in qua alios cum Ioue, alios cum Diis cæteris in orbem agitari dixit; & qui id quod videtur dignoſcunt, Philoſophus ſcilicet, & ad Imperium natura comparatus, ac ſexcenta id genus alia non obſcurè eius ſunt, qui idem, quod ego dico, pronunciet; nec ita, vt ſoli id intelligant, qui auditu acutiore ſunt prædi ti. Verum mihi Colophonem illum proferre in teſtimonium ſufficiet, è quo nexus omnes aureæ & indiſſolubilis catenæ aptos ac ſuſpenſos eſſe dicit, quam à terra ad cœli vſque faſtigium extendit, ac contrahit:

Summa enim, ac finis, & caput horum omnium, quæ ab eo dicuntur, hoc eſt, nihil eſſe aliud Philoſophiam, niſi Dei, quoad fieri poteſt, ſimilitudinem. Deinceps ergo conſiderandum, atque inquirendum nobis eſt, quid ſit illud, quod efficiens Deus, Deus eſſe dicatur. Num quod de propoſitionibus diſſerat, déque modis, quibus concluditur aliquid, aut nihil concluditur? An aliud capeſſendum ei eſt, qui ad illius ſimilitudinem, vel minimum debeat accedere? Sed non eſt fortaſſe, quod in eo quærendo plurimum laboretis. Etenim Plato ipſe cuiuſmodi ſit opus Dei, clara & magna voce prædicabit. Cùm enim (ait) Deus bona omnia; nihil, quoad eius fieri poſſet, malum eſſe cuperet, ita demum quicquid erat aſpectabile, non quietum, ſed incondita ac temeraria agitatione concitatum accipiens, in ordinem ex perturbata motione compoſuit, cùm id omnino altero melius eſſe iudicaret. Pro Iupiter! neque enim continere me poſſum, nec, quod deinceps ſequitur, expectare; ſed interim cum Platonis ſententiam pronuncio, neſcio quid ſubitò me commouit, & animum meum pulſauit, quod omnino quieſcere non poteſt; ſed ante id, quod conſequens eſt, exilire, atque erumpere geſtit. Sinite igitur, ac permittite, quæſo, vt vel ante tempus in lucem efferam potiùs, quàm vt illud ipſum abortiam; nec multo poſt ad ordinem ac conſequentiam ſermonis reuertar. Etenim ſi ego duo aut tria nomina à Platone ſcripta transmutans, atque accommodans, ludificari vos, atque ineptire vellem, quomodo plerumque noui Platonis ſectatores facere conſueuerunt, atque hæc omnia dicerem à Philoſopho ita eſſe pronunciata, vt nihilominus de Imperatore vaticinaretur, ac prædiceret, non dubito quin ægrè iſtud deprehendatis, num adulterata illius à me verba, ac fraudis quippiam eſſet commiſſum. Conſiderate itaque, ac diligenter obſeruate. Ecce enim ita dico: Cùm Princeps Orbis terrarum bona eſſe omnia, malum nihil, quoad eius fieri poſſet, eſſe cuperet, ita demum Imperium non quietum,

τὸ γὰρ δὴ κεφάλαιον αὐτοῦ καὶ τὸ πέρας καὶ κορυφὴ ξυμπάντων τῶν λόγων τοῦτό ἐστιν, ὅτι μηδὲν ἄλλο ἐστὶ φιλοσοφία ἢ ὁμοίωσις κατὰ τὸ δυνατὸν θεῷ. ἐντεῦθεν ἕποιτ' ἂν ὑμῖν ἐπισκοπεῖσθαι καὶ ἐξετάζειν τί πράττων ὁ θεός, θεός ἐστι, πότερον ὑπὲρ τῶν περιστάσεων ἐξηγούμενος καὶ τρόπων παραιτητικῶν τε καὶ ἀπαραιτήτων· ἢ ἄλλου του χρὴ ἐπορειγνᾶσθαι τὸν μέλλοντα αὐτοῦ κατὰ μικρόν γέ τι ἀπεικασθήσεσθαι; οὐδὲν δὲ ἴσως ἡμᾶς ἂν δέοι πράγματα ἔχειν ζητοῦντας, ἀλλ' αὐτὸς ὁ Πλάτων ἐρεῖ τὸ ἔργον τοῦ θεοῦ λαμπρᾷ καὶ μεγάλῃ φωνῇ. βουληθεὶς γάρ, φησίν, ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβών, οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκείνου τοῦτο πάντως ἄμεινον εἶναι. πρὸς Διός. οὐ γὰρ οἷός τε εἰμὶ καρτερεῖν καὶ τοῦ λόγου τὸ ἐφεξῆς ἀναμένειν, ἀλλά με ἀποστοματίζοντα τὴν Πλάτωνος ῥῆσιν ἔθραξέ τι καὶ ἔνυξε τὴν διάνοιαν, καὶ οὐκ ἀνέχεται ἠρεμεῖν, ἀλλὰ οἷόν τέ ἐστι προπηδᾶν καὶ προεξάλλεσθαι τοῦ ἐν τάξει ἀκολουθοῦντος. ἐάσατε οὖν με ἐπιτρέψατε ἐξενεγκεῖν εἰς φῶς παρὰ τὸν καιρὸν μᾶλλον ἢ ἐξαμβλῶσαι, καὶ οὐκ εἰς μακρὰν ἐπανήξω εἰς τὸ συνεχὲς καὶ ἑπόμενον τοῦ λόγου. εἰ γὰρ ἐγὼ μόνα δύο ὀνόματα τῶν ὑπὸ Πλάτωνος γεγραμμένων μεταβαλών τι καὶ μεθαρμόσας, ἐρεσχελοίην πρὸς ὑμᾶς καὶ ἀγροικιζοίμην, οἷα πολλὰ εἰώθασιν οἱ νέοι Πλάτωνος θιασῶται, ὅτι ταῦτα πάντα συγγέγραπται τῷ φιλοσόφῳ οὐδὲν τίμιον προμαντευομένῳ καὶ προφητεύοντι περὶ τοῦδε τοῦ βασιλέως, εὖ οἶδα ὅτι χαλεπῶς ἄν με ἐξυβρίζοιτε εἰ τεχνάζω καὶ σκαιωροῦμαι περὶ τὴν λέξιν. ἀθρεῖτε οὖν καὶ * * φυλάττετε. ἰδοὺ γὰρ λέγω, ὅτι βουληθεὶς ὁ τῆς γῆς βασιλεὺς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι, κατὰ δύναμιν, οὕτω δὴ παραλαβὼν βασιλείαν οὐχ ἡσυχίαν ἄγουσαν,

ἀλλὰ κινουμένην πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν ἤγαγεν ἐκ τῆς ἀταξίας· μὴ ἔχοιτε ἂν εἰπεῖν οὕτω ῥᾳδίως ἢ παραλλάττειν τὰ ῥήματα; οὐκοῦν καὶ τόδε ἔτι προσθῶμεν (οὐδὲν γὰρ ἧττόν ἐστι προσφυές) ὅτι ψυχὴ κακεργάτις καὶ ἔμπληκτος ταύτης ἦν αἰτία τῆς ἀταξίας, ἐπιθεμένη ἄρχειν ὧν οὐ προσῆκεν ἦν. αὕτη γε μὴν καὶ ἀπωσαμένη τὴν ἔμφρονα μοῖραν καὶ τοῦ σπέρματος τοῦ ἀρχικοῦ, πάντα χρήματα ἐτάραξε Τυφῶνος δίκην, ὃν οἱ λόγοι φασὶν Αἰγυπτίων, ὅτι τὸν Ὄσιριν κατακόψας, μετεποιεῖτο ἀρχῆς μηδὲν προσηκούσης, καὶ αὐτὸν διὰ τοῦτο ὁ Ζεὺς κεραυνῷ καὶ πυρὶ καταναλίσκει, καὶ ῥύεται τοὺς Αἰγυπτίους τῆς ἀλλοκότου καὶ βαρβαρικῆς βασιλείας. ταῦτα γὰρ ἄντικρυς, οἶμαι, καὶ αὐτὰ τῆς ἀγροίκου σοφίας μεταφέρων τις καὶ ἐφαρμόζων τῷ βασιλεῖ, οὐκ ἂν ἁμάρτοι εἰκόνος ἀληθινῆς τε καὶ ἐναργοῦς· πλὴν ὅσον γε οὐ πρὸς ἕνα μόνον Τυφῶνα, ἀλλὰ πολλοὺς καὶ πολλαχοῦ ἀναφυέντας, τοὺς μὲν, μείζους, τοὺς δὲ, ἐλάττους, καὶ τοὺς μὲν, πρεσβυτέρους, τοὺς δὲ, ἀκμάζοντας, τοὺς δὲ, νέους, τὸν μὲν λόγῳ, τὸν δὲ σιδήρῳ, τὸν δὲ μηδ᾽ αἰσθανόμενον ἐχειρώσατο. ἀλλὰ πόθεν δεῦρο ἐξετραπόμην; δεῖ γὰρ, ὡς ἔοικε, τὴν αὐτὴν ἐπανιέναι. ἐδείκνυμεν που, εἴγε μεμνήμεθα, ὡς σχεδόν τι ἁπανταχοῦ ὁ πάνσοφος Πλάτων ξυνὼ ἅρμασι πορεύεσθαι ὑπολαμβάνει τὸν ἀληθινὸν βασιλέα καὶ τὸν φιλόσοφον. πρὸς γὰρ τὸ αὐτὸ παράδειγμα ἀμφοτέροις ἥτε ἅμιλλα καὶ ἡ σπουδή· ἀλλὰ τῷ μὲν ἄχρι λόγου καὶ ἐπιστήμης, τῷ δὲ, ἄχρι τοῦ πράγματος καὶ τοῦ ἔργου. τὸν μὲν γὰρ τοῦδε τοῦ ξύμπαντος βασιλέα ὁ μὲν ἐπίσταται μόνον, ὁ δὲ καὶ μιμεῖται. ὁμοιότερον δὲ ἀεὶ τοῦ γινώσκοντος τὸ ἐργαζόμενον. καὶ τὸν μέγαν ἡγεμόνα ἐκεῖνον τὸν ἐν οὐρανῷ τὸ πτηνὸν ἅρμα ἐλαύνοντα, καὶ πάντων ἐπιμελούμενον καὶ διακοσμοῦντα, ᾧ ἕπεται πρὸς τῷ πορευομένῳ στρατιὰ θεῶν καὶ δαιμόνων ** παρὰ τὸν Ἰλισσὸν κατακεκλιμένος, μειρακίου Ἀττικοῦ ἀκροώμενος. ὁ δὲ καὶ ἔργῳ ζηλοῦν οἷός τέ ἐστιν,

ſed incondita ac temeraria agitatione concitatum accipiẽs in ordinem ex perturbata motione compoſuit. Num igitur adeo facilè dicere poteſtis, qua parte ſint verba cõmutata? Ergo & illud addamus (nihilominus enim congruens eſt) animum maleficum & attonitum perturbationis illius cauſam extitiſſe, cum iis præeſſe vellet, quæ nihil ad ſeſe pertinerent. Is porro ſapientia præditam partem, atque antiquo ſemine procreatam, reiiciens, perturbauit ac confudit omnia; Typhonis inſtar, quẽ Ægyptiorum monimenta teſtantur, Oſiride conciſo alienum ſibi Imperium vendicaſſe, eundemque propterea ab Ioue fulmine atque incendio eſſe conſumptum, Ægyptios vero importuno dominatu ac barbarico ereptos. Hæc enim profectò etiam citra ruſticam illam & ineptam ſapiẽtiam transferens aliquis, & Principi accommodans, nequaquam à vera & perſpicua ſimilitudine aberrauerit. Niſi forte quod nõ aduerſus vnum dumtaxat Typhonem, ſed multos, ac multis in locis excitatos, alios maiores, minores alios, item alios ſeniores, alios ætate florentes, alios iuuenes, congrediens, partim oratione, partim ferro, partim imprudentes, ac nihil tale cogitantes in poteſtatem ſubiunxerit. Verùm vndénam tandem hûc ſumus digreſſi? eãdem enim, vt videtur, redeundum eſt. Hoc igitur, opinor, oſtendebamus: Vbique ferè ſapientiſſimum Platonem exiſtimare, verum Principem, ac Philoſophum, coniunctis curribus circumferri. Ad idem enim exemplar vtrique contentione ac ſtudio feruntur; hoc tantum diſcrimine, quod hic diſputatione dumtaxat, ac ſcientia, alter re ipſa etiam factiſque in illud incumbit. Etenim rerum omnium Principem ac moderatorem hic ſolum intelligit, alter etiam imitatur. Eſt autem id quod efficit ſemper cognoſcente ſimilius. Ac ſummum illum in Cœlo Ducem, qui præpetem currum agit, quique omnia moderatur, ac gubernat, quem primo loco gradientem Deorum, ac Dæmonum caterua conſequitur † † iuxta Iliſſum recumbens, & Atticum adoleſcentem auſcultans: ille verò etiam factis ipſis imitari poteſt.

Qui populos regit, & tantas fert pectore curas;
cui Deorum loco hominum comitatur exercitus conſentanceè diſpoſitus: cuius nutus, non aliter ac Iouis, humana omnia gubernat, ac regit. Non fruſtra ergo Calliopes Chorus Reges aſſiduè ab Ioue educatos ac genitos appellat, &

Ioue conſilio non inferiores.

Nunc quoniam leges in iudicium attuli; cætera quoque mihi ex Oratorum conſuetudine præſtanda ſunt, idque palam faciendum, quàm præclaræ iſtiuſmodi leges, & ſinceræ, atque vtiles ſint. Sic enim fermè ſtatuẽdum videtur: Tot eſſe Rerumpublicarũ, quot humanorum animorum ſpecies. Neque enim è quercu, aut è ſilice cõflatæ Reſpublicæ, ſed ex eo deriuatæ ſunt, quod ſingularum in hominum animis ſemina quædam inſita ſunt, atque veſtigia. Multiplex quippe ac varium quiddã animus eſt, non minùs quàm Ciuitas: in quo & regiũ aliquid ineſt, & iracundum, ac pugnax, ineſt etiam populi vulgus, aliud ad rem attentum, aliud ignauum, ac voluptarium. Iam cæterorum quidem hominum, aut populari Imperio regitur animus, aut paucorum dominatui ſubiicitur, aut tyrannidem perpetitur: nam voluptas vbi ſceptra ſemel occupauerit, cętera omnia libertatis genera funditus tollit: ſiue lucri atq; opum cupidum genus, quemadmodum in paucorum dominatu contingit, qui ex cenſu cuiuſq; conſtituitur; ſiue pugnax, & iracundum, vt in Creta quondam & Lacedæmone accidiſſe dicitur; ſiue denique promiſcuè genera omnia, maximo cum tumultu ſortitò inter ſe principatum obtineant. At regali Imperio ſolius Philoſophi animus adminiſtratur; in quo mens quidem omni tempore dominatur, ira vero arma, quocumque illa præceperit, mouet: Reliqua turba priuatis officiis adhæreſcit, nec de Imperio ſibi vſurpando cogitat. Hinc eſt maximè (Auditores optimi) quod duo illa nomina, Rex videlicet, ac Tyrannus, tantopere ſecum inuicem pugnent, atque diſſentiant: neq; vnquam conuenire inter ſe ac concurrere poſſint: ſicut nec mẽs vnquam & voluptas in vnum coierint;

ſed

Ὦ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλεν,
ὦ ἀντὶ τῆς θείας ἡ ἀνθρωπίνη ἕπεται στρατιὰ κατὰ μοῖραν κεκοσμημένη, ᾗ τῷ νεύματι ἔνεστιν, ὥσπερ τοῦ Διὸς, κυβερνᾶσθαι καὶ ἄγεσθαι τὰ ἀνθρώπινα. οὐκ ἐτὸς ἄρα καὶ ὁ τῆς Καλλιόπης χορὸς οὐ παύεται ἀνακαλῶν τοὺς βασιλέας διοτρεφεῖς τε καὶ διογενεῖς καὶ Διὶ μῆτιν ἀταλάντους. καὶ οὕτω ἐπὶ τοὺς νόμους παρέρχομαι τῷ δικαστηρίῳ, καὶ τὰ ἐφεξῆς μιμητέον μοι τοὺς ῥήτορας, καὶ δεικτέον ὡς καλοὶ οἱ νόμοι καὶ ἀληθινοὶ καὶ ξυμφέροντες. τῷ γὰρ ὄντι κινδυνεύει τοσαῦτα εἶναι εἴδη πολιτειῶν ὅσαπερ καὶ ἀνθρώπου ψυχῆς. οὐ γάρ που ἐκ δρυὸς οὐδ' ἐκ πέτρης συνίστανται αἱ πολιτεῖαι, ἀλλ' ὅτι ἁπασῶν ἴχνη καὶ σπέρματα τῇ ψυχῇ ἐμπέφυκε τῇ ἀνθρωπίνῃ. ποικίλον γάρ που καὶ πολύχρουν χρῆμα ἡ ψυχή. ὥσπερ ἡ πόλις, καὶ ἔνι μὲν βασιλικὸν ἐν αὐτῇ, ἔνι δ' αὖ θυμοειδὲς καὶ μαχητικὸν, ἔνι δὲ καὶ δῆμος πολὺς, ὁ μὲν χρηματιστὴς, ὁ δ' ἀργὸς καὶ φιλήδονος. τῶν μὲν δὴ ἄλλων ἀνθρώπων ἢ δημοκρατεῖται ἡ ψυχὴ, ἢ ὀλιγαρχεῖται, ἢ τυραννεύεται. ἡ γὰρ ἡδονὴ παραλαβοῦσα τὰ σκῆπτρα, ἀφαιρεῖται τὰ ἄλλα γένη τῆς ἐλευθερίας· ἡ δὲ φιλοκερδές τε καὶ φιλοχρήματον, ὥσπερ ἐν ταῖς ἀπὸ τῶν τιμημάτων ὀλιγαρχίαις· ἡ δὲ μαχητικόν τε καὶ θυμοειδὲς, ὥσπερ ἐν Κρήτῃ ποτὲ καὶ Λακεδαίμονι. ἡ ἀναμὶξ τὰ φῦλα πάντα σὺν πολλῷ θορύβῳ διακληροῦται καὶ διαλαγχάνει τὴν ἀρχήν. μόνου δὲ τοῦ φιλοσόφου βασιλεύεται ἡ ψυχή· καὶ ἄρχει μὲν ὁ νοῦς τὸν ἅπαντα χρόνον, τὰ δὲ ὅπλα φορεῖ ὁ θυμὸς ᾗ ἂν ἐκεῖνος ἡγῆται· ὁ δὲ ἄλλος ὄχλος κάθηται ἐπὶ τοῖς ἔργοις τοῖς ἑαυτοῦ, καὶ οὐκ ἀμφισβητεῖ τῆς ἀρχῆς. καὶ ἐντεῦθεν μάλιστα, ὦ μακάριοι, τὰ δύο ταῦτα ὀνόματα, ὁ βασιλεὺς καὶ ὁ τύραννος, πάνυ ἀλλήλοις πολεμεῖ καὶ ἀνθέστηκε· καὶ δὴ οὐκ ἀνέχεται συμβῆναί ποτε οὐδὲ ξυνδραμεῖν, ὥσπερ οὐδ' ἂν νοῦς οὐδὲ ἡδονὴ συνελθοίτην.

ἀλλ' ὅπως αὖ τὸ ἕτερον εὐθαλῇ, καταφθίνει τὸ ἕτερον καὶ μαραίνεται. πῇ οὖν ἐναντιοῦσθον καὶ διαφέρεσθον; ἀρχαὶ μὲν γὰρ ἄμφω ἀνθρώπων, καὶ οὐχὶ τὸ μὲν, ἵππων, τὸ δὲ, ἀνθρώπων, ἀλλὰ τὸ μὲν ξὺν ἀρετῇ καὶ ἐπ' ἀγαθῷ τῶν ἀνθρώπων τῶν ἀρχομένων, τὸ δὲ, ξὺν κακίᾳ καὶ ἐπὶ μόνῃ τῇ ἑαυτοῦ ἀπολαύσει. καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὸ μὲν, θεοειδὲς νομίζουσι καὶ μακάριον, τὸ δὲ πεφρίκασι καὶ ἐκτρέπονται. πάλιν τοίνυν ὥσπερ παλαιστὴς ὁ λόγος, πολλὰ ἐξελεγχθεὶς, τὴν αὐτὴν περιέχει λαβὴν, καὶ δείκνυσι μάλιστα φιλόσοφον τὸν βασιλέα, ὅτι μάλιστα ἐπιτρέπει τὰ αὑτοῦ πράγματα τῇ τοῦ λόγου κηδεμονίᾳ, ὃν οὐ δεδίασιν, ἀλλ' ὑπὲρ οὗ δεδοίκασιν οἱ ἀρχόμενοι. τοῦτον οὐχ αἱροῦνται ἐν συμποσίῳ ἄνθρωποι ἐκ μέθης καὶ πλησμονῆς, ἀτεχνῶς ἐπιδείπνιόν τινα βασιλέα, οὐκ εἰς μακρὰν οἰμωξόμενον μετὰ τὴν κραιπάλην, ὥσπερ ἐν Κρονίοις. φύεται δὲ αὐτόματος καὶ ἐκτρέφεται ὥσπερ ἐν σμήνει αὐτοφυὴς ἐκ γενετῆς καὶ αὐτοδίδακτος βασιλεὺς, ᾧ συμπαρεμβαίνει καὶ συμπέτεται ἑκούσιον τὸ σμῆνος καὶ ξὺν χαρμονῇ· οὐκ ἐπειδὴ τῷ σώματι ὑπερφέρει, καὶ μείζων ἐστὶ τῆς φύσεως, ἐννεόργυιός τις καὶ ἐννεάπηχυς, οἵους ᾄδουσι τοὺς Ἀλωάδας οἱ ποιηταὶ, οὓς ἡ τερατεία τοῦ σώματος εἰς ἄτοπα ἐξώκειλε φαντάσματα καὶ ἀλλόκοτα, ὀρῶν τινας ἐποικοδομήσοντας καὶ ἀναβαθμοὺς εἰς οὐρανούς. οὕτω δὴ καὶ Αἰθίοπες ἐχειροτόνουν τὸν βασιλέα πήχει καὶ μέτρῳ γνωματεύοντες τὴν ἀρετήν. ὁ δὲ τῇ φύσει βασιλεὺς, ὃν οὐχ ἵππος ἐποίησε χρεμετίσας, οὐδὲ κράνος χαλκοῦν ἀντὶ φιάλης, οὐδὲ Λυδὴ γυνὴ ὀργισθεῖσα ὅτι γυμνὴ ἄκουσα ἐφωράθη· φιλοσοφία δὲ μάλιστα δείξασα ὅτι κρείττων ἐστὶ τῶν ὑπηκόων. Τιάρα οὐ ποιεῖ βασιλέα, οὐδὲ κάνδυς, οὐδὲ μανδύη, οὐδὲ ἀκινάκης χρυσοῦς, οὐδὲ στρεπτοί τε καὶ ψέλλια, οὐδὲ ῥαβδοφόροι καὶ δορυφόροι καὶ μηλοφόροι, καί τις ἀθάνατος ἀριθμὸς ἀποθνησκόντων στρατιωτῶν.

ſed quocumque tandem pacto gliſcere altera ac vigere cœperit, corrumpi alteram atque interire neceſſe eſt. Quînam igitur ea ſibi inuicem contrariantur, ac differũt? Ambo enim hominũ imperia ſunt, nec aliud equis, aliud hominibus præeſt. Verum hoc quidem cum virtute, & ad ſibi ſubditorum commodum, illud cum improbitate, & ad priuatam vtilitatem præſidet. Ideoque homines diuinum illud, ac beatum exiſtimant, hoc perhorreſcunt, atque execrantur. Sed rurſum tanquam luctator quidam, ſic probata atque excuſſa ſæpius oratio, eandem perpetuo ad prehendendum anſam obiicit, & Philoſophum maximè Regem demonſtrat, quòd ſua maximè omnia rationis arbitrio atque imperio permittat: quem non timent, ſed pro quo timent ſubditi. Hunc non in conuiuiis ex vinolentia & ſatietate eligunt homines, conuiualem vtique Regem, non multo poſt ſecundùm crapulam mœrore conficiendum, velut in Saturnalibus euenit; ſed ſponte naſcitur, & educatur, tanquam in apum examine, per ſe ab ortus initio excitatus, & à ſe ipſo edoctus Rex: quem ſponte ac lætitia geſtiens examen omne circunſtrepit, ac circumuolat: non ideo quod ſtatura corporis antecellat, ac communem hominum naturam exuperet, nouem vlnas aut cubitos procerus: quales Aloidas fuiſſe Poëtæ fabulantur. Quos quidem prodigioſa corporis moles in abſurdas quaſdam & ab omni ratione alienas cogitationes, montium videlicet exſtructiones, & quaſi gradus quoſdam, in cœlum ac ſcanſiones impulit. Sic etiam Æthiopes cubito atque menſura virtute comprobata, Reges ſuos deſignabant. Natura vero Rex ille eſt, quem non hinnitus equi Regem fecerit, non ærea Phialę loco oblata galea, non Lyda mulier, irata pro eo quod nuda pręter voluntatem deprehenſa ſit: ſed Philoſophia ipſa cumprimis, quæ ſubditis præſtantiorem illum oſtenderit. Non ergo Tiara Regem, aut inſigne amiculum, aut Penula regalis efficiunt, neque aureus Acinaces, neque torques, & annuli, non lictores, aut ſatellites, ac ſpeculatores, nõ perpetuus quidam morientium militũ numerus.

Hæc enim omnia & Cambyſes furioſus, & Xerxes arrogans habuerat, qui neque nauigare, neque incedere eodem quo cæteri homines, more ſuſtinebat, ſed itineris faciendi rationem mutabat. Quamobrem è Græcia fugientem illum pauperes ac tenues viri ſola Prudentia ac Iuſtitia freti, Themiſtocles ſcilicet Neoclis, & Ariſtides Lyſimachi, filij, perſecuti ſunt. Quem vero Philoſophia ſtipatu ſuo protegit, ac fouet, huius & in mari nauigantes claſſes, & terra pedeſtres milites victoriam reportant. Quin ipſi etiam aſperi & inacceſſi colles, ſine vlla perfoſſione cedunt, ſeſeque campeſtribus ac depreſſis locis ſuperanti planiores facilioreſque præbent. Fluuius vero ipſe non deficit, ſed inundans, atque æſtuans Imperatorem tuetur, ac pro eo contra Xerxis nepotem quodammodo præliatur: ſæpiùs vero pro armis ac militibus ſolus ipſi ſermo ſatis eſt. Et interim quidem adſtant hinc clypeis innixi grauioris armaturæ milites, inde Equites frænatis equis, hinc ſagittarij remiſſis arcubus, inde funditores laxatis fundarum habenis; Imperator vero ſolus ſine armis, citra haſtam aut gladium è ſuggeſto ſingulare prælium gerit; ac ne admotis quidem manibus purpuram detrahit, & Imperij prædonem in ordinem cogit. Quam in rem cum vna quædam ſapiens res ſit Tragœdia, tum iſtud loquente digniſſimum pronunciat:

Multa obtinet oratio
Hoſtile ferrum quæ quidem perfecerit.

Quanquam Pericles ille Xanthippi filius, cuius in labris perſuadendi Dea ſediſſe dicitur, ſæpenumero ex Athenienſium Tribunali ita deſcendit, vt minimè eſſet, quod volebat, aſſecutus. Qui autem inter tot hominum millia, qui primi iniuriam intulerant, & in armis erant, quorum neque natura eadem erat, & animus linguaque diſſimiles, in ſublimi loco conſtanter, ac ſine vllo terrore ſtare potuerit, hunc per Deum (quæſo) Philoſophorum arcem pronunciare dubitabimus? Atqui Orpheum inter ſapientes & admirabiles viros numeramus,

ταῦτα γὰρ ἄπαντα καὶ Καμβύσῃ ὑπῆρχε τῷ μαινομένῳ, καὶ Ξέρξῃ τῷ ἀλαζόνι, ὃς οὐδὲ πλεῖν οὐδὲ βαδίζειν ἠνείχετο κατὰ ταῦτα τοῖς ἄλλοις ἀνθρώποις, ἀλλὰ μετεποίει, καὶ ἐνήλλαττε τὴν πορείαν. τοιγαροῦν ἐδίωκον αὐτὸν φυγάδα ἐκ τῆς Ἑλλάδος ἄνδρες πένητες καὶ αὐτουργοὶ, μετὰ φρονήσεως μόνης καὶ δικαιοσύνης, Θεμιστοκλῆς ὁ Νεοκλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου. ὃν δὲ φιλοσοφία δορυφορεῖ καὶ τιθηνεῖται, τούτου κρατοῦσιν ἐν μὲν θαλάσσῃ, πλέουσαι νῆες, ἐν δὲ γῇ, πεζεύοντες οἱ στρατιῶται· εἴκει δὲ αὐτῷ καὶ δυσόβατα ὄρη ἄνευ διορυχῆς, καὶ λειότερα γὰρ ὑπερβαίνοντι τῶν πεδινῶν τε καὶ χθαμαλῶν. ποταμὸς δὲ οὐκ ἐπιλείπει, ἀλλὰ καὶ πλημμυρῶν ὑπεραγωνίζεται καὶ διαμάχεται ὑπὲρ βασιλέως τῷ Ξέρξου ἐγγόνῳ. ἐξαρκεῖ δὲ αὐτῷ πολλάκις ὁ λόγος ἀντὶ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν. καὶ οἱ μὲν ὁπλῖται ἑστήκασι κεκλιμένοι ἐπὶ τῶν ἀσπίδων, οἱ δὲ ἱππεῖς, ἐγκεχαλινωμένοι τοὺς ἵππους, οἱ δὲ τοξόται, τὰ τόξα ἀνέντες, οἱ δὲ σφενδονῆται, χαλάσαντες τὰς σφενδόνας. βασιλεὺς δὲ μόνος καὶ ἄοπλος, ἄτερ αἰχμῆς, ἄτερ μαχαίρας μονομαχεῖ ἐπὶ τοῦ βήματος, καὶ οὐδὲ τὼ χεῖρε προσενεγκὼν ἀφαιρεῖται τὴν ἁλουργίδα, καὶ ἰδιώτην ἀποφαίνει τὸν συλήσαντα τὸν βασιλέα. ὡς δέ τοι σοφόν τι ἡ τραγῳδία καὶ φθέγγεται ἐπάξια τῆς φθεγγομένης, πολλὰ ἐξαιρεῖ λόγος ἃ καὶ σίδηρος πολέμιος δράσειεν ἄν. καίτοι Περικλῆς ὁ Ξανθίππου, οὗ τοῖς χείλεσιν ἐπεκάθιζε Πειθὼ, πολλάκις ἀπὸ τοῦ βήματος τῶν Ἀθηναίων κατέβη, ἀπαλλάξας ὡς οὐκ ἐβούλετο. ὅστις δὲ ἐν τοσαύταις μυριάσιν ἀνδρῶν προσαδικησάντων καὶ ὅπλα ἐχόντων, ὧν οὔτε ἡ φύσις ἦν μία, οὔτε ἡ γνώμη, οὔτε ἡ γλῶττα, ἵσταται ὑπὸ δέους ἄτρεπτος καὶ ἀνέκπληκτος, καὶ μόνῳ πέποιθε τῷ λόγῳ πρὸς τὸν ἀγῶνα, τοῦτον εὐλαβησόμεθα εἰπεῖν πρὸς φιλίαν, τὸν κορυφαῖον φιλόσοφον; ἀλλ' Ὀρφέα μὲν συναριθμούμενον τοῖς σοφοῖς τε καὶ θαυμασίοις ἀνδράσιν,

εἴτω πιθανὸς ὁ Ὀρφεὺς ὅτι ὄρνιθας καὶ βοτὰ ἐκήλει τῇ δυνάμει τῆς μουσικῆς· τὸν δὲ πραΰναντα καὶ μαλάξαντα ἄνδρας λεόντων αὐθαδεστέρους, ἐρρώδησομεν οὕτω καλεῖν, ὡς σεμνοτέρῳ ὀνόματι καλλωπίζοντες; ὑμνοῦσι μὲν οὖν καὶ Σπαρτιᾶται ἀναίμακτόν τινα καὶ ἄδακρυν νίκην, δι' ἧς Ἀρκάδων ἐκράτησαν, μετὰ τὴν ἐν Λεύκτροις συμφοράν. ταύτης δὲ οὐκ οἶδα ἣν ἄν τις νίκην φαίη ἱεροπρεπεστέραν τε καὶ εὐγενεστέραν, οὐδὲ φιλοσόφῳ μᾶλλον προσήκουσαν, ὁποίαν Πλάτων οὐκ ἐνίκησε Διονύσιον, οὔτε Δίων ὁ Ἱππαρίνου, ἑταῖρος ὢν Πλάτωνος καὶ ἀκουστής· ἀλλὰ καὶ στρατιώτας συλλεξάμενος ἐξ Ἀκαδημίας, μόλις ἐξέωσε τὸν τύραννον τῆς πατρίδος. καὶ ἦν θέαμα ἄπιστον τοῖς τότε Ἕλλησι, Διονύσιος μετὰ τὴν τυραννίδα Συρακουσίων περιπατῶν ἐν τῷ Κρανείῳ. ὁπόσον δὲ ἐστιν ὑπὸ ἀληθινοῦ φιλοσόφου λόγῳ ἁλῶναι, ἤσθετο ἀκριβῶς ὁ καὶ τοὔνομα καὶ τὴν τύχην πάλαι στρατιώτης. μόνοι γὰρ οὗτοι νικῶσιν ἐπ' ὠφελείᾳ τῶν ἡττωμένων. ποιεῖται οὖν αὐτὸν μετὰ τὴν νίκην ὁ βασιλεὺς μακροβιώτερον Ἀργανθωνίου, χορηγὸν ἀπράγμονος καὶ ῥαθύμου τρυφῆς, πάλαι αὖ ἴσως καὶ πρόπαλαι διελόμενον ὑπὸ τῶν παρ' ἡλικίαν φροντίδων. οὕτω δὲ ἄρα βασιλέως προμηθεῖται τὸ δαιμόνιον καθαρὰς φυλάξαι καὶ δικαίου φόνου τὰς χεῖρας, μᾶλλον Φερεκύδου καὶ Πυθαγόρου, ὥστε καὶ τὸν ἕτερον τῶν τυράννων, ᾧ θάνατος ἐφ' οἷς ἐπαρῴνησεν, ἦν ἀναγκαῖος, συνήλασέ τε καὶ συνηνάγκασεν ἑαυτοῦ γενέσθαι τυραννοκτόνον. ἀλλ' ἵνα μὴ θέοντες, τὸ τοῦ λόγου, τυφλὰ τέκωμεν καὶ ἀτελῆ, μικρὸν ἐπιστήσαντες, εἰ δοκεῖ, καὶ ὥσπερ ἀναπαυσάμενοι ἐκ τοῦ δρόμου, σκοπῶμέν τοι καὶ ἐξετάζωμεν εἰ ἄρα ἕτερον ποιητέον αὐτῷ ἐστι φιλοσόφου ἀνδρὸς σημεῖον, ὡς εἰ θεοφιλής τε καὶ τὰ πράγματα ἄνωθεν αὐτῷ κυβερνῷτο, καὶ ὅταν φαίνηται ἀληθὲς τοῦτο καὶ ξυνωδὸν, αὖθις αὖ πάλιν ἐπιβλεπτέον εἰ μὴ πανταχοῦ τοῖς ἔργοις τοῦ βασιλέως τὰ σύμβολα ἐπίκειται ἐκφανῆ τῆς ἐκ τοῦ οὐρανοῦ προμηθείας.

ſi cui credibile iſtud de Orpheo videatur, Muſicæ ab eo peritia aues ac beſtias eſſe delinitas. Nos autem eum qui homines leonibus ferociores permulſerit, atque emollierit ita appellare verebimur, quaſi digniori eum nomine, quàm par ſit, ornemus? Ac Spartani quidem incruentam quandam, & ſine lacrymis comparatam victoriam prædicant, quam de Arcadibus, poſt cladem illam Leuctricam, retulerunt: Hac autem Imperatoris victoria neſcio quam aut ſanctiorem, aut nobiliorem, aut denique Philoſopho digniorem eſſe quiſquam dixerit, qualem nunquam de Dionyſio retulit Plato, nec Hipparini filius Platonis familiaris, & Auditor; qui quidem ægrè collectis ex Academia militibus patria Tyrannum exegit. Eratque tum incredibile Græcis ſpectaculum, Dionyſium videre poſt Syracuſanorum Tyrannidem in Cranio deambulantem. Quantum porro ſit à vero Philoſopho ratione ſuperari, pręclarè ſenſit is, qui & nomine iampridem erat & conditione miles. Soli enim ij cum eorum, qui vincuntur, emolumento vincunt. Igitur ſecundùm victoriam vitam illi Arganthonio longiorem conceſſit: ac cùm iam olim diuque antea curis ac ſollicitudinibus ætate grauioribus diſtraheretur, ſecuras ei minimeque anxias voluptates ac delitias miniſtrauit. Vſque eò verò Diuinum Numen Imperatoris curam gerit, vti puras & incontaminatas vel iuſta nece manus conſeruet, ſupra Pherecydem etiam ipſum, & Pythagorã; vt alterum Tyrannorum, qui ob illatas contumelias morte erat afficiendus, ſui ipſius interfectorem eſſe coegerit. Verum ne currentes, vt eſt in Prouerbio, cæcos, & imperfectos fœtus pariamus, age paululum, ſi videtur, inhibito curſu conquieſcentes, illud attentè conſideremus, & inquiramus, ſitne alterum in eo Philoſophi ſignum conſtituendum, vt ſi fortè à Deo dilectus ſit, & omnes illius res cœleſti quadam prouidentia gubernentur. Tum vbi verum id vobis indicium, ac probandum videbitur, rurſus id animaduertendum erit, num in omnibus Imperatoris cœptis manifeſta Diuinæ illius prouidentiæ ſigna reperiantur.

Sic igitur conſideremus. Neceſſe omnino & erat, & videbatur, vt ſiue præſentibus contentus eſſet Imperator, exiguam paterni Imperij portionem teneret: ſiue totum appeteret, contra conſanguineos arma caperet, & ab iis diſſideret. Videte igitur Diuini in eo conſilij ſapientiam. Ferè enim ſicut in Theatro Poëta nonnunquam graui & horribili caſu diu ſuſpenſis ſpectatoribus, repente præter ſpem, è machina Fabulæ ſuæ difficultatis illius exitum inuenit: ſic non fictorum ille caſuum velvt in fabula quadam artifex Deus, cum hinc & inde Principi iniuriæ faciendę, aut ignauiæ neceſſitatem circumdediſſet, machinam nihilominus certam adhibuit, vt vtrumque poſſet effugere: vel potius vt vtrumque in contrarium verteretur. Cùm enim nullam Fratribus iniuriam fecerit, ſed è contrario cum altero quidem adhuc ſuperſtite doluerit, pro altero vero doluerit, præ eximia quadam Philoſophia, ſolus paternorum omnium bonorum compos eſt factus. Sed hæc ſanè prætermittamus. Hoc autem ipſum, quòd Perſæ, genus huic imperio male auſpicatum, quamdiu in otio eſt, laceſſere illum non deſinant, poſteaquã vero diſtrahi aliis negotiis cœpit, penè vniuerſi perierunt, num obſcurum prę̨ſidij illius cœleſtis indicium eſt? Sic enim Deus, vt in exigua acie, videtur hoſtibus ex aduerſo quamplurimis ſtantibus, pro Imperatore ſeſe ad cornu illud, quod premitur, opponere. Quamobrem vos me deinceps ab eo contractu liberabitis. Quid enim? nonne idoneè me ſatisfeciſſe iudicabitis? Atqui ego cùm ſtudioſè diligentérque non ſingula vobis orationis argumẽta, velvt numos in menſa, numerare voluerim: ſed temere, atque omnia ſimul arripuerim, merito in ſuſpicionem adduci videor, non omne debitum †† Statim enim Philoſophiam illam, quę in cultu corporis adhibetur, cõmemoraſſem quidem, ſed breuiter ac ſuccinctè commemoraſſem. Quòd ſi in eo diutiùs hærere ac cõmorari vellem, iſtud ipſum, quod leue ac perexiguum eſt, magnũ vobis & plurimi faciendum videretur: Nimirũ quòd Imperatoris corpus adamante omni laborum aſſiduitate ſit firmius: adeo

ἀθρήσατε οὖν ὧδε. ἦν που καὶ ἐφαίνετο ἀναγκαῖον, ἢ τὰ ὑπάρχοντα ἀγαπῶντα τὸν βασιλέα, μοῖραν ὀλίγην κεκτῆσθαι τῆς πατρῴας ἀρχῆς, ἢ τοῦ σύμπαντος ὀριγνώμενον, πρὸς τοὺς συναίμους τὰ ὅπλα κινεῖν καὶ στασιάζειν. ὁρᾶτε οὖν τὴν δαιμονίου σοφίαν. σχεδὸν γὰρ ὥσπερ ἐπὶ σκηνῆς ὁ τοῦ δράματος ποιητὴς δεινόν τι καὶ φοβερὸν πάθημα πολλάκις ἐπικρεμάσας τοῖς θεωμένοις, κᾆτα παραλόγως ἐκ μηχανῆς λύσιν εὕρετο τῷ δράματι τῆς δυσχερείας· οὕτως καὶ ὁ τῶν ἀληθινῶν παθημάτων μυθοποιὸς περιστήσας ἔνθεν καὶ ἔνθεν τῷ βασιλεῖ ἢ ἀδικίας ἀνάγκην ἢ ἀνανδρίας, ὅμως ἐπήγαγε μηχανὴν ὥστε ἄμφω διαφυγεῖν, μᾶλλον δὲ ὥστε ἄμφω ἔμπαλιν ξυμβῆναι. οὐ γὰρ ἀδικήσας τοὺς ἀδελφούς, ἀλλὰ τοὐναντίον, τῷ μὲν συναλγήσας, τοῦ δὲ ὑπεραλγήσας, ὑπὸ τῆς ἄγαν φιλοσοφίας, μόνος ἐγκρατὴς ἐστὶ τῶν πατρῴων. εἶεν. τὸ δὲ δὴ Πέρσας τοὺς δυσωνύμους σχολὴν μὲν ἄγοντι μὴ παύεσθαι ἐνοχλοῦντας, ἀσχολουμένου δὲ σχεδόν τι ἀπολωλέναι, ἆρα οὐκ ἐναργὲς ἐκείνης τῆς συμμαχίας σημεῖον; φαίνεται γὰρ ὁ θεὸς καθάπερ ἐν μικρᾷ παρατάξει πολλῶν πολεμίων ἀντικαθιστάμενος πρὸς τὸ πονούμενον κέρας τῷ βασιλεῖ. ἀφήσετε οὖν με λοιπὸν τοῦ συμβολαίου; ἢ οὔπω δοκῶ ὑμῖν διαλελύσθαι; καὶ μὴν ἔοικα μετὰ σπουδῆς καὶ προθυμίας οὐκ ἀνασχόμενος ὑμῖν κατὰ μικρὸν διαριθμῆσαι τοὺς λόγους, ὥσπερ νόμισμα ἐπὶ τραπέζης, ἀλλ' εἰκῆ καὶ ἀθρόως ἐπιδραττόμενος, εἰκότως ἄρα καὶ ἀπιστεῖσθαι ὡς οὐ πᾶν τὸ ὄφλημα * * αὐτίκα τὴν περὶ τὸ σῶμα φιλοσοφίαν καὶ καρτερίαν εἶπον αὖ μέν, εἶπον δ' ἐν βραχεῖ συλλαβών. εἰ δὲ ἐθελήσαιμι ἐνδιατρίβειν καὶ ἐνσχολάζειν, φανείη αὖ καὶ τὸ μικρὸν τοῦτο μέγα τε ὑμῖν καὶ πολλοῦ ἄξιον. ὅτι δὴ σῶμα βασιλικὸν στερεότερόν ἐστιν ἀδάμαντος ὑπὸ τῶν πόνων,

οὕτω ῥᾳδίως αὐτὴν καὶ εὐκόλως ἐμπιέζει μὲν ἐνδείᾳ, δίψῃ δὲ ἀνιᾷ, θυραυλίᾳ δὲ ἐπιτρύχει, προσβάλλει δὲ χειμῶνι, καύματι δὲ ἐπιδίδωσιν. ὁ δὲ Ἀλέξανδρος ἐκεῖνος Δαρείου μὲν ἐκράτει, Κύδνου δὲ ἡττήθη τοῦ ποταμοῦ ψυχροῦ ῥέοντος καὶ διαυγοῦς· καὶ πολλὰ δεινὰ πολλάκις ἀνέτλη ὑπὸ ταύτης τῆς ἀκρασίας, ὅσγε καὶ ἐν τῷ θέρει νιφετὸν περιεφέρετο, καὶ ἦν αὐτῷ μοῖρα τῆς ἐπ' Ἰνδοὺς παρασκευῆς ὁ κρύσταλλος καὶ οἱ ψυκτῆρες. βασιλεὺς δὲ οὐ φιλονεικεῖ πρὸς τὰς ὥρας, ἀλλὰ καὶ ταύτῃ ἕπεται τῷ θεῷ. οὐδὲ γὰρ ὅσα αὐτὴ ἡ ὥρα φύει πρὸς ἑαυτὴν ἀπέγχασα καὶ ἕτοιμα παραμύθια, οὐδὲ τούτων ἁλίσκεται κατὰ τὸ ξυμφέρον. ἀλλ' ἐὰν ἅπαξ ὦ μακάριοι λεπτουργεῖν ἐπιτρέψωμεν καὶ ἀπομηκύνειν τῷ λόγῳ, πόρρω ἡμᾶς εὖ ἴστε ἐξοίσει. ἐπιθετέον οὖν σφραγῖδα τοῖς εἰρημένοις ἣν αὐτὸς ἔναγχος ἐπέθηκε βασιλεὺς πάνυ λαμπράν τε καὶ νεουργόν. οὕτω γὰρ τῷ ὄντι φιλόσοφός ἐστι γνήσιος ὥστε καὶ τὸν συνάρχοντα φιλόσοφον ἐποιήσατο, οὐχ ὅτι προσήκει αὐτῷ κατὰ γένος, ἀλλ' ὅτι κατ' ἀρετὴν αὐτῷ ἀγχιστεύει. οὐκοῦν δεοίμην εὔχεσθαι ἔτι, καθάπερ ὁ πάνσοφος Πλάτων, ὑπὲρ τοῦ κοινοῦ γένους τοῦ ἀνθρωπίνου, ξυνδραμεῖν τε βασιλείᾳ φιλοσοφίαν καὶ ξυμπορευθῆναι, μηδὲ διεσπάσθαι ἀεὶ καὶ ἀπερρωγέναι, ἀλλ' ἔνεστιν ἀπολαύειν καὶ ἐμφορεῖσθαι τοῦ ἀνεμπλήστου θεάματος.

Adeo facilè illud, ac nullo negotio, vel inopia macerat, vel ſiti excruciat, vel foris tranſigendo tempore vegetum atque excitatum reddit, vel hyemi obiicit, vel denique æſtibus atque ardoribus exponit. At Alexander ille Darium quidem debellabat, à Cydno vero gelido & puriſſimo amne deuictus eſt: multáque ſæpius incommoda ex illa intemperantia perpeſſus eſt, cum etiam æſtate niuem circumferret, interque cæteros in Indiam apparatus, glacies quoque, & certa refrigerando potui vaſa numerarentur. Verùm Imperator non aduerſus tempeſtates contendit, ſed Deo hac in parte ſe accommodat: cum ne iis quidem remediis, quę contra ſe vnaquæque tempeſtas, citra artem, atque in promptu ſuppeditat, ſi hoc vtilitas poſtulet, capiatur. Verumenimuero (Auditores) ſi ſingula accuratius perſequi, atque extendere ſeſe Orationi permiſerimus, longiſſimum (mihi credite) nos ad ſpatium perducet. Quamobrem id demum velvti ſignum his, quę à me hactenus dicta ſunt, apponendum, quod ipſe nuper illuſtre cumprimis, ac nouum Imperator adiecit. Ita enim reuera Philoſophus eſt, vt etiam collegam ſibi Philoſophum aſciuerit, non quòd generis ſibi neceſſitudine coniunctus; ſed quod virtute eſſet animi propinquus. Quare nihil eſt quod iam, velvt ſapientiſſimus ille Plato, pro communi hominum genere vota ſuſcipiam, vti Philoſophia in vnum cum Principatu coeat, atque conueniat, nec vnquam hæc à ſe inuicem diuulſa ac diſſociata ſint; cùm eiuſmodi ſpectaculo, cuius nunquam expleri cupiditas poſſit, perfrui ac ſatiari hoc tempore liceat.

PHILOSOPHO PVBLICE VERBA facere licere.

ORATIO XV.

PRÆFATIO.

NON vtique Theatra à me tantopere amari creditis, vt illud neſciam, paucos ſapientes maiorem dicenti metum, quàm multos inſipientes adferre. Quemadmodum, opinor, exercituum Imperatores cautiores ſollicitioréſq; reddunt pauci, ac paucis oppoſiti, quàm ingens quædam incōditorum hominum multitudo, & leuiter armatorũ, & equo carentium, qui alia alij lingua tumultuentur & perſtrepant. Cuiuſmodi Homerus eſſe dixit Barbarorum exercitum, eorum vociferationem auium ſimilitudine declarans, quæ cum clangore ad Nilum fluuium volent, vehementis hiemis vitandæ gratia. Ego quoque igitur, Auditores, vos, mihi credite, magis vereor, ac pertimeſco, quàm nuper frequentem illam in Theatro turbam, quæ & facilè in clamores erumpat, & ſæpiſſimè è ſaxis exiliat. Sed & Athenis olim multo plus in Areopago dignitatis erat, quàm in Conſilio illo, quod ex vno ſupra millenos conſtabat. Verum nequaquam vos forſitã mihi longiore vti procemio permittetis. Neque enim id in Areopago lege erat conceſſum.

Quid eſſe tandem cauſæ dicam, quod cum homines Fabros admonere non ſoleãt, quid in lignis moliri oporteat, neque Sutores, quid in corio faciendũ ſit, ſed neq; Textoribus de lanis, nec Citharoedis de Citharæ pulſib. aliquid præſcribant; ſed qui vniuſcuiuſque artis ignari ſint, permittãt peritis, vt quemadmodũ ipſis viſum fuerit, artis ſuæ opera deſignent; cum hæc inquam ita ſe habeant, ſolos tamen Philoſophos admonere omnes ac docere aggrediãtur, quæ ſint ipſis dicenda, & apud quos, & quo tempore,

ΤΟΥ ΑΥΤΟΥ, ΥΠΕΡ ΤΟΥ ΛΕγειν, ἢ πῶς τῷ φιλοσόφῳ λεκτέον.

ΛΟΓΟΣ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΣ.

ΟΥ δήπου με, ὦ θέατρα, οὕτως ἀγαπᾶν ἡγεῖσθε ὥστε ἀγνοεῖν, ὅτι ὀλίγοι ἔμφρονες, πολλῶν ἀφρόνων τῷ λέγοντι φοβερώτεροι. ὥσπερ οἶμαι, καὶ τοὺς ἄρχοντας τῶν στρατοπέδων ὀλίγοι τε, καὶ λογάδες, ἀντικαθήμενοι εὐλαβεστέρους ποιοῦσιν, ἢ πολὺς ὅμιλος συμπεφυρμένος ἀφράκτων, καὶ ψιλῶν, καὶ ἀΐππων· ἄλλων ἐξ ἄλλης γλώσσης θορυβούντων τε, καὶ ἐπηχούντων. οἷον Ὅμηρος εἶναι λέγει τὸ βαρβαρικὸν στρατόπεδον· ἀπεικάζων αὐτὸ τῇ βοῇ ὄρνισιν, ἅμα κλαγγῇ πετομένοις ἐπὶ Νεῖλον τὸν ποταμὸν διὰ τὸν μέγαν χειμῶνα. κἀγὼ οὖν ὑμᾶς, ὦ ἄνδρες, εὖ ἴστε, ὅτι ὀκνῶ τε, καὶ δυσωποῦμαι, ἢ περιφρονῶ τὸν πολὺν ὄχλον, τὸν ἐν τῷ θεάτρῳ τὸν κεκραγότα ῥᾳδίως, καὶ θαμὰ ἐξαλλόμενον ἀπὸ τῶν πετρῶν. σεμνότερα δ' αὖ καὶ Ἀθήνησι δικαστηρίων τῶν εἰς ἕνα τε καὶ χιλίους ὁ Ἄρειος πάγος. τάχα οὖν οὐδ' ὑμεῖς ἐπιτρέψετε προοιμιάζεσθαι ἐπὶ πλέον, οὐδὲ γὰρ ἐν Ἀρείῳ πάγῳ ὁ νόμος ἐδίδου.

Τί δήποτε ἄρα οἱ ἄνθρωποι, τοὺς μὲν τέκτονας οὐ νουθετοῦσιν ὅτι ποιητέον αὖθις περὶ τὰ ξύλα· οὐδὲ δὴ τοὺς σκυτοτόμους ὅτι ποιητέον αὖθις περὶ τὰ σκύτη· ἀλλ' οὐδὲ τοὺς ὑφάντας παρὰ τῶν ἐρίων· οὐδὲ τοὺς κιθαριστὰς παρὰ τῶν κρουμάτων· ἀλλ' ἐπιτρέπουσιν οἱ μὴ εἰδότες ἑκάστην τέχνην τοῖς ἐπισταμένοις, καθότι δεῖ δοκιμάζωσι τὰ ἐκ τῆς τέχνης ἔργα μεταχειρίζεσθαι· μόνοις δὲ τοὺς φιλοσόφους, σχεδόν τι ἅπαντες ἄνθρωποι νουθετοῦσι, καὶ διδάσκειν ἐπιχειροῦσι. καὶ ἅττα ῥητέον αὖθις, καὶ πρὸς οὕς, καὶ ὁπότε,

καὶ ἐν ᾧ χωρίῳ; καὶ οὐδεὶς ὅστις οὐκ ἀξιοῖ ταύτης μόνης τῆς ἐπιστήμης ἐξεταστὴς εἶναι ἀκριβὴς, καὶ ὧν λέγει, καὶ ὧν ἐργάζεται; αὐτίκα τὸν μὲν ποιητὴν οὐχ ἅπαντες εὐθύνουσι τῶν ἐπῶν, οὐδὲ τὸν ῥήτορα τῆς δεινότητος, οὐδὲ τοὺς πρὶν νεανίσκους, τοὺς ἀπαρξαμένους ὑμῖν ἐν τῷ θεάτρῳ, καὶ εὐδοκίμους φανέντας ἐφ᾽ ἑκατέρῳ τῇ τέχνῃ ἅπαντες οἴεσθε δεῖν ἀριστεύειν, καὶ διασκοπεῖν τῶν δειγμάτων· ἀλλ᾽ οἱ ποιηταὶ μόνοι καὶ λογογράφοι. εἰ δὲ εἰς τὸν αὐτὸν τοῦτον χῶρον συγκαλέσας ὑμᾶς ἀνὴρ φιλόσοφος, λόγον τινὰ διαλεχθείη, φροντίσας καὶ μεριμνήσας, καὶ πολλὰς νύκτας ἀύπνους, πολλὰς δὲ ἐπιπόνους ἡμέρας καταμελετήσας, ὡς ἄν τι χρηστὸν ἐξ αὐτοῦ ἀπενέγκησθε, τηνικαῦτα οὐχ οἱ φιλόσοφοι μόνον, ἀλλὰ καὶ οἱ ῥήτορες, καὶ οἱ γραμματισταὶ, καὶ οἱ παιδοτρίβαι, καὶ οἱ στρατιῶται, καὶ οἱ παλαιστρῖται, καί τις δὴ οὐχὶ κριτὴς, καὶ ἐξεταστὴς τῶν λόγων; ἀλλὰ καὶ τῶν ἀκροωμένων, ὅτι δῆμος ἦν, καὶ τοῦ χωρίου ὅτι θέατρον· οὕτως ἄρα ἐξ ἁπάντων μαθημάτων μόνον τοῦτο ἐστὶ προχειρόν τε ἅπασι καὶ ἐπίδρομον, καὶ εὐμαθές; μᾶλλον δὲ ἴσως τεράστιον, καὶ ἀλλόκοτον. καὶ οἱ μὲν ἄλλοι ἅπαντες εἴσονται ἀκριβῶς τὰ ἁρμόζοντα τῇ τέχνῃ· μόνοι δὲ ἀγνοήσουσιν οἱ σύμπαντα ἐπ᾽ αὐτῇ τὸν βίον κατατριβόμενοι; καὶ ἴσως οὐκ ὀρθῶς λέγει ὁ λόγος, οὐδὲ δικαίως; οὐδὲ γὰρ οἱ τοὺς φιλοσόφους παιδαγωγοῦντες λίαν πολλοί εἰσιν. οὐδὲ ἅπαντες ὑμεῖς τετύφωσθε ἐξαισίως· ἀλλὰ τὸ πρᾶγμα ἐκείνῃ σχέτλιον, ὅτι μηδὲ βέλτιον διακείμενοι τῶν πολλῶν οἱ ὀλίγοι οὗτοι· μηδὲ ἐγγυτέρω ὄντες τῆς ἐπιστήμης, ἢ ὁ ὄχλος, χειροτονοῦσιν ἑαυτοὺς νομοθέτας τοῖς φιλοσόφοις· καὶ ἀποφαίνονται ἀφώνους εἶναι λέγειν, ἅττα ἂν εἰδῶσιν ἐν τῇ καρδίᾳ, καὶ μὴ ἐξαγγέλλειν, μηδὲ κοινωνεῖν· ὥσπερ οἱ τὰ χρήματα θησαυρίζοντες. εἰ οὖν ὑπὲρ ἄλλου του λεκτέον τῷ φιλοσόφῳ, πόσῳ δὴ μᾶλλον ὑπὲρ τοῦ λέγειν; καὶ εἰ παραιτητέον μοι ἐπ᾽ ἄλλῃ ὑποθέσει εἰς τὸ κοινὸν, πόσῳ δὴ μᾶλλον ἐπὶ ταύτῃ αὐτῇ;

& quo in loco dicenda? Nec vllus omnino ſit, qui non ſe vnius huiuſce Artis inquiſitorem idoneum, cùm eorum quæ dicit, tum quę molitur, exiſtimet? Nam à Poëta quidem non omnes carminum rationem exigunt, nec ab Oratore facultatis dicendi, neque adoleſcentes illos, qui hymnum in Theatro auſpicati ſunt, quique vtraque arte excellere viſi ſunt, explorandos vobis, aut quæ illi tentauerint, diiudicanda creditis, ſed Poëtę ſoli & Orationum ſcriptores. Sin vos aliquis in hunc ipſum locum Philoſophus conuocet, orationem habiturus, quàm magno ſtudio atque cura elucubrauerit, multaſque ob id inſomnes noctes traduxerit, ac multa non paucos dies meditatus fuerit, quo boni aliquid à ſe reportaretis, tum non Philoſophi ſolum, ſed & Oratores, & Grammatici, & Pædotribę, & Milites, & Veterani; ac denique quis non orationum inquiſitor ac iudex eſt? Nec harum tantum, ſed & Auditorum ipſorum, quod Populus ſit, & loci, quod Theatrum. Ita eò res recidit, vt omnibus ex diſciplinis, ſola hæc obuia ſit omnibus, ac facilis, nulloque negotio perdiſcatur: imo prodigioſum hoc potius, ac monſtri ſimile videtur; ſi cum cæteri omnes quæ huic arti conſentanea ſunt, intelligant, ij ſoli neſciant, qui ætatem omnem in ea collocarunt. Quanquam fortaſſe non rectè hoc neque meritò oratione mea commemoratum eſt. Etenim illi ipſi, qui Philoſophos erudire, atque inſtituere volunt, non adeò multi ſunt: neque vos omnes tantopere eſtis occœcati: ſed miſera ea prorſus res eſt, quòd pauci illi cum nihilo melius quam vulgus affecti ſint, nec propius quam plebs ipſa ad doctrinam & ſcientiam accedant, ſeipſos tamen Philoſophis Legiſlatores conſtituant, eóſque pronuntient mutos eſſe oportere, ac quæ ſciant, in corde occulta atque abdita tenere, nec efferre, aut communicare cum cæteris, velut ij qui in theſauris pecunias accumulant. Quamobrem ſi vlla de te Philoſopho verba facienda ſunt, quanto magis de Dicendo facienda ſunt? Ac ſi vllum ob argumentum prodeundum in publicum eſt, quanto magis ob iſtud ipſum prodeundum eſt?

Hùc igitur hodierna die (ô Græcorum ſtudioſi) venio, vt & mihi, & vobis ipſis opem adferam, idque oratione mea perficiam, vt cùm mihi dicendi, tùm vobis audiendi facultas tribuatur. Quare æquum eſt vos mihi hac in re fauere, méque adiuuare, neque conuiuas ipſos, circa epulas inuitatore eſſe negligentiores. Hoc enim dico, quod ad me attinet, me à vobis ægrè admodum auelli poſſe. Quod ſi eodem modo vos erga Philoſophiam habetis, noſtis ipſi. Honeſtum eſt autem eum amare viciſſim, qui amet. Res porro ita ſe habet. Par illud eſſe ac commune periculum, ne & ciuitati, & Philoſophiæ mutua conſuetudine interdicatur; vt hęc vocis, illa auditionis expers ſit, quaſi infenſæ inuicem atque inimicæ ſint, niſi vtriſque gratiam rependam: atque huius quidem vocem conſeruem, ac reſtituam, illi aures pręparem, & repurgem, cum illud oſtendero, me integra fama, atque exiſtimatione, nec in ærarios relatum, conſilij & concionis eſſe participem. Ac neſcio an hæ prioris certaminis reliquiæ ſint. Ac ſi poſt mercenariorum agmẽ, leues & expeditos Sophiſtas effugere poſſimus planè ab eiuſmodi appellatione integri immuneſq; videbimur: qui vtique ſincere nomini ſuo reſpondere videantur. Itaq; rurſus proinde atque in foro, iuſiurandum ipſorum actioque recitanda, cui contra nos elegantes iſti accuſatores ac ſilentij artifices ſubſcribunt. Iniuriam (aiunt illi) facit, nouum in Philoſophia aliquid moliens, ac nouos Deos introducens. Neq; enim in cubiculo ſuo quietus remanet, neque apud ſolos diſcipulos ſuos verba facit, ſed in publicum prodit, atque audacter in media Ciuitate verſatur, & coram omni hominum genere dicere inſtituit. Neque hoc in ea re grauiſſimum eſt, etſi adeo magnum ſit. Verum inſuper & Theatra cogit, & triduo ante vti in forum conueniant, denuntiat, ac laudari ſe patitur, & acclamatores obit. Quanquam quid vobis aliis coniecturis atque argumentis opus eſt, vt intelligatis egregium illum hominem Sophiſtam eſſe, cum Thronum ac ſuggeſtum manifeſta ſceleris indicia videatis?

Heu

ἥκω οὖν ἐγὼ τήμερον ὦ φίλοι Ἕλληνες, καὶ ἐμαυτῷ καὶ ὑμῖν βοηθήσων· καὶ διαπραξόμενος ἐκ τοῦ λόγου, ἵνα ἐμοὶ μὲν ἐξείη λέγειν, ὑμῖν δὲ ἀκούειν. δίκαιον οὖν ὑμᾶς, καὶ συμπροθυμεῖσθαι, καὶ συλλαμβάνειν, καὶ μὴ ῥαθυμοτέρους εἶναι περὶ τὴν ἑορτὴν τοὺς δαιτυμόνας τοῦ ἑστιάτορος· ἐγὼ γὰρ δὴ λέγω τό, τε ἐμόν, ὅτι σφόδρα ὑμῶν ἔχω δυσαπαλλάκτως. εἰ δὲ καὶ ὑμεῖς φιλοσοφίας αὐτοὶ ἴστε· καλὸν γὰρ ἀντερᾶν τοῦ ἐρῶντος. τὸ δ᾽ οὖν ἀληθὲς τοῦτ᾽ ἔστιν, ὅτι κοινὸν τὸ κινδύνευμα καὶ ἐπίσης, ἀποκλεισθῆναι τῇ τε πόλει καὶ φιλοσοφίᾳ τὴν συνουσίαν· καὶ διατελεῖν πρὸς κατ᾽ ἀλλήλας τὴν μὲν ἄναυδον, τὴν δὲ ἀνήκοον, ὥσπερ ἀπεχθανομένας, εἰ μὴ ἐγὼ ἀμφοτέραις ἐκτίσαιμι τὰ χαριστήρια· καὶ τῇ μὲν φυλάξαιμι τὴν φωνὴν καὶ ἀποδοίην· τῇ δὲ παρασκευάσαιμι τὰ ὦτα· ἐπίτιμον ἑαυτὸν ἀποδείξας καὶ ὀφείλοντα κοινωνεῖν τε, καὶ βουλευτηρίου καὶ τῆς ἐκκλησίας. τυχὸν δ᾽ ἂν καὶ ὑπολιπὲς τοῦτο εἴη τοῦ πρὶν ἀγῶνος. καὶ μετὰ τὴν φάλαγγα τῶν μισθοφόρων, εἰ τοὺς ψιλοὺς σοφιστὰς καὶ εὐζώνους ἀποδρασόμεθα, πάντῃ ἂν φανείημεν ἀκέραιοι τοῦ ὀνόματος. πάλιν δὲ ὥσπερ ἐν δικαστηρίῳ τὴν ἀντωμοσίαν ὑμῖν ἀναγνωστέον, ἣν ὑπογράφονται καθ᾽ ἡμῶν οἱ κομψοὶ κατήγοροι οὗτοι καὶ τεχνῖται τῆς σιωπῆς. ἀδικεῖ, φασὶν, ἐμὲ λέγοντες, νεωτερίζων εἰς φιλοσοφίαν, καινὰ εἰσάγων δαιμόνια. οὐ γὰρ ἡσυχῇ κάθηται ἐν τῷ δωματίῳ, οὐδὲ πρὸς μόνους τοὺς ὁμιλητὰς κοινολογεῖται· ἀλλὰ καὶ εἰς φῶς πρόεισι καὶ θαρρεῖ ἐν τῷ μέσῳ τῆς πόλεως. καὶ λέγειν ἐπιχειρεῖ ἐν παντοδαποῖς ἀνθρώποις. καὶ οὐ τοῦτό πω τὸ δεινὸν τηλικοῦτον ὄν· ἀλλὰ καὶ θέατρα ἤδη ἐγείρει, καὶ προότειτα ἐπαγγέλλει εἰς τὸ δικαστήριον συνιέναι, καὶ ἀνέχεται ἐπαινούμενος, καὶ ἐπινοεῖ τοὺς κεχηνότας. καί τι ἂν δέοισθε ἑτέρων εἰκόνων καὶ τεκμηρίων τοῦ σοφιστὴν εἶναι τὸν ἄνδρα, γυναῖον τὸν θρόνον καὶ τὸ βῆμα ὁρῶντες τὰ φώρια τοῦ ἀδικήματος;

ἰοὺ ἰοὺ τῶν κατηγόρων! ὡς πιθανοὶ καὶ εὐπρόσωποι, καὶ οὓς ἐγὼ μάλιστα δέδοικα, μὴ ἐξαπατήσωσιν ὑμᾶς. οὐδὲ γὰρ μάρτυρά μοί ἐστι πρὸς τούτοις ἀναβιβάσασθαι τῶν νῦν ὁμοσκηνῶν· ἀλλὰ καὶ τούτων οἱ πολλοὶ πρὸς τὰ λοιπὰ ἐπαμύνοντες καὶ παριστάμενοι εὖ μάλα, ἡνίκα ἂν τοῦτο τὸ μέρος τῆς κατηγορίας ὑποκινῆται, φρίκης τε ἐμπίπλανται, καὶ ὠρακιῶσι, καὶ αὐτομολοῦσιν εὐθὺς πρὸς τοὺς πολεμίους· καὶ ἐγκαταλείπουσί με ἔρημον αὐτῶν συμμάχων, καὶ εἰσί μοι χαλεπώτεροι τῶν ἐξ ἀρχῆς κατηγόρων, λεωργόν τε ἀποκαλοῦντες καὶ ὑπερόπτην τῶν πατρῴων ἐθῶν. τούτοις μὲν οὖν δι' ἥν τινα αἰτίαν προδιδόασιν, αἰσθάνομαί τε καὶ ἐρῶ πρὸς ὑμᾶς· ἐμοὶ δὲ πρὸς ἀμφοτέρας ἅμα ἀγωνιστέον, καὶ αὐτομόλους, καὶ πολεμίους. ἐπεὶ οὖν μοι χαλεπώτερος ὁ ἀγὼν καὶ ἔπεισιν ἀθρόον ξίφος σιγῇ παραταττομένων ἀνθρώπων, καὶ σιγὴν πνεόντων ἀντὶ μένους τε καὶ ἀλκῆς, εἰ πόῤῥωθεν ἀρξάμην καὶ ἐκ τῶν προοιμίων, καρτερεῖτε ὦ φίλοι ἄνδρες· οὐ γὰρ κατεπείγει τὸν λόγον ὕδωρ ἀποῤῥέον μεμετρημένον, καὶ οὐκ ἀποχρεῶ τῷ ἀγῶνι· οἱ δικασταὶ κύριοι τοῦ χρόνου ταύτης τῆς δίκης. μᾶλλον δὲ αὐτὸς ὁ λέγων, ἐὰν οὕτω λέγῃ ὥστε κατέχειν, καὶ μὴ διώκειν. ὡς οὖν οὐκ ἄξιον αὐτῶν πάνυ ἄγαμαι καὶ θαυμάζω, πῶς τὸ καινουργεῖν τε καὶ νεωτερίζειν εἰς ὁντινοῦν δυσχεραίνοντες, καὶ ἀδίκημα ἡγούμενοι, αὐτοὶ καινουργοῦσι περὶ τοῦ νόμου τῆς γραφῆς. καὶ εὐθύνουσι μὲν ὡς σοφιστήν· τὸ δὲ ἔγκλημα ὡς σοφιστικὸν ποιοῦνται. τῷ γὰρ νομοθέτῃ ὃν προὐστησάμεθα, Πλάτωνι τῷ θεσπεσίῳ οὐχ ἕν τι χρῆμα φαίνεται εἶναι πολιτικός τε, καὶ δημολόγος, καὶ σοφιστής. ἀλλὰ τὸν μὲν δημοσίᾳ, καὶ σὺν μακροῖς λόγοις προσιόντα, καὶ ὁμιλοῦντα τοῖς πλήθεσιν· εἰ μὲν δρῴη αὐτὸ προμηθούμενος τῶν ἀκροωμένων, πολιτικὸν οἴεται, καὶ ὀνομάζειν κελεύει· τὸν δὲ αὐτοῦ μόνου ἐρῶντα δημοσίου τοῦ θορύβου,

Heu me! quales Accuſatores habeo! quàm ad perſuadendum idoneos: quos ego magnopere, ne vobis imponant, reformido. Neque enim teſtem aduerſus eos vllum ex contubernalibus meis proferre poſſum. Sed eorum plerique cum me in cæteris ſubleuent, atque imprimis opitulentur, vbi pars illa accuſationis moueri cœperit, horrore complentur, ac pallore, & ad hoſtes illico tranſeunt, ac ſolum deſtituunt, ſine vllo ſociorum præſidio; multóque moleſtiores mihi ſunt quàm ij qui initio accuſatores ſe profeſſi fuerant: audacem me ac temerarium vocantes, & patriarum conſuetudinum contemptorem. Illi igitur cur me tandem prodant, ſentire mihi videor, ac vobis equidem declarabo. Mihi verò cum vniuerſis ſimul tam deſertoribus quàm hoſtibus certamen ſuſceptum eſt. Quoniam ergo mihi hic conflictus difficilior eſt, & me cum ſilentio, inſtructorum hominum, ac ſilentium pro robore ac fortitudine ſpirantium agmen inuadit, ſi altius paulo atque ab initio repetam, quæſo hoc (optimi viri) patienter ſuſtinete. Non enim orationem noſtram vrget aqua ad menſuram defluens, nec ad cauſam peragendam ſufficiens. Ipſimet Iudices Actionis totius moderatores ac domini ſunt. Imo ille ipſe qui dicit, ſi ita dicat, vt auditores ſuos detineat, non illos expellat. Igitur hoc valde de illis meis Accuſatoribus admiror, quod cum noui aliquid & inuſitati vlla in re fieri iniquo animo ferant, & facinus eſſe cenſeant; ipſi tamen in Accuſationis ſuæ ſententia ac formula rem nouam faciant, & tanquam Sophiſtam in Iudicium adducant, crimenque ipſum Sophiſticum nominent. Etenim Legiſlatori illi, quem nobis ipſi propoſuimus, Diuino Platoni non eadem eſſe res videtur, Politicus, Concionator, & Sophiſta. Verum qui publicè prodiens prolixos ſermones inſtituit, & in vulgus loquitur, ſi hoc ipſum ad audientium commodum atque vtilitatem referat, Politicum & exiſtimat, & appellari ab omnibus iubet. Sin nihil aliud præter popularem tumultum ac ſtrepitum quærat,

δημολόγον τε καὶ δημεραστήν. ὁ σοφιστὴς δὲ αὐτῷ βραχυρρήμων τε, ὡς τὸ πολὺ, καὶ κατ' ἕνα ἀντίπαλον ἐσκευασμένος, καὶ τοῦτο ἔσχατόν ἐστι τῶν ἐν τῷ ἄξονι γεγραμμένων. ὥστε ῥᾳδίως ἄν με ἐξαγορεύοιεν εἰ σκευωρούμην καὶ τεχνάζω παρὰ τὸν νόμον. καὶ οὖν ἐγὼ ἐπὶ τούτῳ τῷ ἔργῳ, ἐφ' ᾧ καὶ νῦν συγκαθήμεθα, σοφιστὴς μὲν οὐδαμῶς· τῶν δ' ἄλλων δυοῖν θάτερον ἄν μοι τίθεσθαι ἴσως, ἢ τὸ σεμνὸν ἢ τὸ παιγνιῶδες, ὠφελοῦντι μὲν, τὸ σεμνόν· εἰ δὲ ἐπ' εὐδοκιμίᾳ, τὸ παιγνιῶδες· εἰ μὲν δή τι ὑπάρχει ὀνησιφόρον τοῖς ἐμοῖς λόγοις, αὐτοὶ ἂν εἰδείητε οἱ ἀκούοντες. ἐγὼ μέντοι ἐγρηγορόσιν ὑμῖν καὶ ἀντιλαμβανομένοις τῶν λόγων, ἀσμενέστερον διαλεγοίμην, ἢ χασμωμένοις τε καὶ ναυτιῶσι. καὶ οὐχ ὁ θόρυβός μοι τὸ μέρος ἀγαπητὸς, αὐτὸς δὴ ἐφ' ἑαυτῷ μόνῳ ὁ θόρυβος· ἀλλ' ὅτι σημεῖον αὐτῷ ποιοῦμαι τοῦ μὴ εἰκῇ λέγειν ἃ λέγω, μηδὲ ἄλλως ᾄδειν, καὶ προσᾴδειν ὑμῖν, ἀλλ' ἅπαξ ἄχρι τοῦ βάθους καὶ τῆς καρδίας ὡς οὐδεμία μηχανὴ τῷ λόγῳ ὁμοπαθοῦσα κεῖσθαι ἄνω ἐπὶ τῆς πέτρας καὶ τοῦ βάθρου ἀκινητότερον. τὸ μὲν δὴ ὄνομα τοῦ ἐγκλήματος οὕτως αὐτοὶ καινουργοῦσι καὶ μεταφέρουσιν οἱ φύλακες τῆς συνηθείας. τὸ δὲ δὴ πρᾶγμα ὅτι μὴ καινὸν μηδὲ ἐγὼ πρῶτος αὐτὸ μηχανῶμαι καὶ ἐξευρίσκω, ὥστε προσδογματίζειν τοὺς φιλοσόφους, μὴ οἴκοι φθέγγεσθαι μόνον, μηδὲ ὑπὸ θυρωροῖς καὶ βαλανάγραις, ἀλλὰ καὶ εἰς τὸ κοινὸν μὴ ἀχρείους εἶναι· τοῦτο οὔπω λέγω· οὐδὲ καλῶ τοὺς μάρτυρας ἤδη ἄνδρας σεμνοὺς, καὶ ἀρχαίους· οἷς εὖ οἶδ' ὅτι οὐκ ἀπιστήσετε, ἐὰν μόνον φανῶσιν ἐπὶ τοῦ βήματος. ἀλλ' ἐκεῖνοι μὲν τὸν καιρὸν τοῦ λόγου περιμενέτωσαν. τὸ δ' οὖν πρᾶγμα ἐγὼ συγχωρῶ καὶ τίθημι τοῖς κατηγόροις ὅτι καινὸν τῷ ὄντι ἐστί. καὶ ἐγὼ ἐπιβάλλομαι καὶ εἰσάγω εἰς τοὺς ἀνθρώπους. λεγέτωσαν οὖν ἡμῖν δεῦρο εἰ παρελθόντες, πότερον ἀεὶ λόγῳ πᾶν ἀδίκημά τι καινοτομεῖν τι καὶ προσμηχανᾶσθαι,

ἢ ὅταν πονηρὸν καὶ ζημιῶδες καὶ ἐπὶ βλάβῃ; εἰ γὰρ δὴ ἅπαν ἀδίκημα τὸ ἔξω τοῦ ἔθους, διὰ τί οὐχ ἁπάσας τέχνας αἰτιῶνται καὶ εὐθύνουσιν, ὅτι οὐκ ἐνέμειναν οὐδὲ ἠγάπησαν ἐπὶ τῇ πρώτῃ εὑρέσει, ἀλλὰ αὔξοντες ἔτι καὶ ἐς τόδε ἐπιδιδόασι, καινόν τι ἀεὶ προσυφαίνουσαι τοῖς ἀρχαίοις; καὶ πρὸ μὲν Δαιδάλου τετράγωνος ἦν οὐ μόνον ἡ τῶν Ερμῶν ἐργασία, ἀλλὰ καὶ ἡ τῶν λοιπῶν ἀνδριάντων. Δαίδαλος δὲ ἐπειδὴ πρῶτος διήγαγε τὼ πόδε τῶν ἀγαλμάτων, ἔμπνοα δημιουργεῖν ἐνομίσθη. τὴν θαλάττην δὲ οὐ πρώτως μὲν οἱ σχεδιουργοὶ πλώϊμον ἐπέδειξαν τοῖς ἀνθρώποις· ἔπειτα Αρμονίδου τεκτηναμένου, ἢ ὅτου δὴ πρὸ Αρμονίδου ἐφάνησαν στρογγύλαι τε ὁλκάδες, καὶ χρόνῳ ὕστερον ἐν Ισθμῷ Κορίνθιοι τριήρεις ἐναυπηγήσαντο, καὶ Αμεινοκλῆς Σαμίων ἦλθεν ὁ Κορίνθιος ναυπηγός; τὰ δὲ περὶ σίτων καὶ πότων καὶ ξύμπασα ἡ δίαιτα ἡ ἀνθρωπίνη ἆρα ἀθρόως ἅπασα ἐξετελουργήθη; καὶ οὐ πρῶτον μὲν βαλανηφάγοι ηὐνάζοντο ἐν σπηλαίοις γυμνοὶ καὶ ἄστρωτοι καὶ ἀνυπόδητοι; χρόνῳ δὲ ἄλλου ἄλλο τι εἰσφερομένου προέβη ὁ βίος εἰς τὴν παροῦσαν εὐδαιμονίαν; ἀλλ' αἱ μὲν βάναυσοι τέχναι ἴσως καὶ ἀναγκαῖαι καὶ διὰ τὴν χρείαν ἠνέσχοντο τῆς καινουργίας, αἱ δὲ κομψότεραι καὶ ἐπὶ ῥαστώνῃ ὁλόκληροι ἀνεφύησαν καὶ ἀρτιμελεῖς ἀθρόως. καὶ τῇ γραφικῇ οὐδὲν εἰσήνεγκεν Απελλῆς; οὐδὲ Τέρπανδρος τῇ κιθάρᾳ; οὐδὲ Τιμόθεος τοῖς αὐλοῖς; ἀλλὰ καὶ ἡ σεμνὴ τραγῳδία μετὰ πάσης ὁμοῦ τῆς σκευῆς, καὶ τοῦ χοροῦ, καὶ τῶν ὑποκριτῶν παρελήλυθεν εἰς τὸ θέατρον; καὶ οὐ προσέχομεν Αριστοτέλει· ὅτι τὸ μὲν πρῶτον ὁ Χορὸς εἰσιὼν ᾖδεν εἰς τὸν θεόν. Θέσπις δὲ πρόλογόν τε καὶ ῥῆσιν ἐξεῦρεν. Αἰσχύλος δὲ τρίτον ὑποκριτὴν καὶ ὀκρίβαντας. τὰ δὲ πλείω τούτων Σοφοκλέους ἀπηλαύσαμεν καὶ Εὐριπίδου·

Οὕτω καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν.

an tum ſolum, cum iſtud ipſum quod agitur, malum eſt, pernicioſum, ac noxium? Si enim quicquid extra conſuetudinem eſt, ſceleratum eſt, cur non artes omnes criminantur, & accuſant, quod non prima inuentione contentæ, ac circumſcriptæ ſunt, ſed augent eas inſuper, ac noui ſemper aliquid veteribus attexentes in hunc vſque diem perſeuerant? Etenim ante Dædalum non modo Mercurij rudi informique mole ſed reliqua etiam ſimulacra fingebantur. Vbi vero Dædalus ſimulacrorum pedes diſtinxit, viua ac ſpirantia fabricare creditus eſt. Mare autem ipſum nonne primum ratium opifices humano generi nauigabile ac peruium reddiderunt? Deinde Harmonide fabricante, aut aliquo ante Harmonidem alio, rotundæ naues atque onerariæ viſæ ſunt? Atque interiecto deinceps tempore Corinthij apud Iſthmum Triremes conſtruxerunt: Deinde ad Samios Aminocles nauium apud Corinthum fabricator peruenit. Iam quæ ad cibum potumque pertinent, ac victum omnem hominum, num vniuerſa ſimul ad tam exquiſitam ac ſubtilem rationem perducta ſunt? Nonne principio glande paſti homines in ſpeluncis nudi, ſine ſtragulo ac calceatu iacebant? Poſtea alio aliud inueniente tempore ad præſentem felicitatis ſtatum vita perducta eſt? Niſi forte ſordidę atque illiberales artes neceſſario propter vſum nouitatem illam tulerunt, elegantiores vero, & quæ ad oblectationem pertinent, integræ abſolutęque repente prodierunt. Neque aut ad Picturam Apelles quicquam contulit, aut ad Citharam Terpander, aut ad Tibiam Timotheus. Imo & grauis ipſa ac ſeuera Tragœdia cum omni ſimul apparatu, cum Choro, & Actoribus in Theatrum peruenit. Nec Ariſtoteli credimus, cùm ait initio Chorum ingredientem in Deorum aliquid præconium cecinisſe, Theſpin vero Prologum ac ſermocinationem inueniſſe. Æſchylum vero, tertium Actorem, & pulpitum; cætera nos à Sophocle & Euripide accepiſſe:

Sic veterum nobis audita eſt fama decuſque:

Qui ab obſcuris, atque imbecillis olim primordiis deductam, atque excitatam Philoſophiam cum accepiſſent, quod pręſenti ſtatu nequaquam ſe continerent, aut quieſcerent, ſed aliquid in dies adiicerent, poſtremo omnia perſecuti ſunt, ac ſibi Diuina pariter atque humana vindicarunt. Nam ante Thalem Mileſium pauca verba circumferebantur, cum Thaletis ipſius, tum aliorum Sapientum, quibus hodie parietes ac tabellæ ſcatent. Et erant optima illa quidem, atque idoneam ſententiam complectebantur, quanta maxima in duabus eſſe voculis poteſt; ſed præcepti atque imperij ſimilia erant: & ad exiguam virtutis partem cohortabantur. Poſtea Thales, cum Pythagora naturæ contemplationem princeps ingreſſus eſt, & in cœlum ſuſpexit, ac ſiderum naturam ſcrutatus eſt, & aliquando collectis in vnum Mileſiis omnibus noctem interdiu fore prædixit, nimirum vt ſupra terram Sol occideret, ac ſubter eum Luna ſic ſubiret, vt ſplendorem illius ac radios interciperet. Thales igitur cum tot ac tanta repeririſſet, nihil tamen eorum quæ excogitauerat, ſcriptis committere voluit; non modo, inquam, Thales ipſe, ſed neque alius quiſquam eorum qui ad illud vſque tempus illius ſtudia ac doctrinam æmulati ſunt. Anaximander vero Praxiadis filius non omnia ſimiliter imitatus eſt; ſed hoc immutauit ſtatim, atque ab vſitata ratione deflexit, quòd primus Græcorum quos ſcimus omnium áuſus eſt, Librum de Natura ſcriptum à ſe in publicum proferre. Antea enim libros conſcribere ignominioſum habebatur, neque apud veteres Græcos vſu ac conſuetudine receptum erat. Nam Anaxagoram Clazomenium omitto: nec illud dico, quantum is in eo genere nouitatis attulerit, qui primus Deo Mundi fabricam, & opificium attribuit, neque omnia ad naturam corporum referenda putauit. Socrates vero præclarus vir atq; eximius, num tandem tritum illud vetuſtate iter ingreſſus eſt? aut Archelai veſtigiis adhæſit? An maior adhuc illius ambitio, atque audacia fuit, vt

non

οἱ δὲ ἀμυδρῶν καὶ ἀσθενῶν τὸ πάλαι σπερμάτων παραλαβόντες ὡρμημένην τὴν φιλοσοφίαν, τῷ μὴ ἀτρεμίζειν ἐν τοῖς ὑπάρχουσι καὶ ἐγκαρτερεῖν, ἀλλὰ ἀεί τι προσεπιβάλλεσθαι, τελευτῶντες ἅπαντα χρήματα ἐπεξῆλθον, καὶ ἐφ' ἑαυτοῖς ἐποιήσαντο θεῖά τε ὁμοῦ καὶ ἀνθρώπινα. περὶ μὲν γὰρ Θαλοῦ τοῦ Μιλησίου, ῥημάτων ὀλίγα περιφερόμενα ἦν, Θαλοῦ τε αὐτοῦ καὶ τῶν ἄλλων σοφῶν, καὶ νῦν ἐμπεπλησμένοι εἰσὶν οἱ τοῖχοι καὶ τὰ πινάκια, χρηστὰ μὲν καὶ νοῦν ἔχοντα ἱκανόν, καὶ ὅσα ἂν πλεῖστα γένοιτο τοῖν δυοῖν ὀνομάτων, ἀλλὰ ψιλά γε πίστεως καὶ ἐπιτάγματι προσκατεοικότα καὶ νουθετοῦντα κατὰ μικρὸν μόριον ἀρετῆς. Θαλῆς δὲ ὕστερον καὶ* προκατήγορα φύσεώς τε ἥψατο πρῶτον καὶ ἀνέβλεψεν εἰς τὸν οὐρανὸν καὶ τὰ ἄστρα ἐξήτασε· καὶ προεφήτευσε ἐν κοινῷ ἅπασι Μιλησίοις, ὅτι νὺξ ἔσοιτο ἐν ἡμέρᾳ, καὶ δύσεται ἅμα ὁ ἥλιος, καὶ ὑποθεύσεται αὐτὸν ἡ σελήνη. ὥστε ἀποτέμνεσθαι τὴν αὐγὴν καὶ τὰς ἀκτῖνας. Θαλῆς μὲν δὴ τοσαῦτα εἰσενηνεγμένος, οὐ κατέθετο ὅμως εἰς συγγραφὴν τὰ εὑρήματα, οὔτε αὐτὸς ὁ Θαλῆς οὔτε ἄλλος τις τῶν εἰς ἐκεῖνον χρόνον. τούτου γενόμενος ζηλωτὴς Ἀναξίμανδρος ὁ Πραξιάδου, οὐ πάντα ἐζήλωσεν ὅμως· ἀλλὰ τοῦτο εὐθὺς παρήλλαξέ τε καὶ ἐξετράπετο· ὅτι ἐθάρρησε πρῶτος ὧν ἴσμεν Ἑλλήνων λόγον ἐξενεγκεῖν περὶ φύσεως συγγεγραμμένον. πρὶν δὲ εἰς ὄνειδος καθειστήκει, τὸ λόγους συγγράφειν· ἀλλ' οὐκ ἐνομίζετο τοῖς πρόσθεν Ἕλλησι. καὶ ἐῶ τὸν Κλαζομένιον Ἀναξαγόραν, καὶ ἐφ' ὅσον οὗτος ἐνεωτέρισε· νοῦν καὶ θεὸν πρῶτος ἐπαγαγόμενος τῇ κοσμοποιίᾳ, καὶ οὐ πάντα ἀνάψας τῆς φύσεως τῶν σωμάτων. ἀλλὰ Σωκράτης ὁ γενναῖος ἄρα τὴν ἀρχαίαν ἐβάδιζε καὶ τετριμμένην, καὶ ἐγκατέμεινε τοῖς ἴχνεσι τοῦ Ἀρχελάου; ἢ τούτου γε ἐστὶ μείζων ἡ φιλοτιμία καὶ ἡ θρασύτης; καὶ

οὐχ ὅσον ἐφαυρεῖν τι καὶ ἐπανορθῶσαι, ἀλλ' ὁλόκληρον μεταθεῖναι καὶ μετενεγκεῖν τὴν ὑπόθεσιν τῶν λόγων; τῶν γὰρ πρὸ αὐτοῦ σχεδόν τι ἁπάντων περὶ τοῦ οὐρανοῦ φροντιζόντων καὶ ὅπως ἔχει ἡ γῆ θέσεώς τε καὶ σχήματος, καὶ ἐξ ὧν γίνονται τὰ ζῶα καὶ ἐξ ὧν φύεται τὰ φυτά, ἐπεὶ ταῦτα μὲν οὐκ ἐνόμιζεν εὑρετὰ εἶναι ἀνθρώποις, ἀλλὰ κατατρίβειν τὸν βίον, καὶ τῶν ὠφελίμων ἀποκωλύειν. ὅθεν δὲ χρὴ γίνεσθαι ἄνδρα καλόν τε καὶ ἀγαθὸν, ταῦτα ἐφρόντιζε πρῶτος, καὶ ἐπετείνατο. καὶ ὅτι ποτέ ἐστιν ἀρετὴ ἀνθρώπου, καὶ ὅπως ἂν παραγένοιτο, καὶ ὅτι ποτέ ἐστι κακία καὶ ὅπως ἄν τις αὐτὴν ἀποφυγγάνοι. αὐθάδεια μὲν ταῦτα Σωκράτους. αὐθαδεστέρα δὲ ἔτι μᾶλλον ὅτι τοὺς λόγους τούτους οὐκ ἐν ἀπορρήτῳ ἐποιεῖτο, οὐδὲ πρὸς καταμόνας τοὺς μαθητὰς, ἀλλὰ πρὸς πάντας ἀνθρώπους, ὥς που αὐτός φησιν ἐκκεχυμένως, καὶ ἐπὶ τῶν τραπεζῶν καὶ ἐν τοῖς ἐργαστηρίοις, καὶ ἐν ταῖς παλαίστραις. καὶ περιέρρεον αὐτὸν κύκλῳ οἵ τε κοροπλάσται, καὶ οἱ χαλκότυποι, ὁπότε πράγματα παρέχει, ἢ στρατηγῷ, διαπειρώμενος εἴ τι ἐπίσταιτο ὑπὲρ ἀνδρείας, ἢ δημαγωγῷ, εἴ τι ἐπίσταιτο ὑπὲρ πολιτείας ὀρθῆς· ἢ ῥήτορι, εἰ καὶ γινώσκει ἐξ πόσων πείθεται καὶ ἄγεται ἀνθρώπου ψυχή· ἢ ποιητῇ, ὁποῖα ὠφέλιμα τῶν ποιημάτων. ὅθεν δὴ καὶ τὸ πλῆθος αὐτῷ πολὺ ξυνελέγη καὶ ἀπέλαυσε τῆς φιλανθρωπίας ἄλλα ἀπέλαυσε. ἆρ' οὖν ὁ πάμμεγας Πλάτων διὰ τοῦτο ἡσυχῆ ἔμεινεν, ἐπὶ τοῦ σκίμποδος καὶ τοῦ δωματίου; καὶ τίς οὕτω πολυπράγμων ἢ καινοτόμος, ὃς πρῶτον σποράδην οἰκοῦσαν φιλοσοφίαν ξυνῴκισε καὶ συνήγαγεν, ὥσπερ ὁ Θησεὺς τὰς Ἀθήνας; τέως δὲ πειχῇ διεσπάσθη, μᾶλλον δὲ τέτραχα· καὶ χωρὶς μὲν ἦσαν Ἰταλιώτιδες Μοῦσαι· χωρὶς δὲ αἱ Σικελικαί· χωρὶς δὲ ὁ χορὸς τῶν Ἰάδων· αἱ μὲν τὰ θεῖα μαντεύουσαι,

non ſolum adinueniret aliquid, & emendaret, ſed etiam vniuerſam diſciplinæ rationem ac propoſitum immutaret, ac transferret? Siquidem cum omnes ferè ante eum de cœlo philoſopharentur, déque ſitu illius, ac figura, ac de eo quærerent, quibuſnam ex principiis gignantur animalia, ac ſtirpes oriantur; hæc ille nequaquam inueniri ab homine poſſe credidit, ſed vitam conterere, atque ab vtilioribus impedire. Sed vndenam honeſtum ac probum eſſe hominem oporteat, hæc & cogitauit, & propoſuit prior, ac quid tandem hominis virtus ſit, & quomodo ſuppetat, quid vitium ſit, & quonam pacto deuitari poſſit. Sunt hæc quidem ab Socrate facta, ſanè quàm audacter. Illud verò audacius multo, quod diſputationes eiuſmodi non ſecreto, atque inter ſolos diſcipulos, ſed ad omnes penitus mortales, vt alicubi ille dicit, vbiuis diffuſos ac diſſipatos, inſtitueret; ſiue ad menſas, ſiue in officinis, ſiue in Gymnaſiis: Ad cúmque circumquaque confluebant imaginum fictores, & ærarij fabri, cum aut Imperatori negotium faceret, periculum eius faciens, ſi quid de fortitudine ſciret; aut Concionatori, num de recta adminiſtratione quidpiam noſſet; aut Oratori, ſcirétne ecquot rebus hominis animus perſuaderi ſibi, ſéque duci patiatur: aut Poëtæ, cum id quæreret, quæ poëmata aliquid vtilitatis haberent. Ex quo factum eſt, multorum vt in ſeſe concitaret odia, eumque caperet ex hominum amore fructum, quemcumque demum reportauit. Num igitur propterea Magnus ille Plato in lectulo cubiculoque ſuo quietus permanſit? Quis vero æquè curioſus ac nouitatis appetens fuit? Qui principio ſparſim habitantem Philoſophiam coëgit, atque in vnum contraxit, quemadmodum Athenas olim Theſeus? Hactenus verò trifariam vel quadrifariam potius diſſipata fuerat. Ac ſeorſum quidem Italicæ Muſæ erant, ſeorſum Siculæ, ſeorſum & Ionicæ chorum ſuum habebant. Quarum aliæ in ſolarum rerum Diuinarum inueſtigatione conſtiterant;

aliæ quæ naturam ſuperant, indagabant: ſed ab iis procul diſſitæ erant, quæ in vitij ac virtutis cognitione verſantur. In Ægypto dumtaxat hærebant, ac conſtanter manebant Mathematica ſtudia. Quæ quidem vnus ille primum omnia coagmentauit, velut vnius animalis membra diſſipata; atque inter ſe coniuncta ac conſentientia demonſtrauit: nec fieri vnquam poſſe, vt qui vnam ab his diuulſerit, non mancam eam ac mutilatam habeat. Præterea vero alia quamplurima inuexit, atque intulit: orationis genus ex Poëtico ac numeris ſoluto temperans. Nec non interrogantes, ac reſpondentes, & ea narrantes introducens: quibus capti omnes à terra procul euehimur. Poſtremo denique Ariſtoteles ipſe num ad noui aliquid excogitandum rudis, ac minimè ſolers fuit? Aut non primus diſputationes ſeparatim, ac per genera ſingula, & ſermones inſtruxit: qui vel vnius certaminis cauſa comparantur, vel ad eorum quæ ſunt ſcientiam referuntur, vel ad virtutem conſequendam, viam ac rationem declarant? Antea vero confuſa tumultuariè erant omnia, velut Medorum exercitus, antequam Cyaxares eos Deiocis nepos ordinaret. Illud vero peculiare Ariſtotelis, ac propriũ: quòd non eoſdem ſermones credidit vulgo eſſe, ac Philoſophis vtiles; ſicut nec medicamenta, ciboſve iis qui ſumma ſanitate fruuntur, & qui lubrico admodum ac periculoſo ſunt corporis habitu. Sed vt illis ea conueniunt, quę reuera ſalubria ſunt, ſic his ea quæ præſenti corporis diſpoſitioni atque affectioni congruunt. Ob id alios externos vocauit, atque expoſitos omnibus eſſe voluit: alios intus concluſit, & cum paucis tutò communicauit. Horum vero clauſtra, quibus aperiuntur, aut clauduntur; perſpicuitas eſt, & obſcuritas: quibus, velut Horis, commiſſum hoc munus eſt, nubem vt aperiant, aut rurſus opponant. Et vero qui ex ipſis publicè vtiles ſunt, & ad vulgi captum accommodati, luce pleni atque perſpicui ſunt, eorumque vtilitas à delectatione ac voluptate penitus non abhorret, ſed affuſa Venus eſt, ac Gratiæ refulgent, quò velut illecebris quibuſdam attrahant.

αἱ δὲ παρὰ τῆς φύσεως μεριμνῶσαι. τούτων δὲ μακρὰν ἀπεσκήνουν αἱ περὶ κακίας καὶ ἀρετῆς. ἐν Αἰγύπτῳ δὲ μόνον ἐφιλοχώρει τὰ μαθήματα. ταῦτά τε οὖν ἅπαντα ξυνήρμοσε πρῶτον ὥσπερ μέλη ἑνὸς ζώου διερριμμένα, καὶ σύμπνοα ἔδειξε καὶ ὁμοιοπαθῆ, καὶ οὐχ οἷόν τε ἕν τι αὐτῶν ἀποτεμόντα μὴ οὐ κολοβόν τι καὶ ἔμπηρον ἔχειν. πρὸς δὲ καὶ ἕτερα πάμπολλα ἐπεισηνέγκατο καὶ εἰσήγαγε, λόγου ἰδέαν κερασάμενος ἐκ ποιήσεως καὶ ψιλομετρίας. . . . τοὺς ἐρωτῶντας καὶ ἀποκρινομένους καὶ διηγουμένους, ὑφ' ὧν κατηγόμεθα, * ἅτε τῆς αἰθέρος, καὶ αἰρόμεθα ἀπὸ τῆς γῆς. αὐτὸς δὲ δὴ ἐφ' ἅπασιν Ἀριστοτέλης ἆρα ἄπορός τε καὶ ἀμήχανος ἐφάνη τοῦ καινόν τι προσαυτουργῆσαι; καὶ οὐ πρῶτος μὲν διέταξε χωρὶς τοὺς λόγους κατὰ φῦλα ἑκάστους εἶναι, ὅσοι τε πρὸς ἕνα ἀγῶνα ὁρῶσι καὶ ὅσοι πρὸς * κατεπιστήμην τῶν ὄντων, καὶ ὅσοι * πρὸς κατ' ἀρετὴν ὀξύνονται· πρὶν γὰρ ἀναμὶξ ἅπαντα ἦν συμπεφυρμένα, ὥσπερ ἡ Μήδων στρατιὰ, πρὶν ἢ Κυαξάρην διατάξαι τὴν Δηϊόκεω. ἴσασι γὰρ Ἀριστοτέλους, καὶ τὸ μὴ τοὺς αὐτοὺς οἴεσθαι λόγους τοῖς τε πολλοῖς ὠφελίμους καὶ τοῖς φιλοσόφοις. ὥσπερ οὐδὲ φάρμακα οὐδὲ σιτία τοῖς τε εἰς ἄκρον ὑγιαίνουσι καὶ τοῖς ἀκροσφαλῶς διακειμένοις. ἀλλὰ τοῖς μὲν τὰ ὄντως ὑγιεινὰ, τοῖς δὲ τὰ ἁρμόζοντα τῇ παρούσῃ ἕξει τοῦ σώματος. διὸ καὶ τοὺς μὲν θυραίους ὠνόμασε καὶ ἀνέτους ἐποιήσατο· τοὺς δὲ εἴσω τε ἀπέκλεισε καὶ μετεδίδου ὀλίγοις καὶ σὺν ἀσφαλείᾳ. τὰ κλεῖθρα γὰρ τὰ ἀναπεπτωκότα καὶ ἀποκλείοντα, σαφηνῆ ἐστι καὶ ἀσαφῆ· αἷς ἐπιτέτακται πρὸς τοὺς ἀκροωμένους ὡς ὥραις ἀνοίγειν τε τὴν νεφέλην καὶ αὖ πάλιν ἐπιτιθέναι. καὶ δῆτα αὐτῶν, οἱ μὲν δημωφελεῖς καὶ πρὸς τὸ πλῆθος ἐσκευασμένοι, φωτός τε εἰσὶν ἀνάπλεῳ καὶ διαυγεῖς, καὶ τὸ ὠφέλιμον αὐτῶν οὐ πάντα πᾶσιν ἀτερπὲς καὶ ἀνήδονον. ἀλλ' ἐπικέχυται Ἀφροδίτη. καὶ Χάριτες ἐπανθοῦσι τοῦ ἐφολκὸν εἶναι.

ὃ δὲ αὖ μυστικόν τε καὶ ἐν ᾧ τὰ τέλεια ἱερά· τοῦτο δὲ ἐμηχανήσατο, ὅπως καὶ ἔχοντες μὴ ἔχωσιν οἱ ἀμύητοι. διὰ τοῦτο ἐν ποσὶ κυλινδούμενοι οὗτοι οἱ λόγοι, πλείοσι πεφραγμένοι εἰσὶ περιβόλοις, ἢ τὰ ἐν Ἐκβατάνοις βασίλεια. καινὸν δὲ δὴ τοῦτο Ἀριστοτέλους, ὅτι ὄργανα δέδωκεν, οἷον στάθμας ἐπὶ τοῖς λόγοις, οἷς τό τε ὄντως ἀληθὲς κρινοῦμεν καὶ τὸ φανταζόμενον δι' ὁμοιότητα. συμβαίνει γὰρ δὴ ἡμῖν ἐπὶ τῶν λόγων, ὅ,τι καὶ ἐπὶ τῶν ἀνθρώπων. τούτων γὰρ οἱ μὲν εἰσὶ χρηστοὶ καὶ δοκοῦσιν, οἱ δὲ δοκοῦσι μὲν, εἰσὶ δ' οὔ. ταὐτὸν δὲ καὶ ἐπὶ τῶν λόγων, οἱ μὲν φαίνονται ἀληθεῖς καὶ εἰσί, τοῖς δὲ ὑποδέδυκε μὲν τὸ ψεῦδος· ἡμᾶς δὲ ὑποκρίνονται καὶ ἀπατῶσιν. ὅθεν δὴ ἔσται αὐτῶν κατάφωρος ἡ γοητεία, πρῶτος Ἀριστοτέλης ὄργανα ἐμηχανήσατο. τί οὖν ἐγὼ καινὸν διαπράττομαι ἢ καινόν τι προσεπεξευρίσκω, εἰ καταλαβὼν φιλοσοφίαν οἰκουροῦσαν καὶ δυσχεραίνουσαν καὶ ἀποφεύγουσαν τὰς ἀγοράς, ὥσπερ τὴν Δίκην φασὶν οἱ ποιηταί, πείθω εἰς τοὐμφανὲς προϊέναι, καὶ μὴ βασκαίνειν τοῦ κάλλους τοῖς πολλοῖς ἀνθρώποις, καὶ συνεθίζων μὴ μόνον καθ' ἕνα εὖ ποιεῖν, ὥσπερ ἰατρικὴν, ἀλλὰ καὶ ἀθρόον δῆμον ὅσα ἂν δύνηται. ἰατρικὴ μὲν γὰρ οὐχ οἵα τε συναγαγεῖν ἅπαντας ἀθρόως εἰς ἕνα χῶρον ὁμοίως χρωμένη σώματί τε καὶ ἀρρωστήμασιν, ἀλλὰ ἀνάγκη αὐτῇ βαδιζούσῃ εἰς τὰς οἰκίας χωρὶς ἑκάστων τῶν τὰ αὐτὰ ἀρρωστούντων. φιλοσοφία δὲ οὐ σωμάτων ἐπιμελεῖται, οἷς τὰ πολλὰ ἴδια τῶν νοσημάτων, καὶ δεῖται σκίμποδος καὶ δωματίου, ἀλλὰ ψυχαῖς καθέστηκεν ἀρωγός. αἷς τὰ πολλὰ κοινὰ ἀρρωστήματα, καὶ αἷς φύσις ἁπανταχοῦ ἰατρεύεσθαι, καὶ διὰ τοῦτο αὐτῇ ῥᾳστώνη πλείων συναγαγεῖν ἐκκλησίαν ἄνευ σχοινίου μεμιλτωμένου, ἀναβῆναι ἐπὶ βῆμα ὑψηλὸν, καὶ εἰπεῖν ὥσπερ θεοὶ ἐκ τραγικῆς μηχανῆς, Ποῖ φέρεσθε ὦ ἄνθρωποι

Alij vero Myſtici ſunt, & ſacras initiationes continent. Atque hoc idcirco fecit ille, vt qui adhuc profani eſſent, etiam cum illos habuiſſent, non haberent. Quæ cauſa eſt, cur tametſi omnium ad pedes volutentur ij libri, pluribus quàm Regia illa, quę Ecbatanis eſt, munimentis ſint ſepti. Sed & nouum illud ab Ariſtotele eſt excogitatum; quòd Organum quoddam velut ſermonum amuſſim molitus eſt, qua quod reipſa verum eſt, ab eo quod ſimilitudine quadam fingitur, diſcernere poſſimus. Etenim idem nobis in ſermonibus, quod in genere hominum, euenit. Nam illic alij, & ſunt, & eſſe videntur boni: Alij non ſunt, cum eſſe videantur. Quod eodem modo in Sermonibus contingit, vt alij reipſa ſint, & appareant veri. In aliis vero etſi occulta falſitas inſit, nihilominus veritatem ſimulent, & imponant. Quare quô illorum vanitas ac præſtigiæ deprehendantur, primus ad id inſtrumentum quoddam fabricauit Ariſtoteles. Quocirca quid nouum tandem facio, aut quid inſolens comminiſcor, ſi cum Philoſophiam hactenus manentem domi, ac moroſam, & fora hominum ac conuenticula fugientem offenderim, eidem perſuadeo, vt in apertum lucémque prodeat, nec decorem, ac pulchritudinem ſuam vulgaribus hominibus inuideat; & ita conſuefacio, vt non ſingulis tantum benefaciat, quemadmodum Medicina, ſed populo vniuerſo? Nam Medicina fortaſſis in eundem locum omnes cogere non poteſt, eodem vt modo corporibus quibuslibet, ac morbis vtatur: ſed neceſſe eſt, vt ad ſingulorum, qui eadem ægritudine teneantur, ædes ſeſe conferat. At Philoſophia minimè curam corporum gerit, quibus plerique morbi peculiares ſunt, nec cubiculo affixa, vel lectulo eſt; ſed animarum opitulatrix eſt, quibus magna ex parte communes ſunt morbi, quarúmque ea naturæ conditio eſt vt vbiuis curari queāt. Quare multo ei maior opportunitas eſt, cum ad concionem nullo rubricato funiculo compulerit homines, arduum in ſuggeſtum aſcendendi, itáque ſucclamandi, quemadmodum alicui ex Tragœdorum machina Deo. Quò ruitis, homines,

nihilque eorum quæ fieri oporteat, per imprudentiam atque ignorantiam agitis? Qui quidem in pecuniis colligendis laborem omnem ac ſtudium ponitis, filiorum verò, quibus eaſdem tradituri eſtis, nullam curam ſuſcipitis, quô iuſtè vti illis ſciant: neque prius voſmetipſos curaſtis; ſed cùm & vos ipſos & liberos veſtros videatis, vbi literas ac verba, nominaque ſatis ſupérque didicerint, in quibus perfectam virtutis diſciplinam ineſſe creditis, nihilominus tamen malè in adminiſtrandis pecuniis verſari, nonne ob tale inſtitutionis genus inſanitis? Aut quomodo non eos quæritis, qui vos à tam peruerſo iudicio imprudentiáque liberent? Atqui propter eiuſmodi ſocordiam, ac negligentiam, non propter Coniunctionum ignorationem plena ſunt fora pugnantibus, ac concertantibus. Et cum eos dixeris, qui corpus exercent, animæ curam abiiciunt, aliud eiuſmodi facere: eam quidem partem, cuius imperium eſt, negligere: ei verò ſtudere quæ alteri ſubdita eſt. Item quo quis vti neſciat, melius eſſe ſi ab vſu illius abſtineat. Igitur qui medicamentis vti neſciat, conſultius facturum, ſi non vtatur, ſed Medico permittat: & qui Tibiis canere neſciat, ſi Tibicini: qui equo neſciat, Equiti: ſimiliter qui ſe ipſo vti non norit, ei vt in ſeruitute degat, quam in libertate, multo melius eſſe: ſic, tanquam nauigij, mentis ſuæ gubernacula alteri committenti, qui regendorum ac moderandorum hominum artem ſibi compararit. Hæc enim & alia eius generis à Socrate & Platone, velut præconibus, pronuntiata eiuſmodi non ſunt, vt ei quidem prodeſſe poſſint, alteri noceant, quod in multis corporum medicamentis euenit. Sed & Oratorem & priuatum, & Ducem, egenum item, ac diuitem, iuuenem, ac virili ætate præditum, & ſenem meliores atque ad virtutem capeſſendam audaciores efficere poſſunt. Communia enim omnibus hominibus auxilia ſunt, atque remedia, & ex æquo nobilibus, atque iis quorum cenſus quingentorum medimnorum

καὶ ἀγνοεῖτε, οὐδὲν τῶν δεόντων πράττοντες; οἵ τινες χρημάτων μὲν πέρι ἁπασῶν σπουδὴν ἔχετε ὅπως ὑμῖν ἔσται· τῶν δὲ νέων οἷς ταῦτα παραδώσεται, οὐδεμίαν ἐπιμέλειαν ποιεῖσθε, ὅπως ἐπιστήσονται χρῆσθαι δικαίως. οὐ δέ γε πρότερον ὑμᾶς αὐτοὺς οὕτως ἐθεραπεύσατε· ἀλλ' ὁρῶντες γράμματα καὶ ῥήματα καὶ ὀνόματα, ὑμᾶς τε αὐτοὺς καὶ τοὺς παῖδας ὑμῶν ἱκανῶς μεμαθηκότας, καὶ ἃ δὴ παιδείαν ἀρετῆς τελείας ἡγεῖσθε· κἄπειτα οὐδὲν ἧττον κακοὺς γιγνομένους περὶ τὰ χρήματα, πῶς οὐ καταφρονεῖτε τῆς νῦν παιδεύσεως, οὐδὲ ζητεῖτε οἵ τινες ὑμᾶς παύσωσι ταύτης τῆς ἀμουσίας; καίτοι διά γε ταύτην τὴν πλημμέλειαν καὶ ῥᾳθυμίαν, ἀλλ' οὐ διὰ τὴν ἄγνοιαν τῶν συνδέσμων, ἔμπλεά ἐστι τὰ δικαστήρια τῶν μαχομένων καὶ πολεμούντων. καὶ ὅταν λέγῃς τοὺς ἀσκοῦντας τὰ σώματα, τῆς δὲ ψυχῆς ἠμεληκότας ἕτερόν τι πράττειν τοιοῦτον, τοῦ μὲν ἄρξαντος ἀμελεῖν, περὶ δὲ τὸ ἀρχόμενον ἐσπουδακέναι· καὶ ὡς ὅτῳ τις μὴ ἐπίσταται χρῆσθαι, κρεῖττον ἐᾶν τὴν τούτου χρῆσιν. ὅστις οὖν μὴ ἐπίσταται χρῆσθαι φαρμάκοις, ἄμεινον αὖ εἴη μὴ χρώμενος, ἀλλὰ τῷ ἰατρῷ ἐπιτρέπων· καὶ ὅστις αὐλοῖς μὴ ἐπίσταται, τῷ αὐλητῇ· καὶ ὅστις ἵπποις, τῷ ἱππικῷ· καὶ ὃς δὴ ἑαυτῷ χρῆσθαι μὴ γινώσκει, δούλῳ ἄμεινον ἢ ἐλευθέρῳ διάγειν τῷ τοιούτῳ τὸν βίον ἐστὶν ἄρα, καθάπερ πλοίου παραδιδόντι τὰ πηδάλια τῆς διανοίας, ἄλλῳ τῷ μαθόντι τὴν τῶν ἀνθρώπων κυβερνητικήν. ταῦτα γὰρ δὴ καὶ ὅσα τοιαῦτα τῶν Σωκράτους καὶ Πλάτωνος κηρυγμάτων, οὐ τὸν δεῖνα μὲν ὀνήσειεν ἄν, τῷ δεῖνι δὲ ἂν γένοιτο πρὸς κακοῦ, καθάπερ τὰ πολλὰ τῶν ἐπὶ τοῖς σώμασι φαρμάκων, ἀλλὰ καὶ ῥήτορα καὶ στρατηγὸν καὶ ἰδιώτην, πενόμενόν τε αὖ καὶ πλουτοῦντα, νέον τε καὶ ἀκμάζοντα, καὶ πρεσβύτην, βελτίους ἂν ποιήσῃ καὶ θαρραλεωτέρους πρὸς ἀρετήν. κοινὰ δὴ πᾶσιν ἀνθρώποις βοηθήματα καὶ ὠφελήματα, καὶ οὐ προσήκει μόνοις τοῖς εὐπατρίδαις, καὶ τοῖς πεντακοσιομεδίμνοις

ἢ τοῖς ζευγίταις, οὐδὲ ἀπὸ τιμημάτων αὐτὰ ἀκουστέον. ἀλλ' εἴπερ ἐφίει ὁ νόμος συνιέναι τοῦ ἐνιαυτοῦ εἰς ἐκκλησίαν σὺν γυναιξὶ καὶ παισὶ ἄθροον τὸν δῆμον, τηνικαῦτα ἐχρῆν τὴν τοιούτων λόγων παρακαλεῖν τὸν ἐλευθεριώτερα καὶ δημηγορεῖν. ὅσῳ γὰρ ἂν λέγῃ ἐν πλείοσι καὶ ἀθροωτέροις, τόσῳ δὲ αἰσιμώτερος δόξει καὶ ἐχεγγυώτερος τοῖς ἀκούουσιν. οὐδὲ ὥσπερ ἐπαινούμενοι μετὰ πλειόνων εὐφραίνονται ἧττον οἱ ἄνθρωποι, οὕτω καὶ ἐπιπληττόμενοι ἢ νουθετούμενοι· ἀλλ' ἐνταῦθα δὴ ἡ κοινωνία πολὺ ἀφαιρεῖ τοῖς ἀκούουσι καὶ τῆς ὑποψίας, ἣν πᾶσα ἐφέλκεται φύσει ἐπιτίμησις καὶ νουθεσία. καὶ ὥσπερ ἐν ταῖς στρατιαῖς, ὅσα μὲν παραγγέλλει ὁ στρατηγὸς ἅπασι τοῖς στρατιώταις, αὐτίκα ἔργου ἔχεται ἕκαστος καὶ ἁμιλλᾶται διενεγκεῖν τοῦ παραστάτου. ὅσα δὲ ἑνὶ καὶ δυοῖ, μακρῶν μὲν αὐτῷ δεήσει λόγων, μακρᾶς δὲ ὑποτάξεως, μεγάλου δὲ τοῦ ἄθλου ἐπὶ τῷ ἔργῳ. ταὐτὸν γὰρ καὶ ἐπὶ ταῖς συμβουλαῖς οἱ ἄνθρωποι ὑπομένουσι· εἰ μὲν ἀπολαβὼν ἕνα τὸν δεῖνα, τῶν πλουσίων τε καὶ μακαρίων δοκούντων, καὶ ἀποστησάμενος ἐν γωνίᾳ, σμικρᾷ τῇ φωνῇ καθάπτοιτο καὶ νουθετοίη· ὅτι ὦ θαυμάσιε μᾶλλον προσήκει ἑκάστῳ τὴν ψυχὴν πολὺ ἀξίαν κατασκευάζεσθαι ἢ τὴν οἰκίαν· σὺ δὲ τοὺς μὲν τοίχους ἐγγέγραφας πολλὰ καὶ ποικίλα, τὴν ψυχὴν δὲ ἄγραφον περιορᾷς, ὥσπερ γραμματεῖον ἀληλιμμένον. καὶ τὸν μὲν αἰδρῶνα ἀνεπίξεστον καταλιπεῖν οὐκ ἀνέχῃ πειθόμενος Ἡσιόδῳ τῷ ποιητῇ· τὸν νοῦν δὲ ἀνεπίξεστον περιφέρειν πρᾶγμα οὐδὲν ὑπολαμβάνεις; ταῦτα οὖν εἰ μὲν μόνῳ ἐπιτιμώης, ὑπόψεται καὶ ἀπεχθανεῖται, καὶ λοιδορίαν νομιεῖ τὴν νουθεσίαν· εἰ δὲ ἀνατεινάμενος τὴν χεῖρα καὶ τὰ αὐτὰ ταῦτα μεταρρυθμίσας πρὸς τὸ πλῆθος δημηγορίης, δέξεται μὲν οὐδὲν ἧττον ὁ ἄνθρωπος καὶ ὀνήσεται, σὺ μὲν τοίνυν τὸν δεῖνα ἔσῃ μεμψόμενος, ἢ τὸν δεῖνα, ἀλλὰ τὸ πλημμέλημα νουθετήσας.

minorum eſt, aut ſecundi cenſus ciuibus congruunt. Nec pro facultatum ratione audienda ſunt illa, ſed ſi quotannis in concionem cum vxoribus ac liberis frequentem Populum conuenire Lex permitteret, tum eiuſmodi proponere ſermonem oporteret, qui ordinatoris ac concionatoris inſtar eſſe poſſit. Nam quo in plures ac frequentiores diceretur, eo & efficacior videretur, & maioris apud Auditores authoritatis, & fidei. Non enim quemadmodum cum pluribus laudati minus gaudent homines, ita iuſſi aliquid, aut admoniti. Verum hîc communio ipſa plurimum de dolore detrahit, ac ſuſpicione, quam natura ſua increpatio omnis, atque admonitio ſecum adfert. Ac quemadmodum in exercitibus quęcumque omnibus in commune militibus Imperator pręcipit, ea vnuſquiſque ſtatim exequitur, in eoque ſocium ſuum vincere atque excellere contendit: Si vero vni aut alteri præcipiat, non modo prolixiori ei ſermone opus eſt, ſed & magna pollicitatione, & magno quodam operis præmio: Idem in conſiliis dandis homines ſuſtinent. Siquidem enim beatorum ac locupletum hominum capiat aliquis, atque in angulum ſeducens ſubmiſſa voce caſtiget, ac reprehendat: Nimirum, ô egregie vir, magis conſentaneum eſt vnicuique, vt animam ſuam, quàm domum pretioſam efficiat: Tu vero cum in parietibus tuis multa ac varia depingas, animum tuum nullâ picturâ diſtinctum velvt tabulam quandam ſolo tectorio illitam relinquis. Cúmque cubiculum tuum rude & impolitum nolis relinquere, Heſiodo Poëtæ hac in re obtemperans, mentem tamen tuam impolitam circumferens intereſſe nihil putas. Hac ſi ſolum reprehenſione caſtiget, ſuſpectum habebit, & infenſus erit, ac commonitionem illam contumeliam interpretabitur. Sin ille manum attollens, eademque ipſa commutans, apud populum concionando dicat, nihilo hic quidem minus mordebitur, atque vtilitatem capiet; tu vero non hunc illúmve reprehenderis, ſed peccatum ipſum ac crimen redargueris.

Ineſt enim in ſermonum medicamentis ſanè nouum illud & admirandum, quod nihil neceſſe ſit, eum, qui vel triuerit, vel temperarit, ipſummet ad ægros accedentem cataplaſmate imponere, vel illinere. Verum hic cùm in medio infirmorum hominum ea poſuerit, tum qui ægritudine maxime tenetur, tametſi occultum penitus morbum, atque in viſceribus ipſis foueat; etſi id mortales omnes ignorent, prodit ipſe ſeſe, atque è turba proſilit, & medicamentum arripit, & ſi quid habeat morbi, medicamine illo gaudet, ac medela fruitur. Quòd ſi pertinaci atque inſanabili morbo ſit affectus; ſi pugnare ac conuitiari paratus ſit, non ſibi ipſi, nec ægritudini ſuæ, ſed ei qui medicamentum præpararit, & id pro ſolertia humanitatéque ſua in commune protulerit, conuitietur ſanè, & infenſus reddatur. Verùm neque Medicum propterea deficere par eſt, & ab ægris diſcedere, quod pauci omni arte ſuperiorem morbum habeant; nec Philoſophos non in multos verba facere, quòd inter multos Mammacuthus aliquis & Cyrebio nihil ex oratione vtilitatis ceperunt. Quod niſi ita eſt, age verò per Muſas, atque Apollinem, paulatim adeuntes iſtud ipſum ſpectemus, & inquiramus, quomodo ſibi hæc inuicem conſentanea ſint; ab eademque ſententia & mente profecta ambo videantur: Naturæ ſocietatem, atque humanitatis ſtudium amare, ac prædicare, multáque argumenta percenſere, quibus hoc conficiatur: Homines à Deo maximè erga ſe inuicem affectos, ac beneuolos præ cæteris animantibus eſſe procreatos. Ipſos vero qui ita dicunt, inhumana quædam atque inutilia cogitare, nec communitati hominum conſuli ſinere: ad quam potiſſimum, virtutem omnem oratio noſtra comparauit. Et Prometheum quidem laudare quemcumque demum fuiſſe Prometheum illum putemus, quòd ſolitarios ac ſingulares homines non finxerit, tanquam Lupos, atque Pardos: ipſoſmet vero coram hominum multitudine vertigine corripi, quemadmodum Agreſtes illi quos docuit Pherecrates:

καὶ γὰρ δὴ τοῦτο ὑπάρξει ξένον καὶ ἄτοπον λίαν τοῖς ἐκ τῶν λόγων φαρμάκοις· ὅτι οὐδεμία ἀνάγκη αὐτὸν προσιόντα τῷ κάμνοντι τὸν πείσαντα ἢ κεράσαντα καταπλάττειν ἢ ἐπαλείφειν· ἀλλ' ὁ μὲν εἰς μέσον φέρων κατέθετο μυρίων ἀνθρώπων ἐγκαθημένων· ὃς δ' ἂν μάλιστα ξυνέχηται τῇ ἀρρωστίᾳ, κἂν πάνυ ὕπουλόν τι νόσημα τρέφῃ καὶ ἐν τῷ βάθει, κἂν ἅπαντες οἱ ἄνθρωποι ἀγνοῶσιν, αὐτὸς ἑαυτὸν ἐξελέγξει, καὶ ἀναπηδᾷ ἐκ τοῦ ὁμίλου καὶ ἀντιλαμβάνεται τοῦ φαρμάκου· καὶ εἴ τι νοσοίη, χαίρει τῷ φαρμάκῳ καὶ ἀπολαύει τῆς ἰατρείας. εἰ δὲ ἀμετάστατα καὶ ἀνήκεστα λοιδορεῖν τε καὶ ἀπεχθάνεσθαι καὶ πολεμεῖν ἑτοιμός ἐστιν οὐχ ἑαυτῷ οὐδὲ τῷ ἀρρωστήματι, ἀλλὰ τῷ σκευάσαντι τὸ φάρμακον καὶ εἰσενέγκαντι εἰς τὸ κοινὸν ὑπὸ δεξιότητος καὶ φιλανθρωπίας, ἀλλ' οὔτε τὸν ἰατρὸν ἀπαυδᾷν χρὴ καὶ ἀφίστασθαι τῶν καμνόντων, ὅτι ὀλίγοι κάμνουσιν ὑπὲρ τὴν τέχνην, οὔτε τοὺς φιλοσόφους μὴ διαλέγεσθαι τοῖς πολλοῖς, ὅτι ἐν τοῖς πολλοῖς ὁ Μαμμάκυθος καὶ ὁ Κυρηβίων οὐκ ὀνίνασθον ὑπὸ τοῦ λόγου. ἢ κατὰ Μουσῶν καὶ Ἀπόλλωνος ἀτρέμα οὑτωσὶ προσιόντες σκοπῶμέν τε καὶ ἐξετάζωμεν, ὅπως συνέσεται ταῦτα ἀλλήλοις, καὶ μιᾶς γνώμης φανεῖται καὶ διανοίας τὸ κοινωνικόν τε καὶ φιλάνθρωπον τῆς φύσεως καὶ ἀγαπᾶν καὶ ὑμνεῖν, καὶ πολλὰ τεκμήρια καταλέγειν, ὅπως τοὺς ἀνθρώπους μάλιστα ὁ θεὸς ἀπαθεῖς τε καὶ εὔνους ἀλλήλοις ὑπὲρ τὰ λοιπὰ ζῶα ἐδημιούργησεν· αὖθις δὲ ἀπάνθρωπα καὶ ἀνήμερα διανοεῖσθαι καὶ τῷ κοινῷ ἀσυμβούλοις εἶναι ἐπιχειρεῖν, πρὸς ὃ μάλιστα συνέπασε τὴν ἀρετὴν ἡμέτερος λόγος· καὶ ἐπαινεῖν μὲν τὸν Προμηθέα· ὅν τινα δὴ καὶ ὑπολαμβάνειν χρὴ ὅτι οὐκ ἐποίησε τοὺς ἀνθρώπους μονήρεις τε καὶ μονοτρόπους ὥσπερ τοὺς λύκους ἢ τὰς παρδάλεις· αὖθις δὲ ἰλιγγιᾶν πρὸς τὸ πλῆθος, καθάπερ τοὺς Ἀγρίους οὓς ἐδίδαξε Φερεκράτης·

καὶ τῇ μὲν φωνῇ ἡμᾶς ὁμολογεῖν· διὰ δὲ τοῦτο πολυτελεστέρᾳ κεχρῆσθαι, ἵνα μὴ μόνον σιτία καὶ ποτὰ καὶ ἱμάτια καὶ ὑποδήματα· ἀλλὰ καὶ τἆλλα τὰ ἐν τῇ ψυχῇ ἔνδον διανοῶμεν, μεταδιδῶμέν τε καὶ μεταλαμβάνωμεν παρ' ἀλλήλων· ἀλλαττόμενοι διὰ τῶν ὀνομάτων ὥσπερ νομισμάτων· αὐτοὺς δὲ στεγανοὺς καὶ ἀφώνους διατελεῖν καὶ ἀπροσηγόρους τῷ δήμῳ ᾧ συνοικοῦμεν, καὶ λέγουσιν ἔν τισι λόγοις, ταύτας οἰκήσεσθαι ἄριστα, καὶ εὐδαιμονήσειν τὰς πόλεις, ἐν αἷς ἅπαντα κοινὰ ἔσται τῶν ἐνοικούντων, καὶ προϊέναι πόρρω, καὶ μὴ ὀκνεῖν οὐ μόνον τὴν γῆν ποιεῖν κοινὴν καὶ τὰς οἰκίας καὶ τὰ σπέρματα, καὶ τὰς ἀμπέλους, οὐδὲ τὸ ἀργύριον, οὐδὲ τὸ χρυσίον· ἀλλὰ καὶ τοὺς παῖδας κοινοὺς καὶ τὰς γυναῖκας· αὐτοῖς δὲ τὰ αὐτῶν ἔργα καὶ τὰ ηὑρήματα ἀποκρύπτεσθαι ἐν τοῖς κιβωτίοις, καὶ τὸν μὲν λόγῳ ἐξελαύνειν Ἐπίκουρον τὸν Νεοκλέους, καὶ ἐκβάλλειν τοῦ τῶν σοφῶν καταλόγου, ὅτι Ἐπίκουρος ἐπῄνει τὸ λάθρα βιώσας, καὶ ἔθετο δόγμα, μὴ φύσει εἶναι τὸν ἄνθρωπον κοινωνικόν τε, καὶ ἥμερον· τῶν δὲ ἔργων ἐπαινεῖν τὴν γνώμην καὶ τῆς φύσεως αὐτῆς ἀνηκουστεῖν φανερώτερον. εἰ γὰρ δή τι κοινὸν ποιητέον ἢ κτῆμα ἢ ἔργον, καὶ ὃ μάλιστα πολυαρκέστατόν τε ἀνθρώποις καὶ πολὺ ὠφελέστατον παρεσκεύαζεν ὁ θεός, οὐ γῆ τοῦτ' ἐστιν, οὐδὲ βοῶν ἀγέλαι, οὐδὲ βοσκήματα, οὔτε μὴν πυροί, οὔτε οἶνος, οὔτε ὄσπρια, ἀλλὰ λόγος ὁ ἔξω ῥέων ἀπὸ τῆς ψυχῆς. τῶν μὲν γὰρ οὐχ οἷόν τε κοινῇ ἀληθινῶς ἀπολαύειν· ἀλλὰ ἀναγκαῖον κατακερματίσαντας ἢ κατατεμόντας τὸ κοινὸν τέως πολλὰ ἴδια ἀποφῆναι. τὸν λόγον δὲ εἰς ἄκρον ὁ δοὺς ἡμῖν ἐμηχανήσατο, ὅπως ἂν ἐξαρκοίη διόλου κοινὸς τοῖς χρωμένοις· καὶ μὴ παραιροῖτο χωρὶς ἑκάστῳ ἐν τῇ ἀπολαύσει, ὥστε οὐκ ἐντρεπόμεθα αὐτοῦ τῆς φύσεως οἰκουροῦντες. καὶ δέος εἰ μᾶλλον κατειργνύοιμεν καὶ βιαζοίμεθα διολέσθαι αὐτὸν παντάπασιν, καὶ ἀφανισθῆναι. ἡ γὰρ φυλακὴ αὐτοῦ καὶ ἡ σωτηρία ἐν κοινωνίᾳ.

Atque etiam modo exquiſitiore nos oratione vti fateri, vt ne cibum tantum, atque potum, aut veſtes, atque calceos, ſed etiam quicquid in animo noſtro cogitamus, impertiamur, & accipiamus mutuo, nominum id, velut numorum, beneficio inuicem permutantes; & eoſdem tamen tectos atque mutos perſiſtere; itaque cum populo degere, nullo vt eum pacto compellemus. Aut illud: quibuſdam in ſermonibus eas Reſp. optimo in ſtatu, ac felices fore dicere, in quibus omnia inter ciues erunt communia; ac longius adeo progredi; nec dubitare non modo commune facere ſolum, communes domos, atque ſemina, vites, argentum & aurum: ſed & liberos inſuper, & vxores: interim vero opera noſtra ingeniique fœtus in capſulis occultare: ac verbis quidem tenus Epicurum Neoclis filium expellere, atque è numero eiicere; quod is dictum illud; Occultus viue; commendaret, atque hoc dogma ſtatueret; Non eſſe hominem natura ſocietatis appetentem; aut manſuetum; reipſa vero factiſque eius ſententiam comprobare, multoque apertius naturam ipſam non audire. Nam ſi quæ alia vel poſſeſſio, vel opus haberi communiter debet, quod præcipuè in confertam quam ſufficientiſſimum atque vtiliſſimum à Deo fabricatum eſt, non eiuſmodi terra, vel boum armenta, vel pecora, ſed neque triticum, aut vinum, aut legumina ſunt; ſed Oratio potius, quæ foras ex animo noſtro progreditur. Siquidem illis vti communiter omnes re vera non poſſumus. Sed neceſſe eſt, vt minutatim diuiſo ſectóve eo quod commune hactenus fuerat, priuata multa ac propria faciamus. Orationem vero præ aliis omnibus eiuſmodi is qui dedit, excogitauit, vt commune aliquid iis qui vterentur, eſſe perpetuo poſſet, nec cum ea fruendum eſſet, ſeorſum ad ſingulos perueniret. Quare nihil eius naturam vereamur, cùm minimè domi permanemus; imo metuendum potius eſt, ne, ſi claudamus ac violenter detineamus, pereat illa funditus atque euaneſcat; quoniam vnica eius conſeruatio atque ſalus in communione poſita eſt.

Quòd ſi perpetuo intus maneat, nec vnquam, velvt quodam partu edita, foras erumpat, licet natura immortalis ſit, cum genitore ſuo pariter extinguitur. Porro vnaquæque res vegeta cumprimis ac bene habita redditur; ſi non impetus illius ac naturæ geſtientis alacritas retundatur, atque obcæcetur alacritas. Quocirca ſi quis ita natura comparatus eſt ſermo, vt in caligine ac tenebris augeatur, & creſcat, nec vel ad paucos exeat, hoc ei libenter permittimus, nec progredi ſinimus, ſed in latibulis hęrentem conſeneſcere, ac conſumi iubemus. Sin media in luce ac ſplendore pennas emittere, ac ſeruari velit, cur non eum tectis detrahimus, ac totas fores pandimus? Planè enim cum Oratio ſit, ſciet ad quem, & quando, & quomodo prodeundum. Neque enim Tibicines ideo reprehendimus, quod publicè canant, nec Oratores, quod publicè dicant; ſed quod inutilia, quæque ad virtutem minimè ducant, illi concinant, hi dicendo proſequantur. Et vero quicumque liberos ab vxoribus editos in ſolitudinem exponunt, eos vituperamus ac probris afficimus, quaſi iniuriam Reip. faciant, cùm eam ciuibus fraudent, quos genuerunt: neque eos nutriant, nec legionarios forſitan futuros, aut fundibularios, aut velites, ad illius vſum præparent. Quod ſi idem ille multo liberis omnibus meliores ac dignitate pręſtantiores ſermones in tenebris defodiat, ac concludat, velvt ſpuriam & adulterinam prolem, nec in publicum producat, quo ſuam ob tales liberos felicitatem palam demonſtret, nonne is maleuolentiori in Remp. animo erit, publicáque imprecatione dignus? Alterum quippe è duobus neceſſe eſt, vt vel Politicæ orationes nullę ſcribantur, quinetiam Plato & Ariſtoteles ob eius rei ſtudium rideantur: aut vbi ſcriptis huius generis argumenta commiſeris, in vias abiicias, eámque fortunam ac conditionem, quam ſortita fuerint, æqui boniq; conſulas. Porro illis vel vt extēplo præ incuria ac ſquallore pereāt, continget, vel vt ab aliquo ſublati perperam oſtententur.

Quemad-

οὐδὲ κατέμεινε τὸν ἅπαντα χρόνον, καὶ οὐ παρεδύη ἔξω ἐκ τῶν ὠδίνων· καίτοι ἀθάνατος ὢν σχεδὸν ἀποσβέννυται τῷ γεννήσαντι. ἕκαστον δὲ εἰς ἀκμὴν εὐθαλεῖ καὶ εὐθηνεῖται, εἰ μὴ κωλύεται αὐτοῦ μηδὲ ἀποτυφλοῦται ἡ ὁρμὴ καὶ ἡ προθυμία τῆς φύσεως. εἰ μὲν οὖν ἐν σκότει καὶ ζόφῳ πέφυκεν αὔξεσθαι λόγος καὶ ἐπιδιδόναι, μηδὲ πρὸς τοὺς ὀλίγους ἐκφοιτᾶν αὐτῷ συγχωρῶμεν μηδὲ παρακύπτειν ἐφίωμεν, ἀλλὰ κελεύωμεν αὐτὸν ἐνδεδυκότα τοῖς φωλεοῖς καταγηράσκειν καὶ δαπανᾶσθαι. εἰ δὲ ἐν φωτὶ καὶ αὐγῇ ἐθέλει περιφύειν καὶ σώζεσθαι, τί οὐκ ἀφελοῦμεν αὐτῷ τὸν ζόφον καὶ ἀναπετάννυμεν ὅλας τὰς πύλας; πάντως γὰρ εἴσεται λόγος ὢν πρὸς τίνας τε, καὶ ὁπότε, καὶ ὅπως ἐξηγητέον. οὐδὲ γὰρ τοῖς ποιηταῖς, ὅτι ἐν κοινῷ ᾄδουσιν, ἐπιτιμῶμεν, οὐδὲ τοῖς ῥήτορσιν ὅτι ἐν κοινῷ ῥητορεύουσιν ἀλλ' ὅτι * ἀνωφελῆ ἄγῃ παρὰ κατ' ἀρετήν, οἱ μὲν ᾄδουσιν οἱ δὲ λέγουσιν. καὶ μὲν δὴ ὅσοι τοὺς παῖδας οὓς τίκτουσιν αἱ γυναῖκες ἐκτιθέασιν εἰς ἐρημίαν, ψέγομεν καὶ ὀνειδίζομεν, ὅτι ἀδικοῦσι τὴν πόλιν ἀποστεροῦντες αὐτῆς τοὺς πολίτας· οὓς ἐγεννήσαντο οὐ τρέφοντες, οὐδὲ παρασκευάζοντες ὁπλίτας ἐσομένους τυχὸν ἴσως ἢ σφενδονήτας ἢ γυμνήτας. εἰ δὲ τοὺς ἀμείνους τις καὶ σεμνοτέρους ἢ παῖδας τοὺς λόγους κατορύττοι ἐν σκότῳ καὶ ἀποκλείοι ὥσπερ τὰ νόθα καὶ μοιχίδια τῶν ἐκγόνων, καὶ μὴ παράγοι εἰς τὸ κοινὸν ἐπιδώσων τὴν εὐπαιδίαν, πῶς οὐχὶ μᾶλλον δεινός τε ἂν εἴη τῇ πόλει καὶ τῆς ἀρᾶς ἄξιος τῆς δημοσίας; καὶ γὰρ δὴ δυοῖν θάτερον ἀναγκαῖον, ἢ μηδένα γράφειν λόγους πολιτικούς, ἀλλὰ καὶ Πλάτωνος καὶ Ἀριστοτέλους καταγελᾶν ἐπὶ ταύτῃ τῇ προθυμίᾳ· ἢ κατατιθέμενον ἐν τοῖς γράμμασι τὴν τοιαύτην ἰδέαν, ῥιπτεῖν ἐν ταῖς ὁδοῖς τὴν τύχην ἣν ἂν λάχωσιν ἀγαπήσαντες. τοῖς δὲ συμβαίνει ἂν ἢ μαραίνεσθαι παραχρῆμα ἀθεραπεύτοις καὶ ἀκοσμήτοις, ἢ δείκνυσθαι κακῶς ὑπ' ἄλλων ἀναληφθέντας·

οἷα ποιμένων τινῶν καὶ βουκόλων περιτυχόντων ἐπ' ἐρημίας, καὶ ἀνελομένων παῖδας βασιλικούς, ἔπειτα ὑποβαλλομένων τε καὶ ἐκτρεφόντων τῆς φύσεως ἀναξίως. ἀτεχνῶς γὰρ δὴ τοῦτο συμβαίνει τοῖς λόγοις, οὓς ἂν ὁ μὴ γεννήσας αὐτοὺς δεικνύῃ καὶ τιθηνῆται, καὶ ὡς ἐγέννησεν οὕτως ἐκτρέφῃ, συμπνέων τε καὶ ὁμοπαθῶν ταῖς ὠδῖσιν, ἀλλ' ἕτεροι λαμβάνοντες ἐν ταῖς χερσὶν ἀπαριθμοῖεν, οὐκ ἐνιέντες τὸν νοῦν τοῖς ὀνόμασιν, οὐδὲ ἐνσημαινόμενοι τὴν φροντίδα, μεθ' ἧς ὁ πατὴρ αὐτοὺς ἐτεκνώσατο, πρὸς θεῶν. Εἰ δὲ αἰσθανομένη ἡ πόλις φιλοσοφίας ὅτι ἀτιμάζοι αὐτῆς τὴν συνουσίαν καὶ αἰσχύνοιτο ὡς * ἐπιζόνον, συνελθοῦσιν ὅ,τε δῆμος καὶ ἡ γερουσία, καὶ ἑλομένοις προηγόρους· πολλοὶ δέ που ὑμῶν κεκοινωνήκασι τῆς φιλοσόφου μανίας τε καὶ βακχείας· εἰ οὖν τούτων τινὰς προστησαμένη λέγοι πρὸς αὐτὴν καταπλομένη καὶ ὀνειδίζουσα, Ὅτι ὦ γενναία πῶς οὖν ἔτι ἀγανακτήσεις ὅστις σε ἀχρεῖον νομίζοι τῷ βίῳ τῷ ἀνθρωπίνῳ, πῶς δὲ ἐπὶ τῆς ἀχρηστίας κελεύσεις αἰτιᾶσθαι τοὺς μὴ χρωμένους, ἀλλ' οὐ σαυτήν; πῶς δὲ ναυκλήρῳ ὑποκώφῳ ἡμᾶς παραβάλλεις, κατακοιμηθέντι τε ὑπὸ μέθης, καὶ ἐπιτρέψαντι τὰ πηδάλια τοῖς ἀνεπιστήμοσι τῶν οἰάκων, ὅταν αὐτὴ μήτε ἄρχειν ἐθέλῃς μήτε ὁπλοφορεῖν μήτε βουλεύειν; ἀλλὰ καὶ ὃ μόνον σοι ἔστιν ἐν ῥᾳστώνῃ καὶ τούτου βασκαίνεις, καὶ μὴ ἐπιτρέπεις μετέχειν ἡμῖν τοῖς πολλοῖς, ἀλλὰ ζητεῖς ἀεὶ τειχία τε καὶ περιβόλους ἐν οἷς αὐτὴ ὑποστήσῃ τὸν κονιορτὸν καὶ τὴν ζάλην, ἡμῖν δὲ οὐ παραβάλλῃ, οὐδὲ ἐπαμύνεις κατὰ δύναμιν, καθάπερ ἀεὶ διατρίβουσα Ἀθήνησι καὶ πρὸς ἐκείνῳ τῷ δήμῳ καὶ τηνικαῦτα ἐνίκα. αὐτὸς κύριος ἦν καὶ ἀτάσθαλος διὰ τὴν ἐξουσίαν, καὶ ὑβριστής, καὶ ἤγετο ὑπὸ Ἀνύτου μᾶλλον ἢ ὑπὸ Σωκράτους. ἐμοὶ δὲ εὐήκοος μὲν ὁ δῆμος καὶ εὐπειθής, εὐαγωγότατός τε ἁπάντων. ἡμῶν καὶ εὐαλωτάτης ὑπὸ λόγου.

Quemadmodum ſi Paſtores aliqui vel bubulci in Regios pueros incidant, qui in ſolitudine quapiã deſtituti neglectique iaceant: tum eos pro ſuis ſupponãt, & nequaquam pro ſplendore natalium educent. Hoc enim fermè ſermonibus omnibus conuenit, quos quidem non ille qui genuit, proferat atque alat, cuiuſmodique genuit, efferat in lucem, cum iis conſenſu quodam atque affectione ex partu ipſo coniunctus, ſed alij in manus ſumentes dinumerent, neque nominibus ipſis ſenſum immittant, aut curam illam ac ſollicitudinem, quacum eos Parens in lucẽ edidit, impreſſam & inuſtã relinquant. Iã per Deos immortales: Si Ciuitas ipſa, hoc eſt, Populus ac Senatus, ſuum à Philoſophia congreſſum velut probroſum contemni ſentiens, vt eius perinde illam atq; aſinorum multitudinis alicuius pudeat; ac Patronos aliquos publicè conſtituẽs (sũt enim inter vos multi Philoſophici illius furoris afflatúſq; participes) ſi quos igitur ex eo grege producens per eos Philoſophiã inſimulet, iiſq; exprobrando verbis vtatur: Quo tu tandẽ iure in poſterum ei ſuccenſere poteris, qui te vitæ hominũ inutilẽ iudicabit? aut quòd nullo illis vſui ſis non illud tua culpa fieri dicere, ſed eorũ, qui te ad vſum non adhibeant? Nos autem quomodo cum ſurdo nauis gubernatore comparabis, qui prę ebrietate ſopitus moderãdi gubernaculi imperitis clauum commiſerit? Tu enim neque Magiſtratum capere vis, nec arma ferre, nec iuuare conſilio. Quinetiam quod vnum tibi expeditum ac facile eſt, hoc ipſum nobis qui de vulgo ſumus, inuides, nec communicari nobiſcum pateris. Ipſe vero munitiones ac ſepta tibi proſpicis, in quæ abditus puluerem ac procellam ſuſtineas, neque nos præſidio defendis tuo, ac pro viribus protegis. Quaſi Athenis, & in huius populi medio perpetuo verſeris, atque illo potiſſimum tempore, quo cum rerum penes illum poteſtas eſſet, ob eam cauſſam inſolentem ſe & iniurioſum præberet, atq; ab Anyto potiùs quàm à Socrate duci ſeſe pateretur. Meus vero cũ ad audiendum obſequendumque paratus eſt populus, tum præ cæteris quocumque velis oratione flecti ſe tractariq; ſinit.

Iam Senatus, qui eo potiſſimum genere gaudet & exultat, tibi cur contemnendus viſus eſt, vt apud illum publicè diſputare turpe iudicares? Quiquidem te non alterius rei gratia honore ac dignitate ſecum adæquauit: & ex omnibus terræ mariſque regionibus exciuit, atque enixè rogans in Senatorium conſeſſum introduxit. Non vt ſibi Scenicos in Ludos ac Circenſia ſpectacula ſumptū faceres (hoc enim ab infinitis hominibus ſummo animi ſtudio ac contentione ſuſcipitur) ſed vt ipſis ornamentum pariter & vtilitatem afferres, ac de illis bonis aliquid impartires, quorum te profiteri ſtudium exiſtimat. Tu vero negas te cum ea conſuetudinem aut colloquium habituram, aut vniuerſis ſimul conuiuium daturam: aut aliam denique conditionem recepturam quàm vt ſinguli clam ad ædes tuas ventitēt. Quaſi de pręparatis cibis, obſonio ac potu videlicet agatur, quæ vni dumtaxat alterique ſufficiant, pluribus vero ſatis eſſe nequeant. Atqui in plures diſperſæ orationes minimè conſumuntur. Ad hæc cur hominibus imponis, præſertim quæ tanti veritatem facias? Sic enim aſſeris: Duas penes te eſſe Sapientiæ partes, quarum altera ad diuina, altera ad humana perducat. Quod poſtremum trifariam diſtribuiſti. Nā vnum eſt opus tuū, quod priuatim ad vnumquēq; hominum cōparatur, vt honeſtus ac probus efficiatur. Alterum ad conſtituendam totius alicuius domus felicitatem pertinet. Tertium, idemque præcipuum, ad quod tendunt diriguntur que reliqui, ad ciuitatis vniuerſæ populique curam & adminiſtrationē refertur. Hinc eſt quod & Leges ac Reſpublicas deſcribis, tam quę in rerum natura ſunt, quā quę eſſe finguntur. Quaſdam etiam ad mores hominum corrigendos ſanctiones cōſtituis. Quamobrē Legum Tabulas alias in Varia Porticu, alias in Academia, alias in Lyceo propoſitas habes. Nos autē de toto illo primo genere nihil tecum cōtendimus, neq; hoc tibi negotiū imponimus, nobis vt explices, cur ſtellæ omnes nō eaſdē cū cœlo conuerſiones habeāt, ſed nōnullę ſint, neq; perpaucæ, quę cōtrario motu ac reliquæ & quidē numero plures agitantur.

ἡδ' οὖν γεωργίᾳ μάλιστα γέγηθε καὶ ἀγαλλομένῃ, τί δή ποτε παρεωλέα σοι ἐνομίσθη καὶ αἰσχρὸν τὸ διαλέγεσθαι αὐτῇ δημοσίᾳ; ἡ αὐτὴ μέν σε οὐκ ἄλλου τούτου χάριν ἐμότιμον ἐποιήσατο καὶ παρακαλεῖ ἐξ ἁπάσης γῆς καὶ θαλάσσης, καὶ λιπαροῦσα εἰσάγεται εἰς τὸ συνέδριον· οὐχ ἵνα αὐτῇ χορηγοίης εἰς θέατρα καὶ ἱπποδρομίας (μυρίοι γὰρ οἱ πρὸς αὐτὰ ἁμιλλώμενοι καὶ φιλονεικοῦντες) ἀλλ' ἵνα κόσμος τε ἧς σφίσιν καὶ ὠφέλεια, καὶ μεταδίδοις τῶν ἀγαθῶν ὅσα οἴεταί σε ἐπιτηδεύειν· σὺ δὲ οὐ φῇς συνελθοῦσα αὐτῇ ὁμιλήσειν οὐδὲ ἑστιάσειν ἀνθρώπους εἰ μὴ χωρὶς ἕκαστος εἰς τὴν οἰκίαν λανθάνων φοιτῴη· ὥσπερ ἀτεχνῶς σιτία καὶ ὄψα καὶ ποτὰ παρεσκευασμένα ἃ ἑνὶ μόνον καὶ δυεῖν ἱκανά, πλείοσι δὲ οὐκ ἀποχρῶντα. ἀλλ' οἱ λόγοι οὐκ ἀναλίσκονται εἰς τοὺς πλείους. τί δὲ καὶ ἐξαπατᾷς τοὺς ἀνθρώπους; καίτοι ἐν μεγάλῳ τὴν ἀλήθειαν ποιουμένη· καὶ λέγεις μὲν ὅτι σοι τῆς σοφίας δύο μοῖραι εἰσίν, ἡ μὲν πρὸς τὰ θεῖα ἄγουσα, ἡ δὲ πρὸς τὰ ἀνθρώπινα. τριχὰ δὲ διείλω καὶ ἐκόσμησας. καί σοι ἓν μὲν ἔργον τέτακται ἐφ' ἑνὶ ἑκάστῳ χωρίς· ὅπως ἂν καλός τ' ἀγαθὸς ἀπεργασθῇ. ἕτερον δὲ καθότι οἰκία συνόλη γένοιτ' ἂν εὐδαίμων. τρίτον δὲ καὶ μέγιστον καὶ πρὸς ὃ τὰ λοιπὰ συντετάχθαι φασὶ καὶ ἀπευθύνειν ὡς πόλεώς τε ὅλης ἐπιμελεῖσθαι καὶ δήμου. καὶ ἀπὸ τούτου ξυγγράφεις νόμους τε καὶ πολιτείας ἀνυποθέτους τε καὶ ἐξ ὑποθέσεως, καὶ αὖ πρὸς διόρθωσιν ἑτέρους ὁρῶντας· καὶ ἀνάκεινταί σοι κύρβεις οἱ μὲν ἐν τῇ ποικίλῃ, οἱ δὲ ἐπὶ τῆς Ἀκαδημίας, οἱ δὲ ἐν Λυκείῳ. ἡμεῖς οὖν τῆς μὲν μιᾶς ξυνόλης μοίρας οὐκ ἀμφισβητοῦμεν οὐδὲ κελεύομεν σε πραγμάτων ἔχειν, ὅπως ἂν ἐξηγήσαιο, διότι οὐχ ἅπαντες οἱ ἀστέρες συμφέρονται ἅμα τῷ οὐρανῷ· ἀλλ' εἰσὶν οἱ ὀλίγοι ὄντες εἰς τοὔμπαλιν ἰέναι τοῖς πλείοσιν ἐπιχειροῦσιν.

ἢ διά τι αὐτὸς οὗτος ὁ μέγας οὐρανὸς ἐνθένδε ἐκεῖσε πορεύεται, καὶ οὐκ ἄμεινον αὐτῷ ἐφαίνετο ἐπὶ θάτερα· οὐ δή αὖ τί σοι ἐμφανὲς κατέστη καὶ οὐρανῷ αἰωτέρῳ. ἀλλ' οὐδὲ τὰ ἐγγὺς ἡμῶν καὶ χαμαίζηλα καὶ ἐν ποσὶ βροντῶν τε πέρι καὶ ἀστραπῶν καὶ ὑετῶν καὶ πνευμάτων· οὐδὲ τί ὑπομένουσα ἡ χιὼν, λευκὴ οὕτως ἐστὶ καίτοι ἐξ ὕδατος πεπηγυῖα. οὐδὲ τί παθοῦσα ἡ χάλαζα τοῦ μὲν χειμῶνος οὐ καταπίπτει, θέρους δὲ τὰ πολλὰ, καίτοι ψυχρότητι ὑπερβάλλουσα. μηδὲ ὑπὲρ τῆς ἴριδος ἡμᾶς διδάσκειν, πότερον ἴνδαλμά ἐστι καὶ δόκησις τῶν ὀμμάτων, ἢ τὰ χρώματα αὐτῇ ἀληθινὰ καὶ ἡ ποικιλία· μηδὲ ὑπὲρ τῆς θαλάττης, καθότι ἁλμυρὰ ὑπὸ τῶν ποταμῶν ποιουμένη· μηδὲ ὑπὲρ τῆς γῆς αὐτῆς, ὅπως βρίθει τε εἰς τὸ κάτω, καὶ ἵδρυται ἐν μετεώρῳ. ἀλλὰ ταῦτα ἀποκείσθω σοι ἄπαντα ἐν τῷ διδασκαλείῳ πρὸς τοὺς συνήθεις ὁμιλητάς, ὡς ἡμεῖς τε δυσμαθέστεροι ἴσως καὶ ἀφηλικέστεροι ἤδη τῆς ὑψηλοτέρας σοφίας. ὅπως δὲ γένοιτ' εἷς ἀνὴρ εὐδαίμων, καὶ ὅπως σύμπασα οἰκία, καὶ οἵοις χρωμένη πόλις ἐπιτηδεύμασιν ὀρθοῖτο ἀεὶ, διά τι οὐ δημοσίᾳ κηρύττεις, καὶ εἰ οἷόν τε ἀναβᾶσα ἐπὶ σκόπελον ὑψηλόν; ὅπου γὰρ ἂν λέγῃς, οἱ πολλοὶ ἡμῶν ἀκούσονται, ἧττον μὲν ὑβρισταὶ, ἢ Θρασύμαχος, ἧττον δὲ αὐθάδεις· ἢ Πῶλος, ἧττον δὲ ἀναίσχυντοι ἢ Καλλικλῆς, τυχὸν δὲ καὶ ἧττον ῥᾳδιουργοὶ ἢ Ἀλκιβιάδης· ἧττον δὲ καὶ βίαιοι ἢ Κριτίας. ἀμαθὴς δὲ οὐδεὶς οὕτως ἐν τῷ δήμῳ τῷ ἡμετέρῳ, οἷον τὸ Μένωνος ἀνδράποδον, ᾧ καὶ διάγραμμα ἐσαφήνισας μόλις ἐπαΐοντι τῆς Ἑλληνικῆς διαλέκτου. καίτοι τὴν ἀναγκαίαν ῥητορικὴν οὐκ ἄλλου του ἕνεκεν μεταχειρίζῃ, ἢ τοῦ ἄγειν τοὺς πολλοὺς ἐφ' ὅ τι ἄν σοι δοκῇ κάλλιον εἶναι, καὶ ἀντίστροφον αὐτῆς τὴν διαλεκτικὴν ὀνομάζεις· καὶ φὴς ἀμφότερα σεαυτῷ προσήκειν ὄργανα εἶναι· τὸ μὲν ὥστε καθ' ἕνα χρῆσθαι, τὸ δὲ ὥστε ἀθρόον δῆμον. καὶ πρὸς ἐπιλέγεις ἡμῖν τὴν αἰτίαν δι' ἣν σοι ἀναγκαῖον

Vel cur ingẽs ille cœli globus ab hac in illam partẽ potius quã cõtrario modo rapiatur. Neq; porrò quid de ſuperiorib. cœlo ſpatiis à te cõpertũ fuerit. Ac ne propinquiora illa quidẽ nobis & infima, & ante pedes abiecta vt ediſſeras petimus, nimirum de tonitruis, fulgetris, pluuiis ac ventis. Neq; cur tantus inſit in niue candor, cũ ex aqua concreta ſit: Aut cur nulla per hiemẽ grãdo cadere ſoleat, quę æſtate frequentiſſima eſt, cũ ſit illa tamen frigidiſſima. Nec de cœleſti Arcu doceri à te volumus; vtrumnã inane quoddã ſimulacrũ ſit, ac ſpecies falſo oculis obiecta, an veris colorib. nec emẽtita illa varietate cõſtet: ſimiliter nec de Mari audire à te volumus, vndenã ſalſum ſit, cũ à fluminib. alia qualitate affici videatur. Nihilo etiam de Terra magis explicari à te volumus, cur vna & deorsũ vergat, & in ſublimi tamẽ ſuſpenſa ſit. Hæc omnia ad Scholas ac diſciplinæ tuæ alumnos à te reſeruãda ſunt. Nos enim fortaſſis ad ea quæ altioris ſunt ſapientiæ, perdiſcẽda, & ingenio tardiores, & ingraueſcente iam ætate minus idonei ſumus. At illud, quemadmodũ beatus eſſe vnus quiſpiam poſſit; ſiue domus vniuerſa: tum quibus inſtitutis præclarè Ciuitas adminiſtretur, quin publicè palámque, ac, ſi fieri poteſt, etiam conſcenſa ſublimi aliqua ſpecula pronuncias? Quocumque enim loco verba feceris, complures è noſtris audient qui & minùs contumelioſi ſunt quàm Thraſymachus, & minus Polo contumaces, minus impudẽtes quàm Callicles; atque etiam minus fortaſſe ad facinus prompti quàm Alcibiades, minúſque quàm Critias violenti. Nemo autem in populo noſtro adeò eſt imperitus ac rudis, vt Menonis mancipium illud, quod cùm Gręcè vix ſciret, Mathematicam vt figurã intelligeret, ægre perfeciſti. Atqui egregiam illam dicendi facultatem nõ aliam ob cauſſam tractare inſtituis, niſi vt ad id quod pręſtantius duxeris, vulgus hominum impellas; atq; illi quoq; velut altera ex parte reſpondentem Dialecticã nominas, & eas ambas ad te pertinere, ac quædam inſtrumẽta eſſe predicas: quorum alterum ſingulis captandis, alterũ vniuerſo populo aptũ ſit & efficax. Quin etiã cauſſam nobis afferre ſoles propter quã idoneis illis ad perſuadendũ ſermonib. adhibẽda

à te neceſſario-opera ſit. Nimirum quòd plerique illis ducantur, & afficiantur, atque aures accommodent; veros autem haud facilè, niſi præparatis antea ipſorum animis, admittant. Atque hæc cum dicis, vna & Coracem ac Tiſiam & Theodorum Byzantium derides, quod exigua quædam ac leuia ad hanc artem à ſe excogitata contulerint. At tu contra tota re altius repetita doces quemadmodum perſuaderi dicendo poſſit: nec in eiuſmodi artificium negligentius quàm in naturæ contemplationem incumbis. Cúrnam igitur arma illa iam à te præparata tanquam inutilia deponis? Cur ea ipſa quæ deſpicis, & cum probro coniuncta iudicas, artificioſè moliris? Non enim, opinor, idem te erga Rhetores ſuſcepiſſe dixeris, quod Lyræ opifices erga Citharœdos ac Tibicines faciunt; vt ipſa quidem inſtrumenta procudas, eorundem tamen vſum aliis artibus permittas. Sic equitis miniſter eſt is, qui frænos facit; & Pharmacopola Medici, & gubernatoris nauium fabricator. Quid eſt porrò quod cum eos moleſtè feras, qui in contentionibus ac Sophiſticis cauillationibus occupantur, non earum tractandarum ſed refutandarum artem inſtituis? Rhetoricam verò cum improbes, de ea nihilominus ita multa conſcribis, vt Mnemoſynes theſauros omnes impleas? Ac ſimul vtilem illam ac multis opportunitatibus refertam eſſe prædicas, nec eandem per tete tamen, velvt inutilem ac ſuperuacaneam exerces. Adeo ingentium illorum animorum, quos pridem gerebas, eiuſque quod tibi merito vendicabas, es oblita; cùm illius artis poſſeſſionem non aliis quam ſodalibus tuis vſurpare permitteres, neque tum verebare ne quis te cum Lyſis ac Thucydide contendentem iuueniliter efferri crederet. Tum ſcilicet cùm repudiatis illis ac propemodum vapulantibus vna cum Gorgia & Antiphonte Periclem dumtaxat & Aſpaſiam tanquam perfectos Oratores & grandiloquos laudares, quod ex Anaxagoræ loquacitate eiuſmodi quædam in Oratoriam artem inuexiſſent.

Etenim

ἐπιμελεῖσθαι τῶν πιθανῶν λόγων. ὅτι οἱ πολλοὶ τούτοις μὲν ἄγονται καὶ κηλοῦνται καὶ ὑπέχουσι τὰ ὦτα, τοὺς δὲ ἀληθεῖς οὐ παραδέχονται εὐπετῶς μὴ προειργασμένοι τὰς διανοίας. καὶ ταῦτα λέγουσα Κόρακος μὲν καὶ Τισίου καταγελᾷς, καὶ Θεόδωρον σκώπτεις τὸν Βυζάντιον, ὡς μικρὰ ἄττα καὶ ὀλίγου ἄξια εἰς τὴν τέχνην προεσταμένους. αὐτὴ δὲ ἄνωθεν διδάσκεις ὅπως ἄν τις πειθὼ δημιουργοίη. καὶ ὅτι ῥαθυμότερόν σοι ἐκπεπόνηται αὐτὴ ἡ περὶ φύσεως θεωρία. τί οὖν παρασκευαζομένη τὰ ὅπλα κατατίθης ὡς ἄχρηστα; τί δὲ τεχνάζεις ἃ περιφρονεῖς καὶ ἐπονείδιστα ὑπολαμβάνεις; οὐ γὰρ δὴ ὅμοια φαίης ἂν πρὸς τοὺς ῥήτορας ὑπομένειν, ὁποῖα πρὸς τοὺς κιθαριστὰς καὶ τοὺς αὐλητὰς οἱ λυροποιοί, τὰ μὲν ὄργανα ἐκπορίζουσα, χρῆσθαι δὲ ἑτέροις ἐπιτρέπουσα τὸ ὄργανον τοῖς χρωμένοις. καὶ ὑπηρέτης ὁ μὲν χαλινοποιὸς τοῦ ἱππέως, ὁ δὲ φαρμακοπώλης τοῦ ἰατροῦ, ὁ δὲ ναυπηγὸς τοῦ κυβερνήτου. ἔτι δὲ τοὺς μὲν περὶ τὰς ἔριδας διατρίβοντας δυσχεραίνουσα, οὐ τέχνην ὑφηγῇ λόγων ἐριστικῶν, ἀλλ' ἐλέγχους; ῥητορικὴν δὲ ἀποδοκιμάζουσα, ὅμως ἐμπίπλης τῶν παρ' αὐτῆς ξυγγραμμάτων τὰ ταμεῖα τῆς μνημοσύνης. καὶ διδάσκεις μὲν, ὡς ἐπωφελῆ καὶ χρειώδη· οὐκ αὐτουργεῖς δὲ ὡς περίεργον καὶ ματαίαν. οὕτως ἐκλελησμένη εἶ τοῦ φρονήματος, οὗ πάλαι ἐφρόνεις, καὶ σεαυτὴν ἐν δίκῃ ἠξίους· οὐδὲ ἄλλῳ τῳ συγχωροῦσα μεταποιεῖσθαι τῆς τέχνης ἢ μόνοις τοῖς σοῖς θιασώταις· καὶ τηνικαῦτα οὐ κατώκνεις οὐδὲ ἐδεδοίκεις μή τίς σε μειρακιεύεσθαι ὑπολάβῃ ἁμιλλωμένην κατά που Λυσίαν καὶ Θουκυδίδην. καὶ τοὺς μὲν ἀποσκορακίζουσάν τε καὶ μόνον οὐχὶ ἐπιρραπίζουσαν αὐτῷ Γοργίᾳ καὶ Ἀντιφῶντι, Περικλέα δὲ ἐπαινοῦσαν μόνον καὶ Ἀσπασίαν, ὡς ῥήτορας τελεσιουργούς τε καὶ ὑψηλολόγους, ὅτι ἐκ τῆς Ἀναξαγόρου ἀδολεσχίας ταῦτα προσηλκύσαντο εἰς τὴν τέχνην.

ὅρα γὰρ καὶ οἷα πεισόμεθα καὶ ὡς χαλεπὰ ἡμᾶς ἐργάσῃ, εἰ τὴν μὲν ὠφέλιμον ῥητορικὴν ἔχουσα αὐτὴ ἀποκρύψῃ, παρήσῃ δὲ ἡμᾶς τῷ τετάρτῳ τῆς κολακείας τεμάχει τῷ εἰδώλῳ τοῦ μορίου τῆς πολιτικῆς, ὃ ἀντίστροφον ὀνομάζεις ὀψοποιίας. εἶτα τῶν μὲν σκιαμαχούντων ἐπὶ τοῦ βήματος ὑπὲρ Κίμωνος ἢ Νικίου ἢ Μιλτιάδου· καὶ μινυριζόντων ἐν τοῖς παραλόγοις, ἤγουν ἐπαίνοις, καὶ χελιδόνων καὶ ἀηδόνων, σπουδῇ ἁλισκόμενοι ἀκροασόμεθα· λόγου δὲ κέντρον ἐγκαταλιπεῖν δυναμένου, πρὸς ἀρετὴν οὐδέπω ποτὲ ἀπολαύσομεν; ἀλλ᾽ ἀφίης νέμεσθαι ἡμῶν τὴν φιληκοΐαν, καὶ καταπρέχειν τοῖς καταχηλοῦσι λόγοις καὶ γοητεύουσιν ὥσπερ αἱ σειρῆνες, καὶ οὐκ ἀντιτάττεις αὐτοῖς περιελθοῦσα τὸν ὄρθριον νόμον, οὐδ᾽ ἐξεγείρεις ἐπιβοήσασα καὶ ἀποστρέφεις καταβουκολουμένους ὑπὸ τῶν εἰδώλων καὶ τῆς ἀκάρπου πιθανουργίας· οὐδὲ ἀποκλύζεις τὸ λεγόμενον καὶ ἀπονίπτεις ποτίμῳ τὴν ἁλμυρὰν ἀκοήν; ἀλλ᾽ Ὁμήρου μὲν ὑφορᾷ καὶ δυσωπῇ τὴν γοητείαν, ὡς ἀλλοκότους ἐμποιοῦσαν δόξας περὶ θεῶν· αὐτὴ δὲ οὐδὲν ἀντεισάγεις ἀλεξιφάρμακον τοῖς θεάτροις. οὐδὲ μῶλύ τι ἐξευρίσκεις οἷον ἐκεῖνος παρὰ τοῦ Ἑρμοῦ δίδωσιν Ὀδυσσεῖ, ὡς διαφύγῃ τῆς Κίρκης τὴν μαγγανείαν; καίτοι χαριέντως γε ἀκούομεν ἀποκρίνασθαι Καρνεάδην πρὸς τὸ μειράκιον τὸ ἐρώμενον, εἰ καὶ σοφὸς παιδικῶν ἐρασθήσεται· Ὅτι δεινὰ μὲν τ᾽ ἂν πάθοιτε ὑμεῖς οἱ καλοὶ εἰ μόνοι περὶ ὑμῶν σπουδάζουσιν οἱ αἰσχροί. τλημονέστερον δὲ δήπου καὶ τὸ * ὀρνμίων πάθος εἰ τῶν μὲν Ἀριστείδου ἐγγόνων ἀκροασαμένοις, τῶν Πλάτωνος οὐδεὶς ἐάσει. μὴ πρὸς θεῶν ὦ γύναια μὴ ἀποκάμῃς, ἀλλ᾽ ἐπάμυνε τάχιστα ὧδε ῥήτορας. ἑταῖρος οὕτω κακῶς * ἐπιχήσεταί φησι Σωκράτης, ὅτ᾽ ἂν ἡμᾶς τοσούτου δέοντας εὐεργετήσῃς. μηδὲ εὐλαβοῦ τοὺς σκώπτοντας καὶ κωμῳδοῦντας· πολὺ γάρ τοι πλείους ἡμεῖς οἱ χάριν εἰσόμενοι καὶ ὀνησόμενοι ἀφ᾽ ὧν ἂν λέγῃς.

Etenim vide quænam à te quámque incommoda patiemur, ſi fructuoſam illam Rhetoricem occultans ac diſſimulans, in quartam nos Adulationis partem conijcias, quę Ciuilem ſcientiam ſimulacri inſtar mentita condimentariæ arti quadam ex aduerſo ſimilitudine reſpondet. Itáne vero? Nos Declamatores iſtos, qui pro Cimone, aut Nicia, aut Miltiade vmbratiles pugnas è ſuggeſto ſuſcipiunt, aut vêris præconium, ſiue hirundinum ac luſciniarum, in Procemiis decantant, illorum ſuauitate deliniti ſtudioſè auſcultabimus? Oratione interim, quæ aculeos ad complectendam virtutem poſſit relinquere, nulla vnquam perfruemur? Verum blandos illos, ac Sirenum more demulcentes ſermones noſtra illa audiendi cupiditate paſcere ſeſe atq; in ea verſare pateris, nec in medium prodiens ex aduerſo ſublatiſſimum carminis modum occinis? Non tuis illos clamoribus excitas, ac vanis imaginibus, & infructuoſo blandæ vocis lenocinio deceptos reuocare contendis: nec dulci ac potabili, vt in Prouerbio eſt, oratione ſalſas illorum aures eluis? Sed Homericas præſtigias, vtpote quæ de Dijs abſurdas opiniones ingenerant, ſuſpectas habes ac refugis, ipſa vero nullũ in Theatrorum gratiam aduerſus illas remedium opponis: Non Moly aliquod excogitas, quale illud extitit, quod apud Homerum Vlyſſi Mercurius porrigit, cuius ope veneficia Circes effugeret? Atqui ſcitè admodum adoleſcentulo cuidam reſpondiſſe Carneadem accipimus, ſciſcitanti ecquid ſapiẽs puerorum amore caperetur: Malè, inquit, cum formoſis vobis agatur, ſi à ſolis inſipientibus amemini. Sed longe erit conditio noſtra deterior, ſi cum Ariſtidis poſteros audiamus, Platonis itidem audire nemo permittat. Quamobrem per Deos immortales! caue tibi, optima Philoſophia! faſtidium obrepat, ac quam celerrimè hoc in loco oratores vlciſcere. Non malus tibi ſocius adiungetur, ait Socrates, cùm nos tanta re indigentes beneficio iſto deuinxeris. Nec mordentes, atque inceſſentes metue. Multo enim plures ſumus, qui tibi gratiam habebimus, & ex iis quę dixeris, vtilitatem capiemus.

At tu nihil iſtos curato, ſed Pythium Apollinem imitare. Ille enim non ſolùm vnicuique hominum ſeparatim, verumetiam populis vniuerſis in medio terræ atque vmbilico ſedens reſponſa reddit. Neque cum oracula effert, id admodum perpendit, quòd in concione Athenienſium ea non modo Themiſtocles auditurus ſit, ſed & Hyperbolus lucernarius, & Melitides fatuus. Quanquam quid Apollinem commemoro? Vides hunc Solem Apollinis progenitorem, qui bono proportione quadam ac ſimilitudine reſpondet? Nonne hic tibi Deus quotidie videtur ſuam oſtentare ſapientiam, non in Pnycem aliquam populum congregãs, nec in Thymelẽ, Athenis circumiens, velvt olim Gorgias, ſed in maximũ illud, veréque Olympicum Theatrum? In quo vniuerſos homines conuocãs atque congregans, edocet atque exponit quandonam ſementem facere oporteat, quando meſſem: quando racemorum habenda cura ſit. Tum quando nauigare commodum ſit, aut ad fumum appẽdenda gubernacula. Quin & multo iis minora præſcribit: eáque fermè quę ſcribuntur à Philoſophis, de agendis rebus, aut non agendis. Hęc ille omnia multo clariùs atque euidẽtiùs declarat, quando ad forum eundum ſit, quando domum redeundum, quando vigilare, quando ſomnum capere melius ſit. At homines, hanc eo ſapientiam oſtendente cum voluptate obtemperant, eiuſque decreta non verbis ſed factis ipſis admirãtur. Parent enim, atque exequuntur quicquid ille faciendum ſignificet, ac præcipiat. Nihil eſt verò quod prohibeat quominus multi ſtatim atque apparuit, morem gerant, ac ſurgant, operiſque aliquid exequantur: Sardanapalus vero ac Smindyrites interim dormiant, tametſi media in luce verſentur, quam Deus iſte velvt ſui quoddam ſpecimen oſtentat. Non aliter, opinor, ac cùm Sophiſtæ dicunt, attentè audiunt alij, alij non attendunt.

σὺ δὲ τούτοις μὲν μὴ παρέσχεν, μιμεῖσθαι δὲ τὸν Ἀπόλλωνα τὸν Πύθιον. ἐκεῖνος οὐ μόνον χρᾷ εἰς ἑκάστῳ ἀνθρώπῳ, ἀλλὰ καὶ δημοσίᾳ ἀνθρώποις ἐν μέσῳ τῆς γῆς ἐπὶ τοῦ ὀμφαλοῦ κείμενος, ἐξηγεῖται, οὐδὲ φιλοχρινεῖ ἀναιρῶν τοὺς χρησμούς, ὅτι ἀκούσονται αὐτὴν ἐν τῇ ἐκκλησίᾳ τῇ Ἀθηναίων οὐ μόνον Θεμιστοκλῆς, ἀλλὰ καὶ Ὑπέρβολος ὁ λυχνοποιός, καὶ Διοκλῆς ὁ λωποδύτης, καὶ Μελιτίδης ὁ ἀνόητος. καὶ τί σοι λέγω μὲν τὸν Ἀπόλλω; ὁρᾷς τουτονὶ τὸν Ἥλιον τὸν πάρεδρον τοῦ Ἀπόλλωνος, ὡς τὸ ἀγαθὸν ἀνάλογον αὐτῷ; ἢ οὐ δοκεῖ σοι ὁ θεὸς οὗτος δημοσίᾳ ἐφ' ἑκάστης ἡμέρας ἐπιδείκνυσθαι τὴν σοφίαν; οὐκ εἰς τὴν Πνύκα συλλέγων, οὐδ' εἰς τὴν Θυμέλην παρὼν Ἀθήνησιν, ὥσπερ ὁ Γοργίας, ἀλλ' εἰς τὸ μέγα θέατρον τοῦτο καὶ ἀτεχνῶς Ὀλύμπιον, ἐν ᾧ συγκαλῶν καὶ ἀγείρων πάντας ἀνθρώπους διδάσκει τε καὶ ἐξηγεῖται, ὁπηνίκα μὲν δέοι σπείρειν, ὁπηνίκα δὲ φυτεύειν, ὁπηνίκα δὲ ἀμᾶν, ὁπηνίκα δὲ τῶν βοτρύων ἐπιμελεῖσθαι· καὶ ὅτε πλοΐζεσθαι εὔκαιρον, καὶ ὅτε κρημνύειν ὑπὲρ καπνοῦ τὰ πηδάλια. λέγει δὲ καὶ ἔτι μικρότερα ὅσα σχεδόν τι οἱ φιλόσοφοι γράφουσι ἐν τοῖς ποιητέοις καὶ οὐ ποιητέοις. ταῦτα ἅπαντα ἐκ τοῦ οὐρανοῦ ἄνωθεν τρανώτερόν τε καὶ ἀριδηλότερον ἐξηγεῖται, καὶ ὁπότε βαδιστέον εἰς ἀγοράν, καὶ ὁπότε οἴκαδε ἐπανιτέον· καὶ πηνίκα ἄμεινον ἐγρηγορέναι, καὶ πηνίκα ὕπνῳ ἐπιτρεπτέον. οἱ δὲ ἄνθρωποι μεθ' ἡδονῆς ὑπακούουσιν ἐπιδεικνυμένου ταύτην αὐτοῖς τὴν σοφίαν, καὶ θαυμάζουσι τὰ διδάγματα, οὐ τῷ λόγῳ ἀλλὰ τῷ ἔργῳ. πείθονται γὰρ καὶ ὑπουργοῦσιν ὅ,τι ἂν σημήνῃ καὶ παραγγέλλῃ. οὐδὲν δὲ κωλύει τοὺς πολλοὺς πείθεσθαι εὐθέως φανέντι καὶ ἐξανίστασθαι καὶ ἐνεργοὶ εἶναι. Σαρδανάπαλον δὲ καὶ Σμινδυρίδην καθεύδειν καὶ ἐν μέσῳ ὄντος τοῦ θεοῦ τῇ ἐπιδείξει, ὥσπερ οἶμαι καὶ ἐπὶ τῶν σοφιστῶν, οἱ μὲν παρέχουσιν, οἱ δὲ οὔ.

ΦΙΛΑΔΕΛΦΟΣ, Η ΠΕΡΙ φιλανθρωπίας.

ΛΟΓΟΣ ΕΚΚΑΙΔΕΚΑΤΟΣ.

Οὐδὲ πώποτε ὦ βασιλεῦ, ἀναγκαίαν εἶναί μοι τὴν διάλεκτον τὴν κρατοῦσαν ὑπολαβών, ἀλλ' ἱκανὸν νομίσας τὴν πάτριον καὶ Ἑλληνικὴν ἀποχρώντως μεταχειρίζεσθαι· νῦν εἴπερ οἷόν τε ἦν, διαμειψαίμην ἂν τὴν γλῶτταν κατὰ τοὺς πρὸς ἐκείνοις τῆς λέξεως ἐπιστήμονας, ὥστε μὴ δι' ἀλλοτρίας φωνῆς ὑμῖν συγγενέσθαι. ὅμως δὲ καὶ τοῦτο εὐμήχανον ἄλλως, οὐκ ἐνιαυτοῦ μοι δεήσει πρὸς ἐμπειρίαν τῶν συνήθων ὑμῖν ῥημάτων, ὥσπερ πάλαι Θεμιστοκλεῖ τῷ Νεοκλέους. ὁ μὲν γὰρ οὐ χρηστὰ νοῶν, εἰκότως οὐδένα προσῄρητο ἐξηγητὴν, ὑπὲρ ὧν ἔμελλε τῷ βασιλεῖ διαλέγεσθαι· ἐγὼ δὲ εὐξαίμην ἂν ἅπαντας ἀνθρώπους γενέσθαι διακόνους μοι καὶ ἑρμηνέας τοῦ μέλλοντος λόγου· οὕτω πέποιθα μᾶλλον τῇ διανοίᾳ τῶν ῥηθησομένων, ἢ τοῖς ὀνόμασι. πάντως δὲ καὶ ὑμῖν κριτέον τοὺς λόγους, οὐ τὰ ῥήματα ἐξετάζοντας, ἀλλὰ τὴν γνώμην· καὶ μάλιστά γε τῶν τῷ φιλοσόφῳ πεποικιλμένων. ἔχει γὰρ οὕτως. Ἄνωθεν, ὦ βασιλεῦ, εὔνοια καὶ εὐμένεια βασιλείᾳ πρὸς φιλοσοφίαν ἐστίν. καὶ ἐπὶ τὴν αὐτὴν χρείαν κατέπεμψεν ὁ θεὸς ἀμφοτέρας εἰς τὴν γῆν ἐπιμελεῖσθαι καὶ ἐπανορθοῦσθαι τοὺς ἀνθρώπους, τὴν μὲν διδάσκουσαν, τὴν δὲ τὰ ἀγαθὰ χορηγοῦσαν.

HACTENVS EX INTERPRE-tatione noſtra: quæ ſequuntur ex Pantiniana Editione ſunt.

ORATIO XVI.

Petro Pantino interprete.

QVVM nunquam antehac vel ſuſpicari in mẽtem venerit, Imperatores, fore vt lingua quæ paſſim nunc obtinet, aliquando opus haberem, abundéque ſufficere exiſtimauerim, ſi patriam meam, hoc eſt Græcam, quãtum ſatis eſſet, excolerem; nunc tamen ſi eius rei facultas detur, libenter eam cum illis qui iſtius gnari ſunt, commutem: ne peregrino idiomate agere vobiſcũ neceſſe foret. At enim & hoc nobis facile fuerit; præſertim quum nec anno integro vt olim Themiſtocli Neoclis filio nobis opus ad id futurum ſit. Cæterum ille quòd minimè proba eſſent quæ animo agitabat, merito apud Regem verba facturus, nullum ſibi interpretem adſciſcendum ducebat. Ego cõtra mortales vniuerſos futuræ huius orationis mihi adminiſtros atque interpretes eſſe exoptem. Adeo re magis quam verbis eorum quę à me dicentur, confiſus aduenio. Et ſanè vobis quoq; tale iudicium de orationibus ferẽdum eſt, de illis præſertim quæ à Philoſophis habentur, vt non verba earundem, ſed ſentẽtiam imprimis perpendatis. Ita enim ſe res habet. Iampridem, Imperatores Auguſti! mutua Imperium inter ac Philoſophiam beneuolentia eſt, & animorum coniunctio: quippe quas ambas eundem ob vſum, hominibus ſcilicet curandis corrigendiſque Deus miſit in terram: hanc quidem quę bona ſunt, edocentem, illam verò hæc ipſa bona ſuppeditantem.

Hoc igitur ipſum probæ veſtræ indolis vel primum indicium eſſe reor, rei huiuſce præſtantiam à vobis ignoratam nequaquam fuiſſe, neque idem vobis quod pleriſque accidiſſe, qui propter ſpurios atque degeneres quoſdam, etiam germanis talium rerum aſſertorib. ſunt infeſti. Sed non ita vos, inquam, neque æquum cenſetis, vt venefici cum medicis, ſycophantæ cum oratoribus, aut perperam alia quapiam arte vtentes, cum illis qui probè ea vtuntur, comparentur. Quare nec à palatiis veſtris philoſophi pallium arcuiſtis; neque minori id apud vos in pretio, quàm aut Ducum exercitus, aut Satraparum dignitas. Nec ſanè Euripides, aut quiſquis tandem auctor huius verſus fuit,

Sapiunt Tyranni dum Sophos iungunt ſibi,

ſatis ſolidè mihi ſenſiſſe videtur. Nunquã enim alioquin philoſophiam tyrannidi amicam, neque res diuerſiſſimas, virtutem inquam atque improbitatem, tanquam conſentientes inuicem, poſſe cõſiſtere exiſtimaſſet. Nam vt atra bile perciti, ac furioſi, medicos ipſos à ſe excludũt: ita nec tyrannis ſapientiã admittit. Hinc Platonẽ Dionyſius vendidit, hinc Muſoniũ Nero proſcripſit, & fratricida Apollonium Tyaneum carceri incluſit. Eorundẽ quippe erat, vt videtur, vt in fratres, ita & in philoſophos impiè ſæuire, vt contra rurſum fraternam beneuolentiam ipſi philoſophię propriam ac maximè venerabilem eſſe neceſſum eſt. Quocirca longe etiam deteriùs idem Euripides, dum tyrannidem, Deam eſſe aſſerit, atque ita intra eoſdem culpę terminos conſiſtit. Quod enim ſapientiæ culmen ſeu potius ipſamet ſapientia ſit Deus, Euripidi oculos in cœlum ſuſtollenti diſcere licebat, docerique, quæ illic geruntur, non tyrannidis eſſe, ſed felicis regni felicia effecta, potentiæ ſuę copia non ad infinitam aliquam vim abutentis, ſed iuxta leges ſuas ſæculum vniuerſum tranſmittentis. Quas quidem leges ſemel ſibi poſitas ad cõſeruationem rerum, quæ vſquam exiſtunt, immotas obſeruat. Ordo enim non imbecillitatis ſed naturæ incommutabilis ac fixæ indicium eſt: & quicquid omnium propius ad ipſum accedit,

id ordi-

τοῦτο τοίνυν αὐτὸ πρῶτον ποιοῦμαι τῆς φύσεως τῆς ὑμετέρας σημεῖον· ὅτι τὴν εὐψυχίαν ταύτην οὐκ ἠγνοήσατε, οὐδὲ πεπόνθατε ταὐτὸν τοῖς πολλοῖς, οἳ διὰ τοὺς νόθους τοῦ πράγματος διαχεραίνουσι καὶ τοὺς γνησίους. ἀλλ' οὐχ ὑμεῖς· ἀλλ' οὐδὲ οἴεσθε προσήκειν τοῖς ἰατροῖς τοὺς φαρμακέας, οὐδὲ τοῖς ῥήτορσι τοὺς συκοφάντας, οὐδὲ ἄλλῃ τέχνῃ ἃ μὴ πέφυκε τῇ τέχνῃ χρωμένοις· καὶ διὰ τοῦτο τῶν βασιλείων οὐκ ἀπεληλάκατε τὸ τριβώνιον, οὐδὲ ἧττον ἔντιμον παρ' ὑμῖν στρατηγίας καὶ ὑπατείας. Εὐριπίδης μὲν γάρ, ἢ ὅστις δήποτε ἐστὶν ὁ ποιήσας,

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,

οὐκ ἦν οἶμαι πυκνῆς διανοίας· οὐ γὰρ ἄν ποτε εὔνουν ὑπέλαβε τυραννίδι φιλοσοφίαν, οὐδὲ τὰ ἀλλοτριώτατα ὁμοήθη ἀρετὴν ὑπάρχειν καὶ μοχθηρίαν. ἀλλ' ὥσπερ οἱ μελαγχολῶντες ἀποκλείουσι τοὺς θεραπεύοντας, οὕτω σοφίαν τυραννὶς οὐ προσίεται. Πλάτωνα γοῦν ἐπίπρασκε Διονύσιος, καὶ Νέρων Μουσώνιον ἐξεκήρυττε, καὶ εἶργε τὸν ἐκ Τυάνων ὁ ἀδελφοκτόνος. τῶν γὰρ αὐτῶν ἦν, ὡς ἔοικε, καὶ εἰς ἀδελφοὺς δυσσεβεῖν, καὶ εἰς φιλοσόφους. ὥσπερ γε τοὔμπαλιν ἀναγκαῖον, οἰκείαν καὶ ἔντιμον εἶναι φιλοσοφίᾳ φιλαδελφίαν. καὶ τοῦτο οὖν πρός γε ἔτι κάκιον, ὅταν θεὸν λέγῃ τὴν τυραννίδα· καὶ γὰρ οὕτως εἰς ταὐτὸν πλημμέλημα περιίσταται. ὁ γὰρ θεὸς ὅτι περ ἀκρότατον σοφίας, μᾶλλον δὲ αὐτὴ σοφία· ἐξῆν δὲ τῷ Εὐριπίδῃ ἀναβλέψαντι εἰς τὸν οὐρανὸν καταμαθεῖν καὶ διδαχθῆναι, καὶ ὅτι οὐ τυραννίδος ἐστὶ τὰ ἐκεῖ. ἀλλ' εὐδαίμονος βασιλείας εὐδαίμονα ἔργα, οὐ πρὸς ἐξουσίαν ἄπειρον χρωμένης τῇ τῆς δυνάμεως περιουσίᾳ· ἀλλὰ κατὰ τοὺς νόμους τῆς ἑαυτῆς διεξιούσης τὸν ἄπαντα αἰῶνα. οὓς αὐτὴ θεμένη πρὸς σωτηρίαν τῶν ὄντων, ἀκινήτους διαφυλάττει. τάξις γὰρ οὐκ ἀσθενείας σημεῖον, ἀλλὰ φύσεως ἀτρέπτου καὶ ἀκινήτου. καὶ ὅσον ἐκείνης τοῦ παντός ἐστιν ἐγγυτέρω,

τοῦτο μάλιστα τῆς τάξεως ἀπολέλαυκε· ἡ ταραχὴ δὲ, καὶ ὁ κλύδωνος, καὶ ὁ κυδοιμὸς, ἐν σμικρῷ μορίῳ τοῦ ἔτους· ἀλλ᾽ ὅσον διέλαμψεν κατ᾽ ἀσθένειαν, καὶ τῆς τοῦ εἶναι προρρήσεως ἐνδεέστερον. Ταύτης τῆς πολιτείας εἰκὼν, οὐχ ἣν Μίνως κατεστήσατο, οὐδ᾽ ἣν Λυκοῦργος ἐν Λακεδαίμονι, οὐδ᾽ ἣν οἱ πάλαι Ῥωμαῖοι, ἀλλ᾽ ἣν ὑμεῖς πολιτεύεσθε, ἣν ὑμεῖς ἐλάβετε ἐπιδιδόντος τοῦ θεοῦ. μὴ γὰρ οἴεσθε, ὦ γενναῖοι, τοὺς στρατιώτας κυρίους εἶναι τηλικαύτης χειροτονίας· ἀλλ᾽ ἄνωθεν αὕτη κάτεισιν ἡ ψῆφος, ἄνωθεν ἡ ἀνάρρησις τελευτᾷ (τοῦτο δέ φησιν Ὅμηρος· ἡ τοῦ Διὸς βουλή) ταῖς τῶν ἀνθρώπων διακονίαις. τοὐντεῦθεν οὖν ἡμέτερον ἐστὶ δεῖξαι τῷ θεῷ τοὺς στρατιώτας διαγνώσαντας. ὡς εἰ μὲν τῷ κράτει μόνῳ θαρσοίητε, δόξετε ἁπλῶς περὶ τῶν ὅπλων εἰληφέναι τὴν δυναστείαν. εἰ δὲ τῷ κατ᾽ ἀρετὴν ὑπερέχειν, ἐκ τοῦ οὐρανοῦ φανήσεσθε προβεβλημένοι. τοῦτο γὰρ τῆς ἐκεῖθεν χειροτονίας σημεῖόν ἐστιν. καὶ οὐ χρυσοῦς ἀετὸς, οὐδὲ γράμματα πολυτίμητά ἐστιν, οὐδὲ φλήναφοι, ἀλλὰ γνώμη πρὸς κατ᾽ ἐκεῖνον ἐρῶσα, καὶ πρὸς τὸν ἐκείνου ζῆλον συντεταγμένη. ὥσπερ οὖν ὑμῖν οὐκ ἀνεκτὸς ὁ δίχα τῶν ἡμετέρων συμβόλων ἀρχὴν ἐπιχειρῶν, οὕτως οὐδὲ τῷ θεῷ προσφιλὴς, ὁ δίχα τοῦ θείου γνωρίσματος ἐναψάμενος τὴν ἁλουργίδα. ὥστε τοῦτ᾽ αὖ εἴη τὸ γνώρισμα ἐπιδεικτέον. ἐπεὶ τὰ ἀνθρώπινα ἐφ᾽ ἡμῶν καὶ λίαν ἔξω τοῦ εἰωθότος. εἴτε γὰρ ἡ παρὰ τοῦ πλήθους ἀνάρρησις τὸ ἔντιμον ἔχει, εἴτε περὶ ἑνὸς τοῦ κρατοῦντος, ἄμφω ταῦτα ἐφ᾽ ἡμῶν συνδεδράμηκε. καὶ νικᾷ τῷ πλήθει μὲν ἑκάτερος, τῷ κρατοῦντι δὲ σύ, μᾶλλον δὲ καὶ ἡ τοῦ πλήθους ψῆφος εἰς σὲ περιήκει. ὃν γὰρ ἅπαντες ἄνθρωποι προεστήσαντο, οὗτός σε κοινωνὸν ἐποιήσατο, καὶ δεῖγμα ἐξήνεγκεν ἀκριβὲς τοῦ προκατηχθέντος αὐτὸς εἰληφέναι, τὸ μεταδοῦναι τῷ πάντα. ἀλλ᾽ ἐγὼ τὰ χαμόθεν οὐκ ἀγαπῶ, ἀλλὰ τὸν ἄνωθεν ἐπιζητῶ χαρακτῆρα· κἀκεῖθεν ἐσπούδακα ἠκουσμ

id ordinem cum primis ſortitum eſt. Turbatio autem, tumultus, & bellum, in exigua hac tantum vniuerſi particula eſt; quæ quantum illo propter imbecillitatem inferior, tantum ab exiſtentiæ appellatione abſcedit. Cuius quidem ciuilis in rerum natura gubernationis imago non illa eſt, quam Minos, non quam Lycurgus Lacedæmone, non quam veteres Romani conſtituerunt, ſed qua vos Rempubl. adminiſtratis, quámque Deo annuẽte accepiſtis. Neque vero exiſtimetis, viri generoſi, veſtræ huius electionis milites eſſe auctores. E ſuperis illa ſuffragatio deſcendit, è ſuperis imperij illa renuntiatio, hominũ dumtaxat opera accedente, perfecta eſt, & quod Homerus ait,

Iouis hoc ſententia agebat.

Proinde veſtri muneris eſt, reipſa oſtendere, milites Deo tantum obſequutos fuiſſe. Nam ſi in ſola potentia fiduciam ponatis, ſolis armis veſtrum hoc imperium acceptum tuliſſe videbimini; ſin autem in eo quod virtute præcellatis, è cœlo demiſſi apparebitis. Hoc enim illud veſtrę illinc electionis indicium, non aurea aquila, non litteræ quantiuis pretij, non nugæ aliæ: ſed animus cœlo intentus ad illius ſe imitationem componens. Quemadmodum ergo intolerabilis vobis haberetur, qui abſque veſtri conſenſus iudicio imperium inuaderet: ita nec Deo eſt gratus, qui abſque diuina prænotione ſibi purpuram induat. Quomodo autem diuina hæc prænotio in vobis eluceat, porro eſt oſtendendum. Nam humana omnia etiam longè vltra quàm fieri ſolet, abũdè expetũt. Siue enim electio à multitudine facta ornamentum habet, ſiue ab vno qui rerum potitur, ambo hæc in vobis concurrerunt. Et quidem vincit veſtrum alter multitudine, tu eo qui pręeſt. imo vt verius dicam, ipſum quoque multitudinis ſuffragium tibi acceſſit. Quem enim mortales vniuerſi rebus pręfecerunt, is te ſibi ſocium allegit; documentumque exactum dedit, ſe prius debitè accepiſſe, cum omnia tecum communicet. Cæterum humilib. hiſce minimè contentus, cœleſtem illum typum formamque inquiro, quam illinc veſtræ huic electioni interueniſſe,

vt oſtenderetur, à me hactenus eſt allaboratum: illámque diuinitus fuiſſe factam abundè mihi argumento eſt, mutuum inter vos ſtudium ac beneuolentia. Quum enim etiam paternæ hæreditatis ſucceſſores, & ex lege participes jam effectos cognatio ipſa ſæpè in odium inſanabile adduxerit, quid de vobis dicamus, qui nec iubente quidem lege, vnius naturę iura ſequuti, imperium tanquam paterna hæreditate acceptum modeſtè ac ſine ſtrepitu inter vos diuiſiſtis: quod alij iure patrimonij adepti mutuis cædibus diſtraxerunt? Quid enim, nonne ſcena veteribus harum rerum argumentis impleta fuit? aut nonne ſcenas omnes ſuperant, quę poſtea acciderunt? Et planè deficiat, ſi quis à principio adoleſcentes illos Thebanos, Pelopidas, Cambyſem, Neronem, Domitianum, & nupera illa, Seueri filium, trāſcurrere velit. Quos quum natura tam multiplici numero edidiſſet, ipſi ſua ſe opera ad ſolitudinem redegerunt, tantáque ſtirpis frequentia imperandi cupiditate à ſemetipſa conſumpta fuit. At verò ſi vobiſcum conferantur, exiguus Xerxes, exiguus Seleucus, exiguus Philetæri filius. Illi enim hoc ſolum nomine famæ celebritatem ſunt conſequuti, quod fratribus de regno ſecum contendentibus, humaniter vterentur: & tanquam incredibile quid Medus ille decantatur, quòd Ariameni, qui iudicio ſecum de paterno imperio diſceptarat, peperciſſet: Vt item Eumenes Attalo rebus nouis ſtudenti. Vos autem longè quid amplius fraternum amorem modeſtia & animi æquitate eſſe ſcitis. Non enim, quod neuter alterum vlla iniuria affeciſtis, merito gloriari vobis licet, ſed quod etiam mutuis inter vos beneficijs contendiſtis. Quamuis enim plus penes alterum huius beneficentiæ conſiſtat, nullo tamen modo id ipſum quod amplius, ſeiunctum ab eo quod minus eſt, cenſeri debet. Maximè cum is qui imperium cum altero communicauit, laboris ſibi conſortem adſciſcat, qui quod acceperit cognoſcat; non voluptatis, aut ignauiæ. vt contra qui ob talia purpuræ participem alterum reddit,

ἐπιδειχθῆναι. τέως οὖν ἱκανόν μοι τοῦτο τεκμήριον τοῦ πεφυκέναι θεόθεν τὴν ὑμετέραν χειροτονίαν, ἡ πρὸς ἀλλήλους εὔνοια καὶ σπουδή. ὅπου γὰρ τοὺς πατρῴαν διαδεξαμένους ἀρχήν, καὶ μείζους κατὰ νόμον αὐτῆς γιγνομένους, εἰς αἴσχιστον ἀπέχθειαν ἤγαγεν ἡ συγγένεια, τί ἂν εἴποι τις ἐφ' ὑμῶν, οἳ μηδὲ τοῦ νόμου παραναγκάζοντος τοῖς τῆς φύσεως δικαίοις ἠκολουθήσατε, καὶ διενείμασθε τὴν βασιλείαν ὡς πατρῷον κλῆρον ἡσυχῇ καὶ ἀψοφητὶ, ἣν ἕτεροι κλῆρον οὖσαν πατρῷον, δι' ἀλληλοφονίας μετῆλθον; καὶ γὰρ οὐκ ἐμπέπλησται μὲν ἡ σκηνὴ παλαιῶν δραμάτων; νικᾷ δὲ τὰς σκηνὰς τὰ νεώτερα. καὶ ἀπείποι ἄν τις ἄνωθεν ἐπιὼν τὰ μειράκια τὰ Θήβησι, τοὺς Πελοπίδας, τὸν Καμβύσην, τὸν Νέρωνα, τὸν Δομετιανὸν, τὸν τοῦ Σεβήρου, τὰ χθὲς καὶ πρῴην, εἰ τῆς φύσεως αὐτοὺς πολυπλασίους ποιούσης, ὑφ' ἑαυτῶν ἐμονώθησαν, καὶ τοσαύτη γένους πολυανδρία, ἔρωτι μοναρχίας ἐξηνάλωται ὑφ' ἑαυτῆς· πρὸς ὑμᾶς δὲ μικρὸν ὁ Ξέρξης, μικρὸν δὲ ὁ Σέλευκος, μικρὸν δὲ ὁ τοῦ Φιλεταίρου. οἱ μὲν γὰρ διὰ τοῦτο μόνον ἀοίδιμοι, ὅτι μετρίως ἐχρήσαντο τοῖς ἀδελφοῖς τῆς βασιλείας ἀμφισβητήσασι· καὶ καθάπερ ἄλλο τι τῶν ἀπίστων ᾄδεται μὲν ὁ Μῆδος φεισάμενος Ἀρειαμένους διαδικασαμένου πρὸς αὐτὸν περὶ τῆς πατρῴας ἀρχῆς. ᾄδεται μὲν Εὐμενὴς συγχωρήσας Ἀττάλῳ νεωτερίσαντι. ὑμεῖς δὲ ἔγνωτε πλέον τι εἶναι φιλαδελφίαν ἐπιεικείας. οὐ γὰρ ἐξ ὧν ἀλλήλους οὐκ ἠδικήσατε, ἀλλ' ἐξ ὧν ἀλλήλους εὖ πεποιήκατε, δικαίως ἂν φιλοτιμοῖσθε· καὶ γὰρ εἰ θατέρου τὸ πλέον τῆς εὐποιΐας, ἀλλ' οὐδαμῶς τὸ πλέον ἐκείνῳ κεχαρισμένοι. ἄλλως τε ὁ βασιλείας μεταδιδοὺς, ποίου μείζονος ποιεῖται τὸν γινώσκοντα οὐ μετείληφε, οὐχ ἡδονῆς, οὐδὲ ῥᾳστώνης. ὡς ὅτε ἐπὶ τούτοις κοινούμενος τὴν ἁλουργίδα,

οὐκ ἐᾷ ποιεῖ τὴν ἀρχήν. οὐ μόνον ἐκεῖνον, οὗ τῇ οἰκείᾳ τὴν χορηγίαν προστίθησιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας, οἷς ἀπολαύειν ἀνάγκη διπλασίονος τῆς προμηθείας. ἔτι δὲ, ὥσπερ οἱ στρατιῶται πλέον ἔχουσιν ἢ δεδώκασιν ἐκ τῆς ψήφου, οὕτω καὶ ὁ σὸς ἀδελφὸς προσλαβὼν, εἰ μὴ καὶ νῦν τὸ πλέον ὑπολαβητέον, ἀλλ' ἐκεῖνό γε ἀνεπίφθονον, ὅτι καὶ τοῦτο εἰς ἐκεῖνον ἐπαύξησιν ὃ προσήκατο. οὐ γὰρ ἀπεστέρηται τοῦ μέρους τῆς βασιλείας, ἀλλὰ τὸ βασιλέως εἶναι μείζω, προσείληφεν. βασιλέα μὲν γὰρ αὐτὸν οἱ στρατιῶται, μέγαν δὲ σὺ βασιλέα πεποίηκας· καὶ λαβὼν τὴν ἁλουργίδα, ἀντιδέδωκας ἑτέραν ψυχὴν, ἀντιδέδωκας ἕτερον σῶμα, καὶ ὁρᾷν πλείω, καὶ ἀκούειν, καὶ δημιουργεῖν ἅμα ἐν τοῖς μακρῷ διῳκισμένοις, καὶ δικάζειν ἐν ταὐτῷ Σύροις καὶ Βρεττανοῖς. καὶ τὸν μὲν Δία φησὶν ὁ ποιητὴς μεταφέρειν ἀπὸ τῆς Τροίας ἐπὶ τὴν Θρᾴκην τὸ ὄμμα, καὶ ταῦτα ἀντιπέρας οὖσαν. τῷ δὲ ἔνεστιν ἅμα τὴν Ἰταλίαν ὁρᾷν, καὶ τὸν Βόσπορον ἐπισκοπεῖσθαι, καὶ εἰ βουληθείη τὸν Ὠκεανὸν καὶ τὸν Τίγρητα ὑπολαβεῖν, ἅμα τῷ ὄμματι ἔχειν τὰς ἐσχατιὰς τῆς γῆς οὐδὲν κωλύσει. ἆρα σοὶ δοκεῖ δεδωκέναι πλέον, ἢ εἰληφέναι; καὶ νῦν ὑπάρχει τοῖς ὑπηκόοις τῆς Ῥωμαίων ἀρχῆς, καὶ πρὸς ἕω καὶ πρὸς ἑσπέραν, οὐχ ὁπλίταις οὐδὲ ἱππεῦσιν, ἀλλὰ βασιλεῦσι πεφράχθαι, καὶ βασιλεῦσιν ἀρτίοιν, ἀμφοῖν ὁλοκλήροιν, δυοῖν ὡς ἑνί. οὐ γὰρ νέμεσις τῷ λόγῳ φιλοτιμεῖσθαι πρὸς τὴν ὑπόθεσιν. Ἐπεὶ καὶ τοῦτο πηλίκον ἐστὶ, τὸ μὴ κολοβοῦν τὴν ξυνωρίδα, μηδὲ τοὔνομα μὲν τῆς βασιλείας ἀμφοῖν ἐπικεῖσθαι, τὸ ἔργον δὲ θατέρῳ μόνῳ προσήκειν. ὃ σχεδὸν ἅπαντες οἱ πρὸ ὑμῶν ὑπομείναντες, οὐκ εἰς καλὸν ἀπήλαυσαν τῆς κοινωνίας. οἱ μὲν παῖδας, οἱ δὲ ἀδελφοὺς, οἱ δέ τινας τῶν φιλτάτων πρὸς αἵματος, προσελόμενοι μὲν ὡς ὀφειλομένης αὐτοῖς τῆς τιμῆς,

tantum abeſt vt de imperio bene promereatur, vt etiam illum cuius improbitati maiorem facultatẽ addit, damno afficiat. nec modo illum, ſed alios quoque omnes quibus duplicem nempe & dantis & accipientis nequitiam luere neceſſe eſt. Ad hæc vt milites ſuo illo ſuffragio plus ſibi acquirunt quàm dederunt: ita & frater tuus in ſe datum admittens, ſi modo etiam nunc illud ipſum quod plus eſt pro ſuſpecto haberi non debet. At vero iſtud extra omnem inuidiam poſitum eſſe arbitror, eo quòd ad illum quod dimiſerat, redit. Quippe qui nulla imperij parte priuatus eſt; ſed vt Imperatore maior eſſet, accepit. Et milites quidem illum Imperatorem, tu vero magnum Imperatorem effeciſti, & purpura adſumpta, aliam animam, aliud corpus, plus videndi, plus audiendi, plus denique adminiſtrandi etiam in maximè remotis partibus facultatem addidiſti: vt ex vno eodemque deinceps loco Syris pariter & Britannis ſua iura reddat. Iouem ait Poëta à Troia in Thraciam quæ ex aduerſo eſt, oculos transferre. Huic autem Italiam ſimul videre, & Boſporum interim percurrere fas eſt. Imo ſi ipſum Oceanum oculis ſubijcere volet, & Tigrim, quominus vno obtutu extremos terræ terminos complectatur, nihil prohibebit. Quid ergo? plúſne dediſſe iam quàm accepiſſe tibi videris? Nunc qui Romano tam ad orientem quam occidentem ſubſunt imperio, non peditibus, non equitibus, ſed ipſiſmet Imperatoribus ſepti ac muniti ſunt, Imperatoribus, inquam, perfectis ambobus, & integris, ac duobus perinde atque vno. Nihil enim vetat quin cum argumento ipſo noſtra contendat oratio. Et quantum iſtud eſt quæſo, quod bigæ non claudicant, nec indito vtrique Imperatoris nomine, res ipſa alteri ſolummodo conuenit? Quod cum ferè omnes qui ante vos imperarunt, admiſerint, nequaquam probè hac imperij communicatione ſunt vſi. Quorum dum alij liberos, alij fratres, alij alios denique ſanguinis neceſſitudine coniunctos ſibi, ſocios huius velut debiti honoris adſciuerunt,

protinus in quibus illos cohoneſtauerant, priores ſibi partes vindicare ſtuduerunt. Atque ita nec munere tali ſibi deuinxerunt: ſed per quę eiſdem detractum ibant, illos ipſos contra ſeſe incitarunt. At is ſiue frater ſiue parens, integra accipiens, integra tribuens (quorum alterum à natura eſt, alterum ipſe ex ſe facit) licèt æqualia fuerit largitus, vniuerſa tamen retinet, propter eius, quem participem Imperij reddidit, in ſe obedientiam. Sicque Imperium Romanum cum curru illo Homerico, quem duo Actoris filij agitabant, conuenit, idemque quod illi vſuvenit. Neque enim hic quidem ſtimulat, ille regit; ſed regunt ambo, & quidem iiſdem habenis. Eſt igitur fraterna Principum amicitia res ſubditis per ſe amabilis, & ad publicam tranquillitatem ſecuritatemque retinendam, à pluribus quidem gubernari, ſed tamen ex vna eademque amborum ſententia præſtantius eſt. Nunc enim Ius noſtrum propius conſequi, & ſecuritate potiori frui, quum armis vndique propinquiores ſumus, faciliùs quàm antea, licet. Sed nec hic potiſſimus fructus, quem inde haurimus: ſed quod fraternus hic amor omnis omnino humanitatis ſit argumentum; ſtudiumque in cognatos & ſtirpe coniunctos, beneuolentiæ erga vniuerſos principium atque elementum. Etenim natura quum hominem præ reliquis animantib. maiori honore affeciſſet, longa nos ſerie cum illis qui eiuſdem nobiſcum ſunt generis, colligans, ſtatim ab ipſo quod dicitur lare, huius rei fundamenta iecit; ſequitúrque fratrem amantem, familię amans; familiæ amantem, patriæ amans; patriæ denique amantem, omnium prorſus hominum amans. Neque fieri poteſt vt qui ſemel in ipſis naturæ veſtibulis pedem poſuit, illi procedenti non reddatur morigerus. Et quid opus eſt minutatim implexa oratione oſtendere, qui fratrum amantes ſunt, eoſdem neceſſario eſſe vniuerſorum hominum amantes? Huc huc, ô beati, huc, inquam, adeſte: agnoſcite germanum veſtrum parentem, recognoſcite ipſius liberorum frequentiam, fratrumque veſtrorum multitudinem.

Non

αὐθὺς δὲ ἐν οἷς ἐτίμων, πλεονεκτήσαντες. καὶ οὐχ οἷς ἔδοσαν εὔνους ποιήσαντες, ἀλλ' οἷς ἠλάττωσαν παροξύναντες. ὁ δὲ τέλεια μὲν λαβὼν, τέλεια δὲ νείμας, ἀδελφὸς καὶ πατὴρ, τὸ μὲν ἐκ τῆς φύσεως, τὸ δὲ αὐτὸς ποιήσας, ἴσα μὲν ἐδωρήσατο, σύμπαντα δὲ ἔχει δι' εὐπείθειαν τοῦ κοινωνήσαντος. καὶ τοῦ τε δίφρου τοῦ παρ' Ὁμήρῳ ὃ τὼ παῖδε τὼ Ἄκτορος ἡνιόχουν, σύμπνους μᾶλλον καὶ ὁμοπαθὴς ἡ Ῥωμαίων ἀρχή. οὐ γὰρ ὁ μὲν κεντεῖ, ὁ δὲ ἄγει, ἀλλ' ἄγουσι ἄμφω ταῖς αὐταῖς ἡνίαις. ἔστι μὲν οὖν καὶ καθ' ἑαυτὸ ἀγαπητὸν τοῖς ὑπηκόοις ἡ τῶν βασιλέων φιλαδελφία, καὶ τὸ κυβερνᾶσθαι πλείοσιν ἐκ μιᾶς γνώμης ἐπιστήμῃ, ἱκανώτερον εἰς ῥᾳστώνην ὁμοῦ καὶ ἀσφάλειαν. καὶ γὰρ τὸ τῶν δικαίων ἐγγυτέρω τυχεῖν, καὶ τεθαρρηκέναι μᾶλλον ἁπανταχοῦ πλησίον ὄντας τῶν ὅπλων, νῦν ῥᾷόν ἢ πρότερον ἡμῖν ὑπάρχει. ἀλλ' οὐ τοῦτό ἐστι μέγιστον ὧν κερδαίνομεν· ἀλλ' ὅτι σημεῖόν ἐστι φιλαδελφία φιλανθρωπίας. καὶ ὥσπερ ἀρχὴ καὶ στοιχεῖον τῆς πρὸς ἅπαντας ἀνθρώπους εὐνοίας, ἡ πρὸς τοὺς συγγόνους καὶ ὁμοσπόρους. ἡ γὰρ φύσις ἡ πλείστου ἀξιώσασα ἄνθρωπον τῶν λοιπῶν ζώων, πόρρωθεν ἡμᾶς πρὸς ἅπαν συνδοῦσα τὸ ὁμόφυλον, ἐγγύθεν ἀφ' ἑστίας καταβέβληται τὰ προοίμια, καὶ ἕπεται τῷ φιλαδέλφῳ μὲν ὁ φιλοίκειος, τῷ φιλοικείῳ δὲ ὁ φιλόπατρις, τῷ φιλοπάτριδι δὲ ὁ φιλάνθρωπος. καὶ οὐκ ἔστιν ἐν τοῖς προθύροις τῆς φύσεως ἑαλωκότα μὴ γενέσθαι καὶ προϊούσης κατήκοον. καίτοι τί δέομαι κατὰ σμικρὸν ἐπιπλέκειν, αὐτόθεν ἀναγκαῖον εἶναι τοὺς φιλαδέλφους καὶ φιλανθρώπους; δεῦρο ἴτε ὦ μακάριοι, δεῦρο ἴτε, ἀναγνωρίσατε τὸν ἀληθινὸν ὑμῶν πατέρα, τὴν ἐκείνου πολυπαιδίαν, καὶ τὸ ξύμπαν πλῆθος τῶν ἀδελφῶν.

οὐκ εἰσὶ πεντήκοντα μόνον ὅσους Αἴγυπτος ἐποίησεν, οὐδ' ὅσους ἀριθμοῦσιν οἱ ποιηταὶ τοὺς Πριαμίδας, ἀλλ' ὅσοις ἔνεστιν ὁ χαρακτὴρ ὁ πατρῷος ἡ τοῦ λόγου κοινωνία, καὶ ἡ τοῦ σώματος πρὸς τὸν λόγον διαρμοστία. οὗτοι πάντες ὁμόσποροι, καὶ αὐτάδελφοι ὑμῖν τε καὶ ἀλλήλοις. ἰδοὺ τὸ γνώρισμα ἐπισκέψασθε, εἰ μὴ δωρεῶν καὶ δακτυλίων ἐχεγγυώτερον. ἢ τοῖς Πελοπίδαις μὲν ἐξήρκει καὶ μόριόν τι περὶ τὸν ὦμον ἐξῃκασμένον πρὸς ἀπόδειξιν τῆς συγγενείας· ὑμῖν δὲ ἅπαν τὸ σῶμα οὐκ ἐξαρκέσει δεῖξαι ἕνα τὸν σπορέα καὶ ἀρχηγέτην; καίτοι πόσον τοῦ σώματος ἐναργεστέρα ἡ κατὰ ψυχὴν συζυγία καὶ ὁμοιότης, ὅταν ὡς πέφυκε διασώζηται; ἀρετῆς ἅπαντες ἀμφισβητοῦμεν, κακίαν ὁμολογεῖν αἰσχυνόμεθα, μονωθέντες οὐ καρτεροῦμεν, ἐπιβοώμεθα ἀλλήλους ἐν τοῖς θορύβοις· ἀπαράκλητοι συντρέχομεν εἰς τοὺς κινδύνους· μία τροφὸς ἡμᾶς τιθηνεῖται, κοινὴν κεκτήμεθα πατρῴαν οὐσίαν τὴν γῆν καὶ τὴν θάλατταν, καὶ τὸν ἀέρα καὶ τὸ ὕδωρ, φυτὰ καὶ ζῷα, καὶ τὰ μὲν διανεμάμενοι πρὸς ἀλλήλους· τὰ δὲ ἔτι ἀνέμητα ἡμῖν τῶν κτημάτων. ἐῶ τ' ἄλλα, μόνοι τῶν ἐπὶ γῆς τικτομένων αἰσθανόμεθα τοῦ πατρός, ἢ σαφέστερον ἢ ἀμυδρότερον. καὶ γὰρ εἰ τὰ ἐφεξῆς διεστήκαμεν, ἀλλ' εἰς ἐκεῖνόν γε ἅπαντες ἀναφερόμεθα. οὐκ ἄρα μάτην ὁ σοφώτατος Ὅμηρος ἀπεσχεδίαζεν ἐν τοῖς ἔπεσι συνεχῶς, ὑμνῶν τὸν αὐτὸν καὶ ἕνα πατέρα ἀνδρῶν τε θεῶν τε. καίτοι διὰ τί αὐτὸν οὐχ ἵππων λέγει πατέρα, οὐδὲ μὰ Δία κυνῶν ἢ λεόντων; ὅτι τοῖς μὲν ἄλλοις ἅπασι ζῴοις οὐ μέτεστιν· ἡμῖν οὐδὲ μικρὰ μερὶς τοῦ γεννήτορος. οὐκοῦν οὔτε ἐκείνου συνίησιν, οὔτε ἀλλήλων. εἰς ἀνθρώπους δὲ μόνους καθήκει τοῦ δευτέρου κρατῆρος ἀπορροή, καὶ τὸ λόγου κοινωνεῖν οὐδὲν ἄλλο ἐστίν, ἢ τὸ κοινωνεῖν τοῦ θείου σπέρματος. Ὁμήρῳ δὲ ταὐτὰ γινώσκει καὶ ὁ Βοιώτιος ποιητής· Ἓν ἀνδρῶν ἓν θεῶν γένος, ἐκ μιᾶς δὲ φύομεν γαστρὸς ἀμφότεροι.

Non illi quinquaginta ſolum numero ſunt, quot Ægyptus generauit; neque quot Poëtæ Priamidas numerant; ſed in quibus ineſt expreſſa indolis paternæ nota: rationis videlicet conſortium, & corporis cũ ratione inſignis conſenſio. Illi omnes vobis, & inter ſe congeniti & germani fratres. Et ecce eius rei argumentum conſiderate, an non muneribus annuliſque ad fidem faciendam ſit efficacius. Et ſi Pelopidis parua quædam particula circa humerum expreſſa ſufficiebat ad commõſtrandam mutuam cognationem: vobis corpus vniuerſum non ſat fuerit ad oſtendendum vnum parentem, & principij veſtri auctorem? Et quidem quanto animorum quàm corporum cognatio atque ſimilitudo euidentior, quando integra ſicut à natura nobis indita ſunt conſeruantur! De virtute omnes contendimus; improbitatem approbare pudori ducimus; ſoli minimè ſubſiſtimus, mutuam opem rebus turbatis imploramus: ad pericula etiam non vocati ſimul accurrimus; vna nos nutrix educat. Communem hanc paternam hæreditatem, terram, mare, aërem, aquam, arbores, animalia, poſſeſſione adepti ſumus: quorum quędam inter nos diſpertiimus: nonnulla autem harum rerum portio adhuc inter nos indiuiſa. Et vt alia omittam, ſoli omnium eorum animantium, quæ in terra naſcuntur, parentem noſtrum ſiue clariùs ſiue obſcuriùs ſentimus. Et vt in cæteris diſſideamus, in vnum hunc omnes innitimur. Proinde non temerè ſapientiſſimus Homerus neque inconſultè agit, vbi in Poëſi ſua aſſiduè vnum atque eundem hominum diuumq; parentem, collaudat. Et quare tandem illum etiam non equorum paréntem appellat? aut profectò canum, aut leonum? quòd reliquis omnibus animalibus opinor ne minima quidem genitoris inſit portio. Vnde nec illum nec ſe mutuò intelligunt. At vero in ſolos homines ſecundi crateris huius laтices defluxerunt. Et quidem rationis eſſe conſortes nihil aliud eſt, quàm diuini ſeminis eſſe ſocios. In quo cum Homero etiam Bœotus vates ſentit: Vnum hominum, vnum deorum genus, ex vno vtero generamur vtrique.

Vbi ille egregiè nos non ex patre tantum ſed etiam ex matre coniunctos oſtendit. Si igitur omnes vnum patrem habemus, & ex ſanctioribus parentibus ortum ducimus, nihil omnino erga homines humanitas à fraterno amore differt. Nunc autem anguſtos illi ac valdè circumſcriptos terminos aſſignantes, Oedipodis quidem filios in Tragœdiis tanquam monſtra & probra naturæ execramur, quum interim quas inuicem inſidias inimicitiaſque ſtruimus, Tragœdia nequaquam dignas ducimus. Neque vlla nos rei huius reuerentia tangit, ſi nunquam ipſi mutua inter nos concordia ſeruanda teneamur. At hoc nequaquam in vobis tolerandum eſſet, Imperatores. Sed quando vos communis ille rerum auctor, tanquam omnium auguſtiſſimos prętantiſſimoſque reliquo hominum generi prętecit, neque inter vos aliter affecti ſitis, neque erga nos ipſos, quàm parens ille veſter faciendum ſtatuit: ſtatuit autem vt pacificè, manſuetè, humaniter vos geratis: non aliter atque ipſe ſeſe habet in reliqua opera reſque abs ſe procreatas. Et quidem quàm rarum eius fulmen, & quàm in paucos? lumen contra & vbique & in omnes. Proinde non poteſt quiſquam Dei ſimilitudinem aſſequi, ſi beneuolentię erga homines curam depoſuerit. Non ſi ſcite equum agat, aut ſagittam iaculumque dextre emittat, neque hercle ſi corporeis voluptatibus vndique potiatur. Hæc nimirum humilia animæ bona, ac verè terreſtria & humana ſunt. Solum autem illud planè diuinum eſt ac cœleſte hominum felicitatem in poteſtate habere, eamque nullo negotio procurare poſſe. Atque hæc illa diuinitas, ex qua vobis aſſidue nominis appellationem damus: quam aliter reuera exprimere nemo poteſt, niſi prius hæc erga homines beneuolentia in illo exiſtat. Porro rem ita putato. Tria quum ſint quibus Deus excellit, vitæ æternitas, exuberantia poteſtatis, perpetua aduerſus mortales beneficentia; ſolùm hac vna vltimò iam dicta Imperatoris ſimilitudo ad Deum accedit. Nam vllo vnquam tempore poſſe ad æternitatem peruenire, aut poteſtatis excellentia ſecurum eſſe, nemo ſuſpicetur,

καλῶς ἡμᾶς οὕτως πρὸς τῷ πατρὶ καὶ ἐκ τῆς μητρὸς ἐξοικειούμενος. εἰ τοίνυν ἅπαντες ὁμοπάτορες καὶ ἐκ τοκέων ἀγιωτέρων, οὐδὲν ὄντως διενήνοχε φιλανθρωπία φιλαδελφίας. νῦν δὲ γενοὺς αὐτῇ καὶ λίαν παρεγγράπτοις ὄρεξις ποιούμενοι, τοὺς μὲν Οἰδίποδος υἱέας βδελυττόμεθα ἐν ταῖς τραγῳδίαις, ὡς τέρατα καὶ ὀνείδη τῆς φύσεως. τὰς δὲ πρὸς ἀλλήλους ἡμῶν ἐπιβουλὰς καὶ ἀπεχθείας οὐκ ἄξια τραγῳδίας ὑπολαμβάνομεν. οὐδ' αἰδώς τις ἡμᾶς ἔχει τοῦ πράγματος, εἰ μηδέποτε αὐτὸν εὐφραινόμεθα τῇ πρὸς ἀλλήλους εἰρήνῃ. ἀλλ' οὐχ ὑμῖν ἀνεκτὸν τοῦτο ὦ βασιλεῖς. ἀλλ' ἐπειδὴ ὁ κοινὸς ὑμᾶς ἀρχηγέτης, ὡς πρεσβυτάτους τε καὶ ἐντιμοτάτους τοῦ λοιποῦ γένους προεστήσατο, μήτε πρὸς ἀλλήλους ἑτέρως σχοίητε, μήτε πρὸς ἡμᾶς, ἢ ὡς ὁ πατὴρ προαιρῆται. προαιρεῖται δὲ εἰρηνικῶς, καὶ ἡμέρως, καὶ φιλανθρώπως, καὶ ὡς αὐτὸς ἔχει πρὸς τὰ ἄλλα ἔργα αὐτοῦ καὶ γεννήματα. ὁρᾶτε ὡς ὁ κεραυνὸς ὀλιγάκις καὶ ἐπ' ὀλίγους· τὸ φῶς δὲ πανταχοῦ, καὶ ἐφ' ἅπαντας. οὐκ ἔστιν οὖν πρὸς τὸν θεὸν ὁμοιωθῆναι τῆς πρὸς ἀνθρώπους εὐμενείας ὀλιγωρήσαντας. οὐ γὰρ τὸ μετ' ἐμπειρίας ἱππηλατεῖν, ἢ τοξεύειν ἢ ἀκοντίζειν, οὐδὲ μὰ Δία, τὸ κρατεῖν τῶν ἐκ τοῦ σώματος ἡδονῶν· ἀλλὰ ταῦτα λίαν χαμαίζηλα τῆς ψυχῆς ἀγαθά, καὶ ὄντως χθόνια, καὶ ἀνθρώπινα. μόνον δὲ ἐκεῖνο θεῖον ἀτεχνῶς καὶ οὐράνιον, ἐπ' ἐξουσίᾳ ἔχειν, καὶ ἐν ῥᾳστώνῃ, εὐδαιμονίας ἀνθρώπων. καὶ τοῦτο ἡ θειότης ἐστὶν ἐξ ἧς συνεχῶς ὑμᾶς ὀνομάζομεν. ἣν οὐχ οἷόν τε ἄλλως ἐπαληθεύεσθαι μὴ προϋπαρχούσης φιλανθρωπίας. ὡδὶ δὲ σκόπει. τριῶν ὄντων οἷς ὁ θεὸς διαφέρων ἐστὶν, ἀϊδιότητι ζωῆς, περιουσίᾳ δυνάμεως, τῷ μὴ διαλείπειν εὐποιεῖν ἀνθρώπους, καθ' ἓν μόνον τοὔσχατον τῶν εἰρημένων, ἐφικτὴ βασιλείᾳ πρὸς θεὸν ὁμοίωσις. τὸ μὲν γὰρ τῷ χρόνῳ ποτὲ ἐξικέσθαι τοῦ παντὸς αἰῶνος, ἢ τῇ περιουσίᾳ τῆς δυνάμεως ἁμιλληθῆναι, οὐδεὶς ἂν οὐδ' ἐγγὺς ὑπολάβοι,

ὅστις ἂν μὴ προκρίνοι τοὺς Ἀλωάδας εἰς ἀποπληξίαν. ἡ δὲ εἰς ἀνθρώπους ἀρετή, καὶ πρᾳότης, καὶ εὐμένεια (ὀκνῶ μὲν εἰπεῖν, καὶ λίαν ὀκνῶ, ξυγχωρεῖ δὲ ἡ ἀλήθεια) μὴ καὶ μᾶλλόν ἐστιν ἐγγυτέρα τῇ κοινωνούσῃ τῆς φύσεως; αὕτη ποιεῖ θεοείκελον, αὕτη θεοειδῆ. οὕτω διοτρεφὴς γίνεται βασιλεύς, οὕτω διογενής, οὕτω αὐτοῦ τὴν θειότητα ἐπιφημίζοντες οὐ ψευσόμεθα, οὐκ ἐὰν τὸν Ἄθω τῆς γῆς ἀπορρήξῃ, οὐδ' ἂν ἐμπλήσῃ νεκρῶν τὴν λείαν. σεισμοῦ γὰρ ἑνὸς καὶ λοιμοῦ τὰ τοιαῦτα ἔργα πολλῷ μείζω καὶ ἀτοπώτερα. οὐδὲ γὰρ ἐν τοῖς γνωρίσμασιν, οἷς κατέλεξα τοῦ θεοῦ, ἄλλο τι καὶ μᾶλλον ἐκλάμπει τῆς φύσεως τῆς μακαρίας, ἢ τὸ ἀγαθόν. διὸ καὶ τὸ ὄνομα ἐντεῦθεν αὐτοῦ πεποιήμεθα, ὡς περιφανέστατόν τε καὶ ἀξιώτατον. ἐπεὶ καὶ τὸ μακραίωνα εἶναι, καὶ ὑπερβάλλειν δυνάμει πολλοῖς, καὶ τῶν ἀψύχων ὑπάρχον ὁρῶμεν. ἀλλ' Ὅμηρος τοῦτο οὐκ ὀρθῶς ὑπελάμβανε· δύο κατακεῖσθαι πίθους ἐν Διὸς οἴκῳ, κηρῶν ἐμπλείους, τὸν μὲν ἐσθλῶν, τὸν δὲ ἕτερον τῶν ἐναντίων. κακῶν γὰρ οὐκ ἔστιν ἐν τῷ οὐρανῷ ταμεῖον. ἀλλ' ὁ πίθος οὗτος πεφύραται ἐντεῦθεν ἀπὸ τοῦ πηλοῦ τοῦ παρ' ἡμῖν, καὶ τῆς γῆς· καὶ ἡμεῖς αὐτὸν ἐμπιπλάμεν καὶ ἐκκενοῦμεν. οὐδ' ἑῶμεν ἀκηράτους ἐπιρρεῖν πηγὰς αὐτόθεν ἀγαθῶν, ἃ χορηγεῖ συνεχῶς ἀκάμαντι ῥόῳ (καθάπερ λέγει ἡ φιλοσοφοῦσα ποίησις) ὁ τῶν ἐάων δοτήρ, ὁ τῆς εὐνομίας ταμίας· οὗ πάρεδρος δίκη τε καὶ εὐνομία· ᾧ παραστατοῦσιν αἱ Χάριτες, Εὐφροσύνη, καὶ Ἀγλαΐα καὶ Εὐνομία καὶ Θάλεια ἐρατεινή. οὗ πᾶσαι ἐκ φιλανθρωπίας ἐπωνυμίαι ὁ μειλίχιος, ὁ φίλιος, ὁ ξένιος, ὁ ἱκέσιος, ὁ πολιεύς, ὁ σωτήρ. τούτων ἂν βουλοίμην ἐγὼ τὸν κατάλογον τῶν ὀνομάτων προσγράφεσθαι ὑμῖν ὦ βασιλεῖς, ὡς πολὺ θειότερον καὶ πρέποντα μᾶλλον ἢ τῶν ἀπὸ τῶν ἐθνῶν ἡττωμένων. ἐκείνων μὲν γὰρ οὐδέν ἐστιν ἐκ τοῦ οὐρανοῦ· οὐχ ὁ Περσικός, οὐχ ὁ Γερμανικός, οὐχ ὅσα εἴποις. καὶ ἅμα εἰ μὴ παρακινοῖεν οἱ βάρβαροι, ψεύδεσθαι γράφοντας ἀναγκαῖον.

niſi qui Aloidas in dementia ſuperet. Cæterum hominum inter ipſos virtus, facilitas ac beneuolentia (quamuis id dicere verear, & quidem plurimùm, ſed veritas id vſurpare permittet) hæc inquam, vna vel maximè ad diuinæ naturæ participem accedit. Ipſa inquam Imperatorem Deo ſimilem, ipſa planè diuinum reddit. Hinc à Ioue nutritus, hinc ab eodem genitus euadit; hinc eidem diuinitatem communibus ſuffragiis attribuentes minimè errabimus. Non ſi montem Athon terrę abrumpat, non ſi cadaueribus campi æquor conſternat. Ex terræ motu enim vno aut peſte huiuſmodi, hiſque longè maiora & ſtupenda magis exiſtunt. Neque enim in hiſce indiciis, quæ de Deo retuli, quidquam aliud magis elucet beatæ illius naturæ, quàm ipſa bonitas. Vnde & nomen illi fecimus, idque tanquam omnium illuſtriſſimum digniſſimumque. Quando & longi æui eſſe, & plures potentia ſuperare, multis etiam animæ expertibus ineſſe cernimus. Cæterū Homerus hoc non rectè eſt opinatus, duo in Iouis domo dolia iacere fatis plena, vnum bonis, alterum aduerſis. Neque enim malorum in cælo vllum eſt penu, ſed hinc illa huius dolij confuſio, à luto nimirum terraque in qua verſamur: noſque illud implemus & euacuamus, neque puros fluere ſinimus fontes illorum cœleſtium bonorum, quæ aſſiduè & indefatigabili animo ſuppeditat, vt Poëſis Philoſophica ait, bonorum ille largitor, æquitatis promus: cui Iuſtitia & recta Lex aſſident, cui Gratiæ, Euphroſyne, Aglaia, & Thalia amabilis, aſſiſtunt: cui omnes ab humanitate appellationes ſunt attributæ: vt ſunt Placidus, Amicus, Hoſpitalis, ſupplicum Præſes, Vrbium cuſtos, Seruator. Hunc ego vobis indicem nominum, Imperatores adſcribi velim: Quippe quæ longè diuiniora ac magis decora vobis futura ſint, quàm quę à gentibus deuictis deſumuntur. Illorum enim nullum è cœlo eſt, non Perſici, non Germanici, non quæcumque alia referre poſſis: Pręterquam quod ſi Barbari motus nullos excitauerint, qui ſcriptis ſuis illa vobis affinxerunt, mentitos fuiſſe videri neceſſe eſt.

Alia autem illa vobis iam pridem patria ſunt : quibus tam in bello quàm in pace , imo potius in throno vobis ſedentibus vti licet , & leui nutu paruóque verbo maximum hunc Catalogum firmius vobis vindicare. Huiuſmodi olim Imperatorem Romanorum verbum protuliſſe didici : Hodie non imperaui : in nullum enim hodie beneficus fui. Digna ſententia quæ cum multis maximiſque equitum peditumque pugnis adæquetur. Ego ſanè non minus illam quam Alexandri trophæa admiror. Quid ais diuiniſſime Imperator? hodie non imperaſti, quòd hodie nemini benefeceris? Et quando pluribus benefeciſti , quàm vbi talem ſententiam protuliſti qua omnes poſt te Imperatores edocuiſti , quodnam ipſorum officium, quidque ipſis aſſiduè agendum eſſet, ſi nomen ſuum tueri vellent ? Ita vt merito dicere liceat, ô Imperator, nec illam tibi Imperij diem periiſſe: Nam quod verbis tibi defuiſſe querebaris , hoc ipſum tua reſarciuit oratio. Simile quid etiam de alio Imperatore referre poſſimus , idque non valde vetus , neque aurei ſæculi , ſed quod noſtro qui hîc vnà te circumſiſtimus, tempore accidit, qui quum quendam qui plurimum ſibi moleſtiæ faceſſit, in rebellione Occidentis poſt Barbari fugam deuiciſſet , ſimul atque Imperium eſt conſequutus, etiam inimicitias depoſuit , conuiciáque beneficiis largè tributis vindicauit : vt ita hoſtem ſuum ad pœnitentiam traduceret, mœſtitiáque quam apud ſe ſentiret pro delictis vlciſceretur; dum ex beneficiis , quæ in ipſum conferebantur, intelligeret, quantum iniuſtitiæ commiſiſſet. Sic nimirum par eſt, verum regem non iniuriam iniuria repenſantem, ſed beneficiis certantem , qui ipſum offenderat , ſuperare. Virtutis hæc nempe victoria , vindicta potentiæ eſt : neque per iracundiam ſed magnitudine animi ſe magnum reddere oportet. Hæc enim magnitudo diuina eſt ; illa contra puſilla atque humana, redditque qui ſe ſubmittunt, non qui reſiſtunt, excelſiores. Ego autem maximè optarim non vos timeri, veſtrum-

ταῦτα δὲ ἀνέκαθεν ὑμῖν πατρῷα, καὶ κεχρῆσθαι αὖθις ἔνεστι, καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ, μᾶλλον δὲ καὶ αὖθις ἐπὶ τοῦ θρόνου καθεζομένοις, καὶ ἐν νεύματι ψιλῷ καὶ ῥήματι μικρῷ πολὺ τοῦτον τὸν κατάλογον βεβαιώσασθαι. οἷον πάλαι ποτὲ ἐπυθόμην ῥῆμα αὐτοκράτορα εἰπεῖν Ῥωμαίων, ὅτι σήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ τήμερον εὖ ἐποίησα· ἢ πολλαῖς τε καὶ μεγάλαις ἱππομαχίαις καὶ πεζομαχίαις παραβαλεῖν ἰσοστάσιος. ἐγὼ γὰρ οὐκ ἔλαττον αὐτὴν τέθηπα τῶν Ἀλεξάνδρου τροπαίων. τί λέγεις ὦ θεοφιλέστατε βασιλεῦ, οὐκ ἐβασίλευσας τήμερον, ἐπεὶ μηδένα τήμερον εὖ ἐποίησας; καὶ πότε πλείους ἄλλοτε εὖ ἐποίησας, ἢ ὁπηνίκα ταύτην ἀνεῖπας τὴν γνώμην δι' ἧς ἅπαντες ἐδιδάχθησαν οἱ μετὰ σὲ βασιλεύσοντες, τί τὸ ἔργον αὐτῶν, καὶ τί τὸ πρακτέον αὐτοῖς συνεχῶς, εἰ τοὔνομα διασώσαιντο; ὥστε, ὦ βασιλεῦ, δίκαιόν γε εἰπεῖν, οὐδὲ ἡ πότε σοι τῆς βασιλείας ἡμέρα παραπώλετο· ἣν γὰρ ἔνδειαν ἐμέμψω τῷ λόγῳ, ταύτην σοι ὁ λόγος αὐτὸς ἀνεσώσατο. τοιοῦτον δέ τι καὶ ἑτέρου βασιλέως ἔχοιμεν ἂν λέγειν οὐ λίαν ἀρχαῖον, οὐδὲ τῆς χρυσῆς γενεᾶς, ἀλλ' ἐφ' ἡμῶν τουτωνὶ τῶν νεωστὶ προεστώτων. ὃς τοῦ μάλιστα ἀνιάσαντος ἐν τῇ τῆς ἑσπέρας ἐπαναστάσει κύριος γεγονώς, μετὰ τὴν φυγὴν τοῦ βαρβάρου, ἅμα τῷ λαβεῖν τὴν ἐξουσίαν, ἀπέθετο τὴν ἀπέχθειαν, καὶ ἠμύνατο τὰς λοιδορίας εὐεργεσιῶν ὑπερβολαῖς, ὥστε εἰς μεταμέλειαν καταστῆσαι, καὶ τῇ παρ' ἑαυτοῦ λύπῃ κολάσαι τὸν πλημμελήσαντα, καὶ αἰσθανόμενον ἐξ ὧν εὖ ἔπαθεν οἷον ἠδίκει. οὕτως οὐκ ἀντιβλάπτοντα προσήκει τὸν ἀληθινὸν βασιλέα, ἀλλ' εὖ ποιοῦντα κρείττω γίνεσθαι τοῦ λελυπηκότος. ἀρετῆς γὰρ αὕτη νίκη· τιμωρία δὲ δυνάμεως· μέγαν τε χρὴ μὴ τῷ θυμῷ ποιεῖν ἑαυτόν, ἀλλὰ τῇ μεγαλοψυχίᾳ. τοῦτο γὰρ θεῖον τὸ μέγεθος. ἐκεῖνο δὲ σμικρόν, καὶ ἀνθρώπινον, καὶ ποιεῖ κυπτόντων ὑψηλοτέρους οὐκ ἐνεστώτων. ἐγὼ δὲ εὐξαίμην ἂν οἱ καθ' ὑμᾶς,

ἀλλ' ὑπὲρ ὑμῶν δεδιέναι, καὶ τούτῳ φόβῳ παρὰ πάντων τῶν ὑπηκόων δορυφορεῖσθαι ὑμῖν τὴν βασιλείαν· οἳ ὑπὲρ ἀλλήλων δεδοίκασιν. εἶτα ἐγὼ τὰ μὲν ἀλλότρια πρός σε καταλέγω, τὰ σὰ δὲ οὐκ οἶδα ὅπως παρίημι. καὶ ταῦτα ἔναυλον εἰς τὰ ὦτα ἐνδεδυκότα περιφέρων ἔτι τὸν λόγον, ὃν πρῴην διελέχθη πρὸς τὸν υἱόν, ὃν καὶ παραδίδωκας ἐξηγητὴν τῆς μελλούσης εὐδαιμονίας. ὃ δὴ τανῦν ἠγάσθην ἐγὼ τῆς φύσεως τῆς ἀνθρωπίνης, ὅτι μία ἐστὶν ἁπάντων, καὶ συμφέρεται πολλαχῆ. ἃ γὰρ Πλάτων ὁ θεσπέσιος διεξῄει, ταῦτα αὐτήκοος ἐπεγίνωσκον ἐν τοῖς ὑπὸ σοῦ λεγομένοις ῥήμασι μόνοις διηλλαγμένα. καὶ γὰρ ὅτι πρὸς τῶν ἀρχομένων ἐστὶν αὐτουργοὺς προτέρους γεγονέναι τοὺς βασιλέας ἀκολακεύτῳ καὶ ἐπιπόνῳ τροφῇ τεθραμμένους, γεωργήσαντας, λειτουργήσαντας, θυραυλήσαντας, στρατευσαμένους, ἐναυξηθέντας τῇ δυσχερείᾳ τοῦ βίου τοῦ ἀνθρωπίνου, ὡς Κῦρος, ὡς Δαρεῖος, ὡς Ῥωμαίων οἱ δοκιμώτατοι· καὶ ὅτι χαλεπώτερον νόσημα τῆς ἀρχῆς, τοῖς συκοφάνταις ἐκκεῖσθαι τοὺς ὑπηκόους ἢ τοῖς βαρβάροις· ὥσπερ σώμασι χαλεπώτερα τὰ ἔνδον ἀρρωστήματα τῶν ἔξωθεν ἐμπιπτόντων. ταῦτα ἅπαντα, ὥσπερ εἶπον ἐκ τῶν ἀδύτων τῆς Ἀκαδημίας, ἔγωγε, ὦ βασιλεῦ, φημί, δεῖν τὸν λόγον ἐκεῖνον προστίθεσθαι ὥσπερ κάτοπτρον ἑκάστης ἡμέρας, εἰς ὃν ἀποβλέπων καὶ ἀτενίζων, οὐ τὰς κόμας εὐπρεπεστέρας διαθήσεις, ἀλλὰ τὴν Ῥωμαίων ἡγεμονίαν· οὐδέ σοι προσδεῖ τῶν Μάρκου παραγγελμάτων· οὐδ' εἴ τι χρηστὸν ὁ δεῖνα τῷ αὐτοκράτορι ῥῆμα προείρηκεν· ἀλλ' οἴκοθεν τὸν Φοίνικα ἔχεις, οἴκοθεν τὸν ἐξηγητὴν τῶν ῥητέων καὶ τῶν πρακτέων. ὅταν δὲ καὶ τὰς ὑπὲρ τοῦ πατρὸς φωνὰς ἐννοήσω, οὐκέτι ζητῶ τὴν αἰτίαν τῆς φιλαδελφίας. ὃς γὰρ οὕτω τὴν εἰκόνα αὐτοῦ τὴν χαλκῆν ἀγαπᾷς, ὡς τοσαύτην χάριν ὁμολογεῖν τοῖς ψηφισαμένοις, εἰκότως δήπου τὴν ἔμψυχον εἰκόνα αὐτοῦ περὶ πολλοῦ ποιεῖς, καὶ ἐρᾷς οὐκ ἔλαττον ἢ σεαυτοῦ, εἴπερ γε καὶ αὐτὸς ἔμπνους εἰκὼν τοῦ αὐτοῦ παραδείγματος.

veſtrumque Imperium tali metu ab omnibus qui illi ſubſunt, tanquam ſatellitio muniri, ſicut pro nobis inuicem ſollicitſ ſumus. Sed ego de illis quę ad alios pertinent tecum diſſero; tua ipſius neſcio quo pacto prætermittens. Quum interim orationem, qua ſenatum paulo ante alloquutus es, quamque velvt ſponſorem futuræ felicitatis tradidiſti, adhuc inſonantem auribus circumferam. Et ſanè admiror ego humanam naturam, quod cùm prorſus vna ſit, in multas tamen partes diſperſa ſit. Nam quæ diuinus Plato definiuit, illa omnino ita ſeſe habere verbiſque dumtaxat diſcrepare, ex illis quę abs te fuerunt dicta, cognoui. Quod enim è re ſubditorum ſit Reges antea non aliena opera vſos ſibimetipſis miniſtraſſe, ac victus genere adulationis experte ac laborioſo educatos eſſe, agriculturam exercentes, miniſteria publica obeuntes, in ſtatiuis agentes, militantes, in humanæ vitæ incommodis verſatos & adultos, vt Cyrus, vt Darius, vt Romanorum præſtantiſſimi; quodque difficilior imperij ſit morbus, ſubditos ſycophantis quam Barbaris eſſe ſubiectos; ſicut difficiliores ſunt ægritudines quæ intus ſunt, quam quæ foris accidunt, hæc inquam omnia quæ dixi, ex Academię ſunt adytis deprompta. Quem ego ſermonem, Imperatores, ob oculos tanquam ſpeculum proponendum quotidie cenſeo, in quem intuens & collimans, non comas decentius compones, ſed Romanorum Imperium. Neque tibi opus Marci præceptis, aut ſi quis alius Imperatorum vtile quodpiam dictum protulit: ſed domi tuum Phœnicem habes, domi, inquam, eum, qui tibi quid dicto quid facto opus ſit, enarret. Quoties enim tuorum de patre ſermonum meminero, non amplius cauſam fraterni inter vos amoris requiram. Qui enim adeò æneum eius ſimulacrum amas, vt tantam illis gratiam, qui id ponendum ſuffragiis ſuis decreuerunt, te debere profitearis, merito profecto animatam eius imaginem plurimi facis; neque minori illam quàm temetipſum amore proſequeris: quum & ipſe ſis eiuſdem exempli ſpirans effigies.

Iccirco ne momento quidem temporis fortunam inter vos inæqualem eſſe toleraſtis, ſed curatum à vobis eſt ſedulo, vt quam citiſſimè illa par vtrique veſtrum redderetur; in ſuburbium quidem alter Imperator, priuatus alter progreſſi: Paulo pòſt verò par Imperatorum regreſſi, vterque collegæ nomine magis quàm ſuo gaudens, ſubditis hinc inde præ lætitia affluentibus, veſtrum interim vtroque ſe dupliciter natum eſſe credente. Nullus vnquam adeò lætus ad monarchiam acceſſit, vt vos ad eandem inter vos partiendam. Vah quanto fratrum amore etiam noſtras familias eo facto repleuiſtis! Quis poſthac non pudori ducat, ſuper mancipiis aut exiguo agro cum fratre contendere, quum vos videat orbem totum & genera hominum vniuerſa ſine ſtrepitu diuiſiſſe? Cæterum vt minimè conuenit omnes ſanguinis propinquos pari beneuolentię proſequi dignitate, ita vbi à vobis receſſeritis, non eadem aliis tribuatis. Sed quinam ſint qui pluſculum aliquid à veſtra ſolicitudine fructus expectare debeant, vultis libere dicam? Illi nimirum, quos primos teſtes feciſtis ſacræ veſtræ conſenſionis, & apud quos primùm mutuo vos ſatellitio cohoneſtaſtis. An verò Platæenſes meritò animos attollebant, quòd Græcis contra Barbaros pugnaturis locum præbuiſſent, & nos interim non gloriabimur magnificéque de nobis ſentiemus, quod ſuppeditauerimus vobis theatrum Philoſophia minimè indigens, vrbem imperatoriam, vrbem beatam, beatorum Imperatorum domicilium, veſtræ electionis felix auſpicium, non minùs veſtra hæc facta intuentem quàm eadem confirmantem? neque minus accipienti quàm danti accommodam? Prima enim toto qui vobis paret orbe, vnius quidem fortunam meliorem, virtutis vero quæ in altero eſt, ſpecimen excepit. Sed ego eodem rurſum deuoluor, & cum de iis quæ in te ſunt tibi memoriam renouare debeam, de vrbe tua vltro dicere aggredior. De qua hoc meritò vſurpare poſſum, quod tu prius in Senatu dixiſti, Imperij eſſe matrē. Quo elogio ne Conſtantinus quidē, ſi voluiſſet, apud illam vti potuiſſet.

ταῦτα δὲ ἄρα οὐδὲ ἀκαρῆ πρὸς τὴν τύχην ἄπιστον γινόμενον ἐκαρτερήσατε, ὡς τάχιστα αὐτὴν ἀλλήλοις ἐπανισώσαντες· ἐκφοιτήσαντες μὲν εἰς τὸ προάστειον βασιλεὺς καὶ ἰδιώτης, ἐπανήκοντες δὲ οὐκ εἰς μακρὰν ξυνωρὶς αὐτοκρατόρων, ἀγαλλόμενος ἑκάτερος τῷ ξυνεταίρῳ μᾶλλον ἢ αὐτῷ, περιρρεόντων ἔνθεν καὶ ἔνθεν τῶν ὑπηκόων ὑφ' ἡδονῆς· αὐτοῦ πεπιστευκότες ὑμῶν ἑκάστου διπλασίονος γεγενῆσθαι· οὐδεὶς οὕτω περιχαρὴς εἰσῆλθε μοναρχήσας, ὡς ὑμεῖς νεμόμενοι τὴν ἀρχήν. ὢ πόσης φιλαδελφίας καὶ τὰς ἡμετέρας οἰκίας ἐνεπλήσατε. τίς οὐκ αἰσχύνεται λοιπὸν ὑπὲρ ἀνδραπόδων ἢ γῆς ὀλίγης στασιάζειν πρὸς ἀδελφόν, ὑμᾶς ὁρῶν τὴν γῆν ὅλην καὶ πάντα γένη ἀνθρώπων ἀψοφητὶ διελομένους; ἀλλ' ὥσπερ οὐδὲ τοὺς ἀφ' αἵματος ἀπολαύειν τῆς ἴσης ἀξιωτέον εὐνοίας, οὐδ' ὑμεῖς μετά γε ἀλλήλους τοῖς ἄλλοις τὰ αὐτὰ ἀπονέμητε. ἀλλ' ἆ τίνες ἂν δικαίως πλεονεκτοῖεν τῆς παρ' ὑμῶν ἐπιμελείας, βούλεσθε εἴπω σὺν παρρησίᾳ; οὓς πρώτους ἐποιήσασθε μάρτυρας τῆς ἱερᾶς ὁμολογίας, καὶ ἐφ' ὧν πρώτων ἐκαλλωπίσασθε τῇ παρ' ἀλλήλων δορυφορίᾳ. ἢ Πλαταιεῦσι μὲν ἐφρόνουν δικαίως, ὅτι χάριν παρέσχον τοῖς Ἕλλησιν εἰς τὸν κατὰ τοὺς βαρβάρους ἀγῶνα· ἡμεῖς δὲ οὐ σεμνυνούμεθα καὶ φρονήσομεν, ὅτι παρεσχόμεθα τὸ ὑμῖν θέατρον τῆς φιλοσοφίας οὐκ ἐνδεέστερον, πόλιν βασιλίδα, πόλιν εὐδαίμονα, ἑστίαν εὐδαιμόνων βασιλέων· ἀγαθὸν οἰώνισμα τῆς χειροτονίας οὐ μᾶλλον θεωμένην τὰ γιγνόμενα ἢ βεβαιοῦσαν; οὐδὲ τῷ λαβόντι μᾶλλον προσήκουσαν ἢ τῷ δεδωκότι; πρώτη γὰρ ἁπάσης τῆς ὑπηκόου τοῦ μὲν τὴν τύχην ὑπεδέξατο ἀμείνω, τοῦ δὲ τῆς ἀρετῆς τὴν ἐπίδειξιν. ἀλλ' ἔγωγε εἰς ταὐτὸν αὖθις περιενήνεγμαι, καὶ δέον τῶν σῶν ὑπομιμνήσκειν, περὶ τῆς πόλεως παρ' ἑαυτοῦ τὸ λέγειν ἐπιχειρῶ· καίτοι τηλικοῦτον εἰπεῖν δὴ ὑπὲρ αὐτῆς δυναίμην, ἡλίκην σε προσῆκεν ἐν τῇ βουλῇ μητέρα ἀνειπὼν τῆς βασιλείας. οὕτω γὰρ οὐδὲ Κωνσταντῖνος οἷός τε ἦν,

εἰ καὶ παρῄρητο, πρὸς αὐτὴν χρήσασθαι τῷ παρρήματι. ὥσπερ οὖν ὅμηρον ἔχομεν τὴν φωνὴν ἐκείνην δι' ἧς προὔθηκας σαυτῷ τὸν ἀγῶνα πρὸς τὸν ἀρχηγέτην. εἰ γὰρ ἐκεῖνος αὐξήσας τῆς βασιλείας ἐκ τῶν ἡμετέρων λιμένων, οὕτω φιλοτίμως ἡμῖν προσενήνεκται, τόν γε τὴν ἀρχὴν εἰληφότα διὰ τῶν ἀρχαίων τειχῶν τῆς πόλεως, πηλίκον δίκαιον εἰσενέγκασθαι τῆς προθυμίας; ὅσῳ γὰρ πλείονος ἄξιον τὸ κτήσασθαι τὰ ἀγαθὰ τοῦ τὰ κεκτημένα μείζω ποιῆσαι, τοσοῦτον καί σοι δικαιοτέρα πρὸς τὴν πόλιν ἐστὶν ἡ τῆς εὐνοίας ὑπόθεσις. ἢ πῶς οὐκ ἄτοπον, τὴν μὲν ἐσχατιὰν ἐφ' ἧς τὴν ἁλουργίδα ἐνῆψαι, περιφανεστέραν ποιῆσαι κρηπῖδι καὶ βήματι καὶ ἀνδριάσι· τῇ πόλει δὲ ἣν οὐκ ὀκνεῖς ὀνομάζειν μητέρα τῆς ἀναρρήσεως, μὴ οἴεσθαι ἐποφλισκάνειν τὰ χαριστήρια; ὥστε τὸ μὲν σοὶ οὕτως ἔχοι· αὖθις δὲ εἴ τις ἀντεξετάζοι τὰς ἀφορμάς, δι' ἃς Κωνσταντῖνος ἑάλω τῆς καλλιπόλεως, καὶ δι' ἃς ὁ σὸς ἀδελφός, εἰ ποιοίη τὰ δίκαια, προσαιρήσεται, σεμνοτέραν τῆς νίκης τὴν χαριστηρίαν εὑρήσει. ὁ μὲν γὰρ ἐφ' οἷς ἀφείλετο γαμβροῦ τὴν ἁλουργίδα, ὁ δὲ ἐφ' οἷς ἀδελφῷ μετέδωκεν. εὐτυχεστέρα δέ, καὶ ταῦτα ἐπὶ τῶν οἰκειοτάτων σκοποῦσι, κολάσεως δικαίας δικαία φιλοτιμία· καὶ τοῦ καθελεῖν τὸν ὄντα κοινωνὸν τῆς ἀρχῆς, προελέσθαι τὸν κοινωνήσοντα. οὕτω καὶ ἑκατέρῳ χωρίς, καὶ ἀμφοῖν ἅμα νικᾶν περίεστι τοῖς δικαίοις τοὺς πρὸς τὴν πόλιν τὸν οἰκιστήν. καὶ εἶεν. αὐτὴ δὴ καθ' ἑαυτὴν ἄνευ τῆς τοιαύτης ἐπικουρίας, ἆρ' ἄτιμος καὶ ἀδόκιμος, καὶ ἐν φαύλῳ λόγῳ τοῖς μέλλουσιν ἁπάσης ἄρξειν τῆς οἰκουμένης, καθάπερ σώματος ἑνὸς ὅλης τῆς γῆς δεύτερος ὀφθαλμός, μᾶλλον δὲ καρδία καὶ ὀμφαλός, καὶ ὅτι ἂν εἴποι τις τῶν μερῶν τὸ κυριώτατον; συνοχὴ τῶν δυοῖν ἠπείρων, ὅρμος τις ἐν χρείᾳ θαλάττης, ἀγορὰ τῆς πλοΐμου καὶ πορευσίμης, ἐγκαλλώπισμα ἐνεργὸν τῆς Ῥωμαίων ἡγεμονίας. οὐ γὰρ ἀπῴκισταί γε ὥσπερ τέμενος ἔξω τοῦ πόρου, οὐδὲ ἀφῄρηται τοὺς αὐτοκράτορας τὴν τῶν κοινῶν ἐπιμελεῖσθαι, εἰ πρὸς ἑαυτὴν ἀσχολήσειε·

Quare tanquam obſidem habemus vocem illam, qua tibi certamen cum illius conditore propoſuiſti. Si enim ille quod Regiam ex portubus noſtris amplificaſſet, tam ſtudioſè nos amplexus eſt, qui hîc imperium pro antiqua vrbis felicitate accepit, quantam erga nos beneuolentiam adferre par eſt? Quanto enim maius eſt primum comparare bona, quàm comparata reddere auctiora, tanto tibi iuſtior in hanc vrbem beneuolentiæ ratio. Aut quomodo non abſurdum foret, ſi quum extremam illam oram vbi purpuram es indutus, baſi, ſuggeſtu, ſtatuis illuſtriorem effeceris, vrbi quam non grauaris matrem tuæ electionis appellare, nihil gratificationis abs te deberi exiſtimare? Et quidem res tua ita ſe habeat. At ſi quis rurſum ex aduerſo rationes expendat, ob quas Conſtantinus pulchra hac vrbe afficeretur, & ob quam frater tuus, ſi quod æquum eſt, faciat, eandem præferre cæteris debeat, auguſtiorem hanc electionem victoria illa reperiet. Ille enim ibidem genero purpuram abſtulit, hic cum fratre illam communicauit. Longè autem felicior eſt, ſi inter eos qui ſumma neceſſitudine coniuncti ſunt, iuſta punitione, iuſta collati honoris magnificentia. Felicius, inquam, imperium cum alio communicare, quàm communicatum iam, ab illo quîcum commune eſt, auferre. Sic vtrique ſeorſum & ambobus vnà ſuppetit rationibus æquiſſimis, vrbis huius conditorem ſuperare. Quæ etiamſi ipſa ex ſe conſideraretur, hocque auxilio deſtitueretur, num propterea ingloria eſſet & inhonora? num illis qui vniuerſo terrarum orbi ſunt imperaturi, paruo loco habenda? quum ſit vnius velut corporis vniuerſæ terræ alter oculus, ſeu potius, cor & vmbilicus? aut ſi quod aliud membrum præſtantiſſimum quis numerare queat? hæc inquam connexio vtriuſq; continentis, portus maris vſib. cumprimis aptus, forum nauigabilis illius & calcabilis elementi, efficax Romani Imperij ornamentum. Neq; enim delubri aut luci inſtar extra viam remota eſt, neque Imp. ſi in eius procuratione occupētur, à cōmuni Reip. totius adminiſtratione prohibet.

Sed vndique, & quaſuis ad res appellentibus neceſſaria ſtatio eſt in totius Imperij meditullio. Quod ſi quis conſiderare velit ea quæ pręter vſum ac neceſſitatem ſuppeditant, in oculis habere licebit Gratiarum panegyrin, Veneris ceſtum, peplum ex terra marique contextum, feſti publici velut inſtructiſſimum epulum, officinam lætitiæ, penu felicitatis. Et ſi qua porro ratio Philoſophiæ habenda eſt, hæc olim Platonis & Ariſtotelis Muſarum domicilium fuit, & ne nunc quidem, per Iouem, minus eius ſcintillas ſeruat. At ô Iupiter Rex! ô pater hominum! ô vtriuſque tam quæ in Oriente quàm quę in Occidente eſt Romæ pręſes, ſerua hanc vrbium bigam; ſerua & hanc imperatorum bigam, qui tuam ſeruant ſanctionem.

CONSTANTII IMPERATORIS Oratio de Themiſtio Philoſopho, in Senatu recitata.

SI vos cum veſtris valetis, bene eſt: Ego & exercitus valemus.

Patres conſcripti, Gaudere vos par eſt, cùm victoriarum per nos partarum multitudine; tum præſentis pacis, qua ſine vllo metu fruimini, bono exhilaratos. Ad quę perpetua noſtra ſollicitudo contendit: nunc quidem armis nouum quempiam principatum Imperio Romano adijciendo, aliàs vero quę ex gentium nobis ſubditarum vſu ſint, latis legibus adinueniendo. Et quidem hoc tempore alterutrius horum expectatione prout veſter mos eſt, haud dubie conueniſtis: nempe vt aut bello rerum bene geſtarum nunciũ accipiatis, aut preſtans aliquod pacis beneficium. Ego porro officij mei partes eſſe duco, vobis non ſolum ex publicis bonis lætitiæ materiam prębere: ſed inſuper priuatæ ſingulorum vtilitati, quoad eius fieri queat, debitam prouidentiam ſolicitudinémque nauare. Communis enim

ἀλλὰ πανταχόθεν ἐστὶ καὶ ἐφ' ἅπαντα ὁρμωμένοις ἀναγκαία διαγωγή, καὶ τότε μάλιστα ἐν μέσῳ ποιεῖ τῆς ὅλης ἀρχῆς. τὰ δὲ ἔξω τῆς χρείας σκοποῦντι, πάρεστιν ἔχειν ἐν ὀφθαλμοῖς τὴν πανήγυριν Χαρίτων, κεστὸν Ἀφροδίτης, πέπλον ἐκ γῆς καὶ θαλάττης ἐξυφασμένον, πανδαισίαν ἑορτῆς, ἐργαστήριον εὐφροσύνης, ταμιεῖον εὐδαιμονίας. εἰ δέ τι καὶ τὸ φιλοσοφίας γε ἐστί, πάλαι ἦν ἑστία τῶν Πλάτωνος καὶ Ἀριστοτέλους Μουσῶν. καὶ νῦν οὐ μεῖον νὴ Δία φυλάττει τὰ ζώπυρα. ἀλλ' ὦ βασιλεῦ Ζεῦ, ὦ πάτερ ἀνθρώπων, ὦ πολιοῦχε καὶ τῆς ἑώας Ῥώμης καὶ τῆς ἑσπέρας, φυλάττοις μὲν τὴν πόλεων ξυνωρίδα, φυλάττοις δὲ καὶ τῶν βασιλέων, οἳ τὸ σὸν βούλημα διασώζουσιν.

ΚΩΝΣΤΑΝΤΙΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ περὶ Θεμιστίου φιλοσόφου δημηγορία παρὰ τὴν σύγκλητον ῥηθεῖσα.

Εἰ ὑμεῖς μετὰ τῶν ὑμετέρων ὑγιαίνετε, καλῶς ἂν ἔχοι· ἐγὼ καὶ τὸ στρατόπεδον ὑγιαίνομεν.

Χαίρειν ὑμᾶς εἰκός, ὦ πατέρες συγγεγραμμένοι, τοῖς πλήθει τῶν τροπαίων εὐφραινομένους, καὶ τῆς παρούσης εἰρήνης ἀσφαλῶς ἀπολαύοντας. ὧν ἀεὶ πειρῶμαι πεφροντικώς, νῦν μέν τινα ἀρχὴν προσεστιθέναι διὰ τῶν ὅπλων τῆς Ῥωμαίων ἡγεμονίας· νῦν δέ τινα ὠφέλειαν ἐξευρίσκειν διὰ τῶν νόμων τοῖς ἔθνεσι τοῖς ὑπηκόοις. καὶ νῦν δὴ πάντως συνεληλύθατε, θάτερον τούτων προσδοκῶντες, διὰ τὴν συνήθειαν, ἢ πολεμικῶν ἀγγελίαν κατορθωμάτων; ἢ χάριτος εἰρηνικῆς μεγαλοδωρεάν. ἐγὼ δὲ ἐμαυτῷ προσήκειν ὑπολαμβάνω, μὴ μόνον διὰ τῶν κοινῶν ἀγαθῶν τὴν εὐφροσύνην ὑμῖν παρασκευάζειν, ἀλλὰ καὶ τῶν καθ' ἕκαστον ἄνδρα, καθόσον οἷόν τε, πρόνοιαν καὶ φροντίδα τὴν προσήκουσαν ποιούμενος. ἐπεὶ

καὶ τῆς κοινῆς ὠφελείας τηνικαῦτα μάλιστα γίνεται ἀγαθησις, ὅταν εἰς ἕκαστον ἡ ἀπόλαυσις ἀναπέμπηται. ὥστε εἴπερ καὶ τῶν δημοσίων φροντίδων ὃ καθ' ἕκαστόν ἐστι τέλος, τούτου μάλιστα φροντιστέον προηγουμένως. μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, καὶ ὁπηνίκα ἕνα ἄνδρα τῆς τιμῆς ἀξιῶ, κοινὴν δίδωμι δωρεάν. οὐδεμία γὰρ χάρις μετὰ λόγου καὶ κρίσεως διδομένη, μόνου τοῦ λαμβάνοντος γίνεται, ἀλλὰ προτίθεται κοινὸν ἆθλον ἅπασι τῶν ὁμοίων πόνων. Ἤγαγε τοίνυν Θεμίστιον τὸν φιλόσοφον εἰς τὰς ἡμετέρας ἀκοὰς ἡ πολυθρύλλητος δόξα· καὶ βασιλικῆς ὑπέλαβεν καὶ τῆς ἡμετέρας διανοίας ἀμείψασθαι τιμῇ τῇ προσηκούσῃ τὴν ἀρετὴν, τῷ συνεδρίῳ τῶν λαμπροτάτων πατέρων τὸν ἄνδρα ἐγκαταλέξας, καὶ τὰ εἰκότα σεμνυνόμεθα δι' ἀλλήλων. οὐ γὰρ μόνον Θεμίστιον τιμᾶν οἴομαι διὰ τῆς χάριτος, ἀλλ' οὐδὲν ἧττον καὶ τὴν γερουσίαν ἣν ὃ μετασχεῖν δωρεᾶς ἄξιον νενόμικα φιλοσοφίᾳ περιποιήσας. διδόντες οὖν, ἀντιλήψεσθε τὸν κόσμον, καὶ λαμβάνοντες ἀντιδώσετε. ἀλλὰ μὲν γὰρ, ἄλλοις κόσμος καὶ περιφανεῖς καθίστησι, τοὺς μὲν χρημάτων εὔκλεια, τοὺς δὲ κτημάτων περιουσία, ἐνίους δὲ πόνοι δημόσιοι, ἑτέρους δὲ λόγων δεινότης. διαφόροις γὰρ ὁδοῖς καὶ ποικίλαις πρὸς ἓν καὶ ταυτὸν ἄκρον τῆς εὐδοξίας ἅπαντες οἱ νοῦν ἔχοντες ἐξαμιλλῶνται· ἀλλ' ὅμως τῶν πολλῶν ἀτραπῶν, αἱ μὲν ἄλλαι σκολιαὶ, καὶ ἀκροσφαλεῖς· μόνη δὲ ἀσφαλὴς καὶ βέβαιος, ἡ διὰ ἀρετῆς. καὶ ὅταν τις ὑμῖν ἐγκαταλέγεσθαι μέλλῃ, τοῦτο παρὰ ἁπάντων ζητεῖτε, εἰ ταύτην πορεύεται τὴν πορείαν. καὶ μηδὲν ἄλλο τοιοῦτον γνώρισμα ἡγεῖσθε τῶν λαμπροτάτων, ὡς γνώμην ὀρθὴν καὶ διάνοιαν ἀγαθὴν ἃ μάλιστα μεταδιώκει φιλοσοφία. Θεμιστίῳ δὲ ἤρκει μὲν ἡ παίδευσις πρὸς ὃ μεγίστης τιμῆς ἀξιοῦσθαι, ὃ καθ' ἑαυτὸν φιλοσοφοῦντι,

enim vtilitatis tum demum ſenſus maximè percipitur, ſi illius fructus ad vnumquemque ſigillatim tranſmittatur. Vnde fit vt quum etiam publicarum curarum finis in priuatum quemque deſinat, de eo potiſſimum ſit laborandum. Quin potius, ſi quo modo ſe res habet, dicendum eſt; quando vnum quempiam honore afficio, de vniuerſis bene promereor. Nullum namque beneficium cum ratione & iudicio datum, illius tantum fit, qui id accipit; ſed omnibus in vniuerſum tanquam præmium ſimilium laborum proponitur. Quum igitur exiſtimatio de viro longè latèque diſperſa, Themiſtium Philoſophum ad aures noſtras adduxiſſet, Imperatorij iudicij atque etiam veſtri eſſe exiſtimaui, illum ſplendidiſſimo Patrum Concilio adſcribendo, virtutem quæ in ipſo eſt, congruo honore remunerari, ſimulque duorum inter ſe conſentaneorum vnum per alterum decorare. Neq; enim noſtram hãc beneficentiam in vnum Themiſtium, ſed in totum Senatum redundare exiſtimo: quem tali tamque apto philoſophiæ munere participando dignum ſum arbitratus. Ornamentum ergo hoc illi impertiẽtes, viciſſim ab eo recipietis, acceptumque rurſum eidẽ reddetis. Alia enim alios exornant ſplendidóſque efficiunt: & hos quidem pecuniæ fama, illos autem poſſeſſionum copia; nonnullos pro Republica ſuſcepti labores, alios denique in dicendo præſtantia. Quippe diuerſis variiſque itineribus ad vnum idemq; gloriæ faſtigium omnes ſana mente præditi peruenire contendunt: & tamen quum multæ adeo ad id viæ ducant; reliquæ omnes obliquæ lubricæq; vna hæc dumtaxat tuta firmáque eſt, quæ per virtutem tranſigitur. Proinde quandocumque aliquis in ordinem veſtrum cooptandus eſt, hoc ante omnia inquiritis, hac ipſa num via procedat; neque vllum perinde clariſſimorum argumentum atque indicium eſſe cenſetis, quàm probam mentem rectumque iudicium: quæ duo maximè philoſophiam conſequuntur. Et ſufficere quidem debebat Themiſtio, vt ampliſſimis honoribus dignus haberetur, recta inſtitutio, etiamſi apud ſe tantum philoſopharetur,

imo ſi vel omnino ſilentium ageret. Neque enim illе ſolum honore dignus eſt, qui virtutem in ſe reconditam prodit; ſed qui illam vel poſſidet tantum: omnibuſque qui id merentur, gratię vicem obtingere æquum eſt, etiam ſi tales ipſi apparere minimè ſtudeant. Hic autem vir, quem præſens ſermo noſter deprædicat, non ſeuerum quoddam atque inſociabile Philoſophiæ genus ſibi aggrediendum duxit: ſed quod bonum ſibi labore comparauit, hoc ipſum maiori cum labore volentib. impertit; veterum ac ſapientum virorum interpres, Philoſophiæque penetralium atq; templorum Antiſtes. Neque exoleſcere ſinit antiquarum diſciplinarum decreta atque ſententias; ſed maius cum ætate robur nouitatéque accipere cogit: atq; adeo mortalibus omnibus, quãtum in ipſo eſt, auctorem ſe pręſtat, quo vitæ ex pręſcripto rationis inſtituendæ ſapientiæque adquirendæ curam ſuſcipiant. Conſpicitis autem & vos, Patres Conſcripti, nullum inter homines opus pulcherrimè optiméq; perfici, neq; in ſingulorũ domib. neq; in vrbe vniuerſa, citra virtutẽ: ad quã probi Philoſophiæ aſſertores iuniorum animos excolẽtes inſtituenteſque, omniũ comunes parẽtes iure meritoque ſunt habendi: qui ſingulorum parentib. quomodo à filiis inſeruiri ipſis oporteat, ſimulque liberis, cuiuſmodi viciſſim à parẽtibus ſollicitudinem conſequi par ſit, præcepta tradunt. Et hæc quidẽ vt parua refero: reuera autẽ omniũ iudex & pręſes eſt Philoſophus. Nam & quid populo cõcedendum, quantum magiſtratui ab illo obſequij impendendũ, & vt ſummatim dicã, omnis ciuilis adminiſtrationis explorata atque exacta ille eſt norma. Adeo vt ſi fieri poſſet, vt omnes homines philoſopharentur, ſublata nimirũ eſſet ex vita humana improbitas, ablegatáq; omnis iniquitatis occaſio: neq; legum quę nũc neceſſariæ, vllus deinceps vſus foret. A quibus.n. nunc metu homines abſtinẽt, illa ſponte ſua ac voluntate odiſſent. Et quidem quod ad argumentum quo de agitur, attinet, hoc inſuper maxima animi contentione opto, vt quũ ſedulo hactenus adlaborauerim, quo Philoſophia terrarũ vbique eſſet illuſtris,

μᾶλλον δὲ εἰ τύχοι καὶ σιωπῶντι. Οὐ γὰρ ὁ δεικνὺς μόνον τὴν ἀρετὴν ἄξιος τιμῆς, ἀλλὰ καὶ ὁ κεκτημένος. καὶ προσήκει γὰρ ἀμοιβὰς ἕπεσθαι τοῖς ἀξίοις, κἂν αὐτοὶ φαίνεσθαι μὴ σπουδάζωσιν. Οὑτοσὶ δὲ ὁ ἀνὴρ, ὃν ὁ παρὼν λόγος κηρύττει, οὐ μέτεισι φιλοσοφίαν ἀκοινώνητον, ἀλλ᾽ ὃ μετὰ πόνου συνήγαγεν ἀγαθὸν, τοῦτο σὺν πλείονι πόνῳ τοῖς βουλομένοις μεταδίδωσι· προφήτης μὲν τῶν παλαιῶν καὶ σοφῶν ἀνδρῶν καθεστηκὼς, ἱεροφάντης δὲ τῶν ἀδύτων τε καὶ ἀνακτόρων φιλοσοφίας, μαραίνεσθαι δὲ οὐκ ἐᾷ τὰς ἀρχαίας δόξας, ἀλλὰ καὶ ἀκμάζειν ἀεὶ, καὶ γίνεσθαι νέας. αἴτιος δὲ τὸ καθ᾽ ἑαυτὸν γίνεται πᾶσιν ἀνθρώποις τοῦ κατὰ λόγον ζῆν, καὶ παιδείας ἐπιμελεῖσθαι. συνορᾶτε δὲ καὶ ὑμεῖς, ὦ πατέρες συγγεγραμμένοι, ὅτι μηδὲν ἔργον τῶν βίῳ τῶν ἀνθρωπείῳ, κάλλιστα δὴ καὶ ἄριστα ἐπιτελεσθείη χωρὶς ἀρετῆς, οὐδὲ κατ᾽ οἶκον οὐδὲ κατὰ πόλιν, πρὸς ἣν ἀσκοῦντες καὶ ἐκπαιδεύοντες τοὺς νέους, οἱ καλῶς προεστάμενοι φιλοσοφίας, κοινοὶ πατέρες ἂν ἁπάντων νομίζοιντο οὗτοι, καὶ τοὺς ἰδίους πατέρας ὅπως χρὴ θεραπεύεσθαι παρὰ τῶν υἱέων, διδάσκουσι, καὶ τοὺς παῖδας ὁποίας χρὴ παρὰ τῶν πατέρων ἐπιμελείας τυγχάνειν. καὶ ὡς μικρὰ ταῦτα λέγω, τὸ δὲ ἀληθὲς, κριτὴς ἁπάντων ἐστὶ, καὶ ἐπιστάτης ὁ φιλόσοφος. καὶ γὰρ ὅπως δήμῳ προσενεκτέον, καὶ ὅπως τὴν γερουσίαν θεραπευτέον, καὶ ἁπλῶς ἁπάσης πολιτείας κοινὸν ἐστὶν ἐξητασμένος ἀκριβῶς. ὡς εἰ δυνατὸν ἦν πᾶσιν ἀνθρώποις φιλοσοφεῖν, ἐξήρπαστο μὲν ἂν ἐκ τοῦ τῶν ἀνθρώπων βίου ἡ φαυλότης, ἐξῄρειτο δὲ ἅπασα πρόφασις ἀδικίας. τῆς δὲ ἐκ τῶν νόμων ἀνάγκης, οὐκ ἂν ἦν χρεία. ὧν γὰρ νῦν διὰ τὸ δέος ἀπέχονται, ταῦτα ἂν ἐμίσουν ἐκ προαιρέσεως. πρὸς δὲ τὴν παροῦσαν ὑπόθεσιν, καὶ ἄλλως ἔρχομαι σὺν προθυμίᾳ· ἀπαυξαρεῖ γὰρ τῆς οἰκουμένης φιλοσοφίαν ἐκλάμπειν ἐσπουδακὼς,

μάλιστα αὐτὴν εὐθηνεῖν βούλομαι κατὰ τὴν πόλιν τὴν ἡμετέραν. ὅπερ δὴ καὶ πυνθάνομαι ὑπάρχον αὐτῇ διὰ Θεμιστίου συνόδοις μὲν νέων φιλοσοφούντων ἀθροιζομένῃ, γινομένῃ δὲ κοινὸν παιδεύσεως καταγώγιον. ὥστε ἁπάντας ἁπανταχόθεν ὁμολογουμένως παρακεχωρηκέναι τῇ πόλει κρατεῖν φιλοσοφίαν, καὶ ὥσπερ ἔκ τινος ἀκηράτου πηγῆς ἐκ τῆς πόλεως τῆς ἡμετέρας φοιτᾶν ἁπανταχοῦ τὰ διδάγματα τῆς ἀρετῆς· ὧν δ' ὅπερ ἀρχόμενος εἶπον, κοινὴν ὑμῖν καὶ Θεμιστίῳ δίδωμι τὴν τιμήν. μεταλαβὼν γὰρ παρ' ἡμῶν ἀξιώμασι Ῥωμαϊκοῖς, ἀντεισφέρει σοφίαν Ἑλληνικήν· ὥστε τὴν πόλιν διὰ τοῦτο δείκνυσθαι τὴν ἡμετέραν κορυφὴν ὁμοῦ τύχης καὶ ἀρετῆς. νικῶσα γὰρ τοῖς ἄλλοις ἀγαθοῖς, πλέον προσλαμβάνει τὸ τιμιώτατον. εἰ γὰρ τείχεσι μὲν αὐτὴν περιφραγνύναι, κοσμεῖν δὲ τὰ ἔνδον οἰκοδομήματα, δήμου δὲ πλήθει στενοχωρεῖν, σημεῖον ἀγαπῶντός ἐστι βασιλέως, πόσῳ μᾶλλον αὔξει τὴν γερουσίαν τοιαύτη προσθήκη ἣ τὰς ψυχὰς βελτίους ποιήσει τῶν ἐνοικούντων, καὶ μετὰ τῶν ἄλλων οἰκοδομημάτων, καὶ τὸ τῆς ἀρετῆς ἀναστήσει γυμνάσιον; ὡς ὁ μὲν τῇ πόλει τὰ ἄλλα παρασκευαζόμενος τὰ πρῶτα δίδωσι τῶν ἀγαθῶν· φρονήσεως δὲ καὶ παιδείας ἐπιμελούμενος, τὸ κυριώτατον ἐκπορίζει. οὗ πολλοὶ μὲν ἐπιθυμοῦσιν, ὀλίγοι δὲ ἐπιφικνοῦνται· οἶδα μὲν οὖν ὅτι τὸ πρὸς ἐπιλέγειν καὶ ἄλλας αἰτίας δι' ἃς ἄξιος ἂν εἴη Θεμίστιος μεγίστης τιμῆς, οὐκ ἔστιν αἰσθανομένων τοῦ μεγέθους τῆς φιλοσοφίας. ὃ γὰρ καθ' ἑαυτὸ πάντων αὐταρκέστατον τῶν ἀγαθῶν, εἰ μὴ μόνον τις προσοίσαιτο, ἀλλὰ καὶ ἕτερα συναριθμοίη, οὐ συναύξει μᾶλλον οἷς προστίθησιν, ἀλλὰ ἐλλιπέστερον ποιεῖ τῷ προσθήκης δεῖσθαι νομίζειν. ὅμως δὲ ἀναστώμεθα τοῦ λόγου, καὶ φιλοσοφίας χωρὶς ἀποφαίνοντος ἄξιον εἶναι τὸν ἄνδρα τῆς ἡμετέρας συνόδου. εἰ γὰρ τοὺς μάλιστα ἀγαπῶντας δίκαιον προσπᾶσθαι καὶ ἀνταγαπᾶν, αὐθαίρετος ἡμῶν γέγονε Θεμίστιος ἐραστής,

eadem in hac noſtra vrbe potiſſimum exuberet. Quod ipſum & quidem per Themiſtium prҿſtitiſſe me illi intelligo, tot iuuenum ſapientiæ ſtudio incumbentium ſeſe conuentibus venditanti, communéque liberalium diſciplinarum domicilium effectæ, vt omnes vndique ſine controuerſia illam in ſapientiæ ſtudio primas tenere, ex eaque tanquam ex puro fonte quoquò verſus virtutis præcepta proficiſci iampridem concedant. Planè vt ſicvt initio dixeram, communem vobis & Themiſtio hic honorem tribuam. Sicut enim per nos Romanarum dignitatum particeps efficitur: ita nobis Græcanicam ſapientiam reponit, quo vrbem noſtram per idipſum fortunæ ac virtutis pariter faſtigium obtinere oſtendatur. Quippe cùm aliis bonis reliquas hactenus illa vicerit, nunc quod omnium præſtantiſſimum eſt, hoc ſibi inſuper adſciſcit. Nam ſi muris vndique illam cingere, ædibus intus ornare, præ populi multitudine anguſtare, ſignum eſt ab Imperatore illam ſuo amari: quanto maius eſt Senatum tali acceſſione augere, quæ animos ciuium meliores reddet, & vna cum aliis ædificiis virtutis etiam gymnaſium excitabit? Nempe qui ciuitati alia illa conciliat, primaria quidem illi tribuit bona: Sed qui in eadem ſcientiæ rerum, ſapientiæque promouendæ curam impendit, rem illi præſtabit omnium maximam: quam multi quidem concupiſcunt, pauci vero adſequuntur. Cæterum plures hiſce cauſas colligere, ob quas Themiſtius maximo honore dignus cenſendus ſit, hominum eſſet meo iudicio minimè percipientium quanta philoſophiæ ſit magnitudo. Si quis enim bonum, quod ex ſeipſo maximè ſufficiens eſt, non ſolum prætendat; ſed inſuper alia eidem connumeret, illa ipſa talium adiectione non tam id auxerit, quàm diminuerit; quum iſtiuſmodi additamento indigere exiſtimet. Attamen attendamus rationi, quæ vel ſine philoſophia virum noſtrum hoc cœtu dignum eſſe demonſtret. Et quidem ſi qui impenſiſſimè nos amant, æquum eſt nobis adiungere ac redamare: Themiſtius ſuopte impulſu ad nos amandum,

καὶ τὴν πόλιν τὴν ἡμετέραν οἰκείᾳ κρίσει προυτίμησε τῆς ἐνεγκούσης, καὶ περιττότερον γνώμῃ πολίτης ἢ προσηγορίᾳ γέγονε. τοῦτο δὲ ὁπόσον, σκέψασθε, ὃ δεῖξαι τὴν οἴκησιν τὴν ἡμετέραν καὶ τοῖς ἄλλοις ἀλλαχόθεν εὐδαίμοσιν ἀξιέραστον. οὐ γὰρ ἐνδεῶς οἴκοι πράττων, εἰς τὴν εὐδαιμονίαν τῆς πόλεως καταπέφευγεν, ἀλλὰ καὶ ἀμελῶν τοῦ πλουτεῖν, ὅμως ὑπὸ πενίας οὐ θλίβεται. ἐφρόντισε δὲ περὶ ἡμῶν, καὶ γάμου, καὶ παιδοποιίας τὴν διαδοχὴν σώζουσι τοῦ γένους. ταῦτα δὴ ἔπαινος ἐστι μὲν καὶ ἄλλῳ προσόντα, φιλοσόφῳ δὲ ὑπάρχοντα, πολυωφελέστατα γίνεται. οὗ γὰρ τὸν βίον ὥσπερ κανόνα δεῖ καὶ σκοπὸν ἅπασι προκεῖσθαι τοῖς ἄλλοις, ὅτου εἰ τιμῴη μὲν τὴν πόλιν τὴν ἡμετέραν, ἐπιμελοῖτο δὲ τῆς τοῦ γένους διαδοχῆς, τὴν δὲ περὶ τὰ χρήματα σπουδὴν μετροίη τῇ χρείᾳ, πολλοὺς εἰς τὸν αὐτὸν ζῆλον ἐπάξεται. μὴ γὰρ δὴ νομίζετε τὴν ἀληθινὴν φιλοσοφίαν παντάπασιν ἐξορίζειν ἑαυτὴν τοῦ κοινοῦ βίου, μηδὲ ἀποστρέφεσθαι παντελῶς τὴν τῶν κοινῶν ἐπιμέλειαν. ἀλλ᾽ ἴστε ὡς ὃς μάλιστα ἐπιμελεῖται πόλεως, καὶ ὁ κατασκευάζων ἀρίστους ἀνθρώπους, ἀρίστους ἀεὶ ποιεῖ καὶ πολίτας. Ὁρᾶτε οὖν τῶν ἀγαθῶν τὴν περιουσίαν ᾗ τὸν λαμπρότατον ὑμῖν κατακεκόσμηκε. πλούσιος ἐν λόγοις, οὐ πένεται χρήμασιν· ἑκὼν εἵλετο τὴν πόλιν. οὐ πρὸς ἀνάγκην ἐπιδημεῖ· ἀλλ᾽ ὑπ᾽ ἀνάγκης ἂν χωρισθείη μόνης. Τί τὰ ἄλλα λέγω; λαμπρότερον ὑμῖν δέδωκα τὸν μονογενῆ φιλόσοφον, πολίτην ἐξαίρετον τῆς πόλεως τῆς ἡμετέρας, ὃν τοῦ κόσμου πολίτην εὐλόγως ἄν τις προσείποι. ἀλλ᾽ εὖ οἶδα ὅτι τῶν κατειλημμένων ἐπαίνων, οὐ μετὰ τῆς ἴσης ἡδονῆς ἁπάντων ἀκούει Θεμίστιος, ἀλλὰ μόνους τοὺς ὑπὸ φιλοσοφίας οἰκείους ἡγεῖται· τοὺς λοιποὺς δὲ, ἢ λέγεσθαι μετρίως, ἢ καὶ σιωπᾶσθαι βούλεται. ἐγὼ δὲ οὐχ ὡς ἀνδρὶ χαριζόμενος εἶπον τὰ ἐπεξέλθοιμι, ἴσως ἐμήκυνα τὸν λόγον, ἀλλ᾽ ὅπως ὑμῖν ἐνδείξαιμι, ὅτι μηδὲν ἀνεξέταστον ἢ ἀβασάνιστον παραλιμπάνω περὶ τῶν ἐπ᾽ ἐμὲ κριτὴν ἀγομένων.

Θεμίστιος δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, οὐδὲ νῦν ἐμοὶ γέγονε γνώριμος, ἀλλὰ καὶ πάλαι καὶ ἐκ πατέρων. καὶ τοσοῦτόν μοι γινώσκειν τὸν ἄνδρα περίεστιν, ὥστε ἔχειν καὶ παλαιοτέροις προγόνοις αὐτοῦ καταλέγειν. ὧν οἱ παλαιοὶ μέμνηνται λόγιοι, ἑκὼν παρίημι. ἐγγύθεν γὰρ ὁ πατὴρ αὐτοῦ δι' ὃν τῶν ἄλλων περίεργον μεμνῆσθαι. Τίς δὲ οὗτός ἐστιν, οὐδὲ ὑμεῖς ἀγνοεῖτε. οὗ τὸ ὄνομα εἰπόντα, ἀπόχρη δεῖξαι τὴν ἀκροτάτην φιλοσοφίαν· καὶ οὔτε χῶρος, οὔτε ἔθνος, οὔτε πόλις οὐδεμία τῆς Εὐγενίου δόξης ἀνήκοος. οὗτος ὃν καὶ ὑμεῖς ἂν μαρτυρήσαιτε διὰ βίου κάτοχον γεγενῆσθαι φιλοσοφίας· οὗτος ὃν οὐδὲν ἐξέφυγε τῶν ἀρχαίων διδαγμάτων καὶ παιδευμάτων· οὗτος ὁ πρὸς ἑαυτὸν τῷ λόγῳ καὶ τῷ βίῳ φιλοσοφήσας καὶ καθ' ἕτερον ἐφ' ἑαυτοῦ καίτοι κρατῶν ἡττώμενος· οὗτος ὁ πάντων ἄριστος γεγονὼς, ὁ πάντων κορυφαιότατος, ἴσος τῷ παιδὶ μόνῳ νομίζεται, καὶ μόνῳ Θεμιστίῳ, ὃς καὶ τοῦ γένους διάδοχός ἐστι καὶ φιλοσοφίας. πάντων οὖν ἕνεκα ἐκ τῶν εἰρημένων, τῇ συνόδῳ συναπτέον καὶ κοινωτέον τὸ ἄριστον. οὕτως γὰρ ἂν καὶ τῷ θειοτάτῳ πατρὶ περιάπτοιμεν κεχαρισμένως, τὴν ἐπώνυμον αὐτοῦ βουλὴν αὔξειν τε καὶ θάλλειν τοῖς μεγίστοις τῶν ἀγαθῶν παρασκευάζοντες· δεῖ δὲ καὶ τοῖς ὑπὲρ ἅπαντα δίδοσθαι τὴν ἁρμόζουσαν σεμνότητα, καὶ τῇ σοφίᾳ τὸν οἰκεῖον κόσμον ἀποδιδόναι, καὶ τῇ παιδεύσει τὸ πρέπον γέρας, καὶ τὸ ὀφειλόμενον ἆθλον τῇ ἀρετῇ, καὶ τὴν ἀρίστην τῶν ἐπιστημῶν, λέγω δὲ φιλοσοφίαν, πανταχόθεν, καὶ ἐν πᾶσιν ἐκλάμπειν. συμβήσεται γὰρ οὕτως καὶ τὰς ἄλλας τέχνας πλείονος ἐπιμελείας τυγχάνειν, ὅταν ἡ πρώτη τε καὶ ἀρίστη τὴν οἰκείαν τιμὴν ἀπολαμβάνῃ. τοσούτων οὖν καὶ τοιούτων εἰρημένων, δῆλον ὡς ἃ παρέσχημαι Θεμιστίῳ, ὑμῖν παρέσχημαι. χαρίζομαι δὲ εὖ οἶδα μεγάλως καὶ τῷ ἐμῷ πατρὶ οὐ νεών,

Themiſtius autem ſi verum dicendum eſt, non nunc primum mihi innotuit, ſed etiam olim, & ab ipſis parentibus. Quin tanta illius viri mihi cognitio eſt, vt vetuſtiores ipſius maiores enumerare poſſim; quorum celebris iam olim apud viros doctos memoria: ſed volens omitto: adeſt enim illi propè pater talis, vt vel ob vnum ipſum cæterorum meminiſſe ſuperfluum fuerit. Quiſnam autem ſit ille, neque vos ignoratis; cuius ſi vel nomen quis proloquatur, abundè habet ad ſummam in illo ſapientiam demonſtrandam. Neque enim locus, aut natio, aut ciuitas vlla eſt, ad quam præclara Eugenij fama auditu non peruenerit. Hic ille eſt, quem toto vitæ tempore Philoſophiam imprimis coluiſſe teſtificari poteſtis: ille quem nihil veterum fugit doctrinarum ac diſciplinarum: ille qui ſecum ipſe vita ac doctrina certans, in altero victor alioqui, à ſeipſo tamen ſuperatur: ille inquam qui omnium optimus exſtitit, omnium præſtantiſſimus: qui ſoli filio ſuo par exiſtimatur; filio inquam ſuo Themiſtio, familiæ ipſius pariter & philoſophiæ ſucceſſori. Quare propter rationes à me hactenus recenſitas, æquum eſt, vt bonum hoc excellentiſſimum veſtro conſeſſui adiungatur, cum illóque communicetur. Ita enim diuo parenti noſtro gratiſſimum fecerimus, ſi concilium quod ab illo nomen accepit, vt maximis quibuſque bonis floreat vireatque, contendamus. Oportet autem & iis qui rebus omnibus auguſtiores ſunt conſentaneam adhiberi reuerentiam, & ſapientiæ ſuum ornatum, rectæ inſtitutioni congruum honorem, virtuti debitum pręmium: ſcientiarumque omnium optimam, philoſophiam dico, vbique & apud nos reſplendere. Ita enim eueniet, vt etiam reliquæ artes maius hominum ſtudium nanciſcantur, quando illa quæ Princeps omnium pręſtantiſſima eſt, ſuum pretium conſequatur. Ex his ergo tantis ac talibus hactenus à me dictis patet, quod in Themiſtium beneficium contuli, me in vos quoque contuliſſe: illudque pro certiſſimo habeo, me maximè Parenti meo gratificari,

non templum aliquod aut gymnaſium Diui titulo inſcriptum, ſed virum bonum illi dicando conſecrandóque.

Allata eſt Epiſtola pro Themiſtio Clariſſimo Philoſopho, lectáque in Senatu Kalend. Septembribus, Coſſ. Arepione & Lolliano. Legit autem Iuſtinus Clariſſ. Proconſul.

Argumentum ſequentis Orationis.

Recepta oratione Imperatoris, quam in commendationem Themiſtij ad Senatum ſcripſerat, illi gratiarum munus reponit, laudationumque argumentum maximè philoſophicum ſibi præſtituẽs, Imperatorem ipſum philoſophiæ, quam prædicauerat, magis compotem eſſe oſtendit. Neque quidquam eorum, quæ ad laudationem faciant, prætermittit. Omnia interim ad vnum hoc velvt caput, quod ſibi propoſuerat, reducens. Et quamuis aliquo quidem loco ipſam generalem propoſitionem tractet, plurima tum argumenta ſigillatim ſibi ſuſceptæ cauſæ percurrit, & conuenientem Philoſophiæ dignitatem vbique ſeruare contendit. Atque huc fere huius libri inſtitutum reſpexit.

THEMISTII QVINQVENNALIS. ORATIO XVII.

DE Regia indole ipſe quoque ſic cenſeo: & Pindarum poëtam laudo, vbi ait, Non eodem modo omnibus hominibus felici fato vitam in longius tempus excurrere. Sed iis dumtaxat, qui cum iuſtitia illam ſibi tranſigendam ſtatuunt. Quibuſcum etiam ſpes iucunda cohabitat, bonáque ſenectutis nutrix illos cum gaudio in naturæ diuerſorium deducit. At liberatio à vitioſitate quo citius euenerit, eo melius cum illis agitur, quos ipſa occupat:

οὐδὲ γυμνάσιον ἐπὶ τῷ ὀνόματι τοῦ ὑπάτου· ἀλλὰ ἄνδρα ἀγαθὸν ἀφιερώσας.

ΘΕΩΡΙΑ.

ΕΠΙ τῷ κομισθέντι παρὰ τοῦ αὐτοκράτορος λόγῳ, ὃν ἔγραψε περὶ αὐτοῦ πρὸς τὴν γερουσίαν, τὸ χαριστήριον ἀποδίδωσι. σκοπὸν δὲ προΐσταται τῶν ἐγκωμίων φιλοσοφώτερον· αὐτὸν ἀποδείκνυσι μᾶλλον τὸν βασιλέα φιλοσοφίας μετέχοντα ἢ ἐπῄνεσε. καὶ παρίησι μὲν οὐδὲν τῶν εἰς ἔπαινον συντελούντων· ἅπαντα δὲ ἀνάγει πρὸς τὸ κεφάλαιον ὃ προεστήσατο. ἔστι μὲν οὖν ὅπου καὶ τὸ καθόλου κατασκευάζων, τὰ πλεῖστα δὲ τῶν ἐπιχειρημάτων μετιὼν ἐκ τῆς ὑποθέσεως τῆς παρούσης, ἁπανταχοῦ δὲ διατηρεῖν τὸ πρέπον ἀξίωμα φιλοσοφίᾳ πειρώμενος. σχεδὸν γὰρ ὁ σκοπὸς τοῦ βιβλίου πρὸς τοῦτο ἀφεώρακεν.

ΘΕΜΙΣΤΙΟΥ ΠΕΝΤΑΕΤΗΡΙΚΟΣ.

ΛΟΓΟΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΟΣ.

ΠΕΡΙ φύσεως βασιλικῆς, καὶ αὐτὸς οἱ τῶν γινώσκων τυγχάνω, καὶ ἐπαινῶ Πίνδαρον τὸν ποιητήν, ὡς ἅμα οὐ πᾶσιν ἀνθρώποις ὁμοίως ἐν ἀγαθῇ μοίρᾳ, τὸ περιελθεῖν εἰς χεῖρον πλείω τὸν βίον· ἀλλὰ μόνοις τοῖς ζῆν μετὰ δικαιοσύνης προαιρουμένοις. καὶ τούτοις ἐλπὶς γλυκεῖα συνδιαιτᾶται, καὶ ἀγαθὴ γηροτρόφος παραπέμπουσα μετ' εὐφροσύνης εἰς τὸ τῆς φύσεως καταγώγιον. ἡ δὲ τῆς κακίας ἀπαλλαγή, ὅσῳ περ ἂν θᾶττον ὑπάρξῃ, τοσούτῳ μᾶλλον τοῖς καταληφθεῖσιν ὑπ' αὐτῆς συνενήνοχεν.

οὐ γὰρ ἐᾷ πλείοσι περιπεσεῖν πλημμελήμασιν, οὐδὲ τοῦ γή-
ρως πειραθῆναι δυσκολωτέρου, παραναστιόντες τὰς φρον-
τίδας, ὧν μεταλλάξαντες ὑπομένουσιν. εἰ οὖν ἀληθὴς οὗ-
τος ὁ λόγος ἐπὶ τῶν ἰδίων βίων ἐστί· πόσῳ μᾶλλον ἐφ' ὧν πολ-
λοὶ ἀναγκαῖον συναπολαύειν ἢ τῆς ἀρετῆς, ἢ τῆς μοχθηρίας;
ἄμφω ταῦτα καὶ τὰ χρηστὰ λέγω, καὶ τὰ φαυλότερα τῷ
χρόνῳ συνεπιδίδωσι. καὶ εὔξαιντο ἂν οἱ κοινωνοῦντες τὰ
μὲν ἐπὶ πλεῖστον αὐτοῖς χορηγεῖσθαι· τὰ δὲ μηδ' ἐν ἀχαρεῖ
παραμένειν. Χρύσιππος ἄχρι τῶν ῥημάτων ἔοικεν ἀνδρίζε-
σθαι, ταὐτὸν δύνασθαι φάσκων ἀνδρὶ σπουδαίῳ μίαν ἡμέ-
ραν, μᾶλλον δὲ καὶ μίαν ὥραν πολλοῖς ἐνιαυτοῖς. Οὐδὲ γὰρ
ἰδιώτῃ φιλοσοφοῦντι κατὰ τὸ ἔργον ἄν τις ἀρκεῖν ὑπολάβοι,
καθάπερ ἀστραπὴν ἐλλάμψασαν τὴν ἀρετὴν εὐθὺς ἀπο-
σβῆναι· ἀνδρὶ δ' Ὧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλε,
καὶ ᾧ πᾶσαν μὲν γῆν πᾶσαν δὲ θάλασσαν κοινωνεῖν ἀνάγκη
τῶν ἀγαθῶν, πῶς ὦ βέλτιστε Χρύσιππε οὐ συνεύχῃ τὸν χρό-
νον καὶ ἔξω τῆς φύσεως; ὅσῳ γὰρ ἐκεῖνο μακρότερον ποιεῖς, το-
σούτῳ μακροτέραν ποιεῖς τὴν τῶν ἀνθρώπων εὐδαιμονίαν.
Ταύτῃ τοίνυν ἐγὼ μάλιστα φαίην ἂν τῶν τυράννων εἶναι τοὺς
βασιλέας· ὅτι τῶν μὲν ὁ πλείων χρόνος ἀληθὴς ἐστὶ καὶ ἑορτὴ
καὶ πανήγυρις· καὶ τυραννὶς δὲ ἡ μακροτέρα, μακρότερον
πένθος ἐστὶ τῶν χρωμένων· καὶ αἱ πεντάδες αὗται τῶν ἐνιαυτῶν
καὶ αἱ δεκάδες, δικαιοσύνης μὲν καὶ φιλανθρωπίας δορυφο-
ρούσης τὴν βασιλείαν εὐκταῖαι· καὶ ἀσμενεῖς οἱ κύκλοι καὶ πε-
ρίοδοι τῶν πανηγύρεων· καὶ ἐπιστάντος τοῦ καιροῦ, πάρει-
σιν ἕκαστος ἑορτάζων ἀληθινῶς, καὶ χορεύων αὐτῇ ψυχῇ, καὶ
συνεξυμνῶν τὸν θεὸν τὸν μηκύνοντα τὴν εὐπραγίαν. Εἰ
δὲ ἀπανθρωπία καὶ χαλεπότης σχῆμα ὑποδύοιτο βασι-
λείας, ἢ ταύτης διατριβή, καὶ ὁ ταύτης χρόνος ἀνεόρταστος τοῖς
ὑπηκόοις. καὶ τοίνυν ἂν τὰ σύμβολα γίνηται τοῦ χρόνου,

quippe quæ non ſinat in plura incidere peccata, neque ſenectutem experiri difficiliorem; quæ in animis ipſorum eas ſollicitudines iam nunc excitare incipiat, quas vbi fato functi fuerint, ſunt ſubituri. Quod ſi verum eſt in priuata quorumcumque vita, quanto verius de illis, quorum ſiue ex virtute, ſiue ex prauitate multos adeo aut fructum aut damnum capere neceſſe eſt? ambo hæc, bona inquam, & deteriora, cum tempore incrementum capiunt. Proindéque qui horum participes ſunt, optant vt iſtud plurimum ſibi amplificetur, hoc vero ne momento quidem temporis ſecum perduret. Chryſippus verbo tenus ſe virum præſtare videtur, vbi ait, vel vnum diem, imo vnam horam tantundem poſſe in homine frugi præſtare, quantum multi anni. Neque enim homini priuato factis ipſis philoſophanti ſatis eſſe putandum eſt, ſi virtus illi fulguris inſtar, vt reſplenduerit, ſtatim extinguatur. At ei viro, *cui populi parent, cui tanta negotia curæ*, quique cum terra ac mari vniuerſo, bona ſua communicare neceſſe habet, cur non ô Chryſippe! tempus etiam naturæ terminos excedens compreceris? Quanto etenim longius illud feceris, tanto diuturniorem hominibus felicitatem reddideris. Porrò hac ego ratione plurimum Reges à Tyrannis diſtare dixerim, quod horum tempus maximè longum, verum feſtum eſt publicáque lætitia: Tyrannis autem quo diuturnior, eo prolixiorem iis, qui eidem ſubſunt, dolorem adfert. Et quinquennia quidem decenniáque tantiſper dum iuſtitia atque humanitas Imperium ſtipat, optabilia ſunt, Panegyréſque in orbem redeuntes, auidè arripiuntur, & inſtante tempore illo vnuſquiſque ad feſtum illud agendum, & choreas ducendas, Deumque quod felicitatem hanc publicam hactenus extenderit, lætis laudibus celebrandum, verè atque ex animo procedit: ſin inhumanitas feritaſque Imperij ſtatum inuadat, quamdiu illa durauerit, omne tempus ſubditis inſuaue ac feſtiuæ lætitiæ expers ducitur. Et quando eius temporis ſigna iam adfuerint,

tum vehementius hominibus ſuarum calamitatum memoriam renouant: pluribúſque flagris ad feſta ea frequentanda opus habent, quàm qui olim Xerxi militabant, ad prælia obeunda. Et tamen lingua quidem fauſtas acclamationes edunt: intus interim omnia referta ſunt luctu. Sic Cyri ſenectus Aſiam incolentibus optabilis fuit: Nero autem in ipſo flore ætatis ſeipſum interficiens, nimis ſerò viſus eſt mori. At quorſum hoc huius orationis exordiũ? Nimirum quò oſtendam, oportere nunc quoque vnumquemque noſtrum à ſe ipſo quęrere, quo pacto erga hanc præſentem publicámq; celebritatem affectus ſit. Si enim animus illi deiectus intus atq; contractus, riſus autẽ atque lętitia, qua iis quę fiunt acquieſcere ſe fingit, in extimam velvt ſuperficiem tantum excurrat, nimirum aſſentandi ſtudio ego primus in aulam veni, veniſtis & vos eodẽ ſtudio incitati, orationem hanc noſtram laudaturi. Et plauſum quidem vt apparet, extremis nunc manibus excitatis, ſummáq; lingua clamores cietis: cæterum tacito nos ſuffragio adulationis damnamur. Sin contra publicus hic conuentus intima noſtra penetrauit, animiſque ipſis feſtam hanc lętitiam agitamus, hoc nimirum eſt exoptatiſſimum luſtrum, quodque ſibi decennium quærit: hic circulus ille, quem ſæpius inſequentis quinquennij acceſſione euolui expediat. Sed quæ de luſtrorum hoc numero accuratiùs dicenda erant, ea illis relinquamus, quib. eiuſce rei maior peritia eſt. Quæ verò Philoſopho Sophiſtarum à ſe vituperationem propulſaturo ad celebriorem hunc communem conuentum efficiendum apta ſunt, illa hoc tempore commemoremus: vbi paruum quid ab auditoribus deprecati fuerimus. Quod etſi ſæpe iã antea fecimus, frequentius tamen hac vt videtur incantatione opus erit, ſi quid cohortari volumus, perinde atque Philoſophia pręſcribentes, quomodo, & de quibus rebus dicendum ſit. Quos tamen difficulter admodum quis compeſcat, adeo ex rebus inter ſe maximè contrariis calumniandi occaſionẽ arripiunt. Silet Philoſophus? maledictis inceſſunt, tanquam præ imperitia dicendi, ſibi grauitatem affingat.

Ad di-

μᾶλλον ὑπομιμνήσκει τοὺς ἀνθρώπους ὧν δυσπραγοῦσι· καὶ δέονται πλειόνων μαστίγων ἐπὶ ταῖς ἑορταῖς, ἢ πάλαι ποτὲ ἐπὶ ταῖς μάχαις, οἱ Ξέρξῃ στρατευόμενοι, καὶ εὐφημοῦσι μὲν ἄνωθεν ἀπὸ τῆς γλώττης, τὰ δὲ εἴσω μεστὰ ὀδυρμῶν· οὕτω γὰρ τὸ μὲν Κύρου γῆρας εὐκτὸν ἦν τοῖς τὴν Ἀσίαν οἰκοῦσι. Νέρων δὲ ἐν ἀκμῇ τῆς ἡλικίας ἑαυτὸν ἀποσφάξας, ὀψὲ λίαν ἐδόκει τεθνάναι. τί οὖν μοι βούλεται τὸ προοίμιον τῶν λόγων; γελῶσι καὶ νῦν ἀνερωτᾷν ἕκαστον ἑαυτὸν, ὅπως ἔχει πρὸς τὴν παροῦσαν πανήγυριν. εἰ μὲν δὴ τὰ ἔνδον αὐτῷ καταφῆ καὶ συνέσταλται, ἐπιτρέχει δὲ ὁ γέλως ἄνωθεν, καὶ ἡ εὐφροσύνη καὶ τὸ συνευθυμεῖσθαι δοκεῖν τοῖς ἀνθρώποις· κολακεύσων μὲν ἐγὼ πρῶτος εἰς τὰ βασίλεια εἰσελήλυθα, κολακεύσοντες δὲ ὑμεῖς, οἱ τὸν λόγον ἐπαινεσόμενοι. καὶ κροτεῖτε νῦν ὡς ἔοικεν ἀπ' ἄκρων τῶν χειρῶν, καὶ ἐκβοᾶτε ἀπ' ἄκρας τῆς γλώττης· ἡ δὲ ἀφανὴς ψῆφος κατακρίνει τε ἡμῶν, καὶ θωπείαν καταψηφίζεται. εἰ δὲ διὰ τοῦ βάθους ἡ πανήγυρις ἡμῖν διήκει, καὶ ἑορτάζεται ταῖς καρδίαις, αὕτη ἂν εἴη ἡ πολύευκτος πενταετηρὶς, αὕτη ἡ ζητοῦσα δεκαετηρίδα. ἔστιν ὁ κύκλος, ὃν πολλάκις ἄμεινον ἀνελιχθῆναι τῇ τῆς πεντάδος προσθήκῃ· ἀλλὰ τὴν μὲν περὶ τὸν ἀριθμὸν τοῦτον φιλοτιμίαν τοῖς ταῦτα σοφωτέροις ἐπιτρέπωμεν. ἃ δὲ προσήκει φιλοσόφῳ τὸ ὄνειδος ἀπωθουμένῳ τῶν σοφιστῶν, κοσμῆσαι τὴν πανήγυριν, ταῦτα ἐπαξίωμεν ἤδη, παραιτησάμενοι μικρὰ τοὺς ἀκροωμένους, ἃ πολλάκις μὲν ἤδη καὶ πρότερον. δεῖ δὲ ὡς ἔοικε, συχνοτέρας τῆς ἐπῳδῆς, εἰ μέλλοιμέν τοι παραινεῖν ὡς νομοθετοῦντες τοῖς φιλοσόφοις, καὶ ὅπως λεκτέον καὶ ἃ λεκτέον. οὐ χαλεπὸν μὲν ἐπιτυχεῖν· ποιοῦνται γὰρ καὶ τὰ ἐναντιώτατα ἀφορμάς. σιωπῶντα μὲν φιλόσοφον λοιδοροῦντες, ὡς δι' ἀδυναμίας τοῦ λέγειν, σεμνότητα σχηματιζόμενον·

λέγοντι δὲ ἐπιτιμῶντες, ὡς ἐκ φιλοσοφίας εἰς ῥητορικὴν μετιόντι· κἂν μὲν νουθετῇ, φλυαρεῖν· ἂν δὲ ἐπαινῇ, κολακεύειν· ἂν δὲ ἐλέγχῃ, μελαγχολᾶν· ἂν εἰς τὰ βασίλεια παρίῃ, περιεργάζεσθαι· ἂν οἰκουρῇ, κεῖσθαι μάταιον ἄχθος ἐπὶ τῆς γῆς· ἂν πολιτεύηται, φιλαρχεῖν· ἂν ἀφίσταται τῶν κοινῶν, ἀχρεῖον εἶναι. τί οὖν ἂν πάθοιμεν πρὸς ἀνθρώπους οὕτω δυσκόλους, οἳ χώραν οὐκ ἔχουσιν εἰς ἣν ἂν τάξειαν ἡμᾶς· ἀλλὰ βαρύτεροι καθεστήκασι τοῖς φιλοσόφοις, τῶν τὰ μειράκια παιδαγωγούντων; διὰ τούτους οὖν καὶ τοὺς τοιούτους μικρά μοι συγχώρησον ὦ βασιλεῦ ἐκλογήσασθαι, καὶ ὑπὲρ ἐμαυτοῦ, καὶ ὑπὲρ τῶν λόγων οὓς προαιροῦμαι· ἔσται δὲ οὐ ταῦτα ἔξω τῆς ὑποθέσεως, ἀλλὰ καὶ πάρεργον τῷ καθορᾶν δυναμένῳ. ἐγὼ φιλανθρωπότατε αὐτοκράτορ, ταύτῃ μάλιστα τῶν ἄλλων τεχνῶν φιλοσοφίαν διαφέρειν πεπιστευκὼς, ὅτι μὴ κέχηνε πρὸς δόξαν ἀνθρώπων, μηδὲ τὰς ἀκοὰς ποιεῖται κριτὰς ὧν αὐτῇ πρακτέον ἐστὶν ἢ ῥητέον· ἀλλ' ὅσα ἂν ὁ λόγος ὑφηγεῖται, συντείνει αὐτῇ πρὸς τὸ κεφάλαιον, ὃ προεστήσατο. ταῦτα ἐγὼ εἰκότως πρὸς τοὺς ἀρχαίους πατέρας τῆς τέχνης ἐμαυτοῦ καὶ νομοθέτας ποιούμενος, ἁπανταχοῦ πειρῶμαι τοῖς ἴχνεσι τοῖς ἐκείνων ἀκολουθεῖν, ἂν οἷός τε ὦ. φασὶ δὲ ἐκεῖνοι δύο ὁδοὺς εἶναι φιλοσοφίας, τὴν μὲν ἀνθρωπίνην, τὴν δὲ θειοτέραν. δεῖσθαι δὲ ὁμοίως ἀλλήλων, καὶ οὔτε τὴν ἀνθρωπίνην ἐξεῖναι βαδίζειν ἄνευ τῆς θείας, οὔτε τὴν θείαν ἄνευ τοῦ προσχρῆσθαι τῇ ἀνθρωπίνῃ. μεταλλάττειν οὖν τὰς ὁδοὺς, τοὺς ὀρθῶς ὁδοιποροῦντας, καὶ μεταβαίνειν ἐκ τῆς ἑτέρας εἰς τὴν ἑτέραν, ὡς ὁ καιρὸς ὑφηγεῖται. τίκτεσθαι γὰρ ἡμᾶς οὐχ ἑαυτοῖς μόνον ἀλλὰ καὶ πολίταις, καὶ φίλοις, καὶ ἁπλῶς ἀνθρώποις. ἕως μὲν οὖν ὁ καιρὸς παραγένηται, μηδὲ ὁπωσοῦν ὄφελος εἶναι προσιόντι τοῖς ἀνθρώποις, τῆς κατεχούσης πολιτείας καὶ τῶν ταύτῃ προεστηκότων ἀποκλειόντων τὴν ὁδὸν τοῖς φιλοσοφοῦσιν,

Ad dicendum ſe componit? reprehendunt, velvt ex Philoſophiæ caſtris in Rhetorices tranſeuntem. Si quid admoneat, nugari: ſi laudet, aſſentari: ſi quid culpet, atra bile laborare dictitant: ſi in regiam veniat, pręter inſtitutum facere: ſi domi ſe contineat, ſuperuacuum terræ pondus iacere: ſi Rempublicam capeſſat, ambitioſum: ſi ab illa recedat, nullius vſus iidem eſſe contendunt. Quid cum hominibus adeò moroſis agamus, qui quo nos collocent loco non habent? Sed infeſtiores Philoſophis exiſtunt, quàm ſolent pueris ij quibus illos formandi munus incumbit. Propter hos igitur, alioſque illos ſimiles, vt pauca quædam de me & oratione mihi propoſita ad dicendum ſeligam, Imperator, permitte. Neque verò illa extra argumentum de quo agendum eſt, futura ſunt, ſed maximè appoſita atque vtilia: vt facilè iudicet quiſquis rem totam perſpicere poſſit. Ego, humaniſſime Imperator, hoc vno maximè philoſophiam cæteris artibus præſtare mihi perſuaſum habeo: quod honoribus, qui ab hominibus conferuntur, minimè inhiet, neque aures aliorum ſibi iudices ſtatuat, ſuper iis quæ ſibi facienda ſiue dicenda putet, ſed quæcumque ratio illi, ad caput ſiue ſcopum quem ſibi proponit, dirigenda pręſcribit. Has ob cauſas ego veteres illos, huius artis velvt parentes ac legum latores, mihi adſciſcens, illorum, quantum quidem mea facultas fert, in omnibus veſtigia perſequi conor. Duas porro illi philoſophiæ vias eſſe aiunt; vnam humanam, diuiniorem alteram: vtramque tamen mutua alterius ope indigere; neque humanam progredi poſſe abſque diuina, neque rurſum diuinam, niſi humana prius expurgatam. Commutare proinde has vias, qui recta progrediuntur, & ex hac in illam provt tempus dictauerit, ſubinde diuertere. Neque enim nos ſolis nobis naſci; ſed etiam ciuibus, amicis, &, vt verbo abſoluam, hominibus. Quando igitur tempus admonuerit, nullum precium operæ facturum, ſi quis ad informandos homines accedat; cum & Reipubl. forma ipſa, & qui eidem præſunt, philoſophis omnem,

vt ægroti medicis, ad ſe aditum prę̨cludunt. Tum ergo conuenire, vt publicis neceſſariò omiſſis, priuatas ſuas rationes probè compoſuiſſe contenti ſint: & , vt in tempeſtate, inquit Plato, & turbine quo puluis iactatur, videntes alios iniuſtitia factiſque flagitioſis repletos, ipſi ſub muro conſtituti, pro lucro interpretabuntur, quòd non eadem quæ cæteri perpetiantur. Quando verò Reipubl. prę̨fectus ad ſe vocat, ac medicinam facere aggredientibus bonam ipſe de ſe ſpem præbet, eorumque monita generosè admittens, libertatem ab arte tanquam debitum neceſſarium flagitat: cùm nullam illius caſtigationem aurium tenus accipit; ſed conſilia eiuſdem animo ſuo inſculpit, eáque deinceps tanquam columnæ adamantinæ inſcripta circumfert: talem, inquam, qui non aſſiduè adit, nec tractabilem efficere parat, artiſque quam profitetur, ſpecimen non edit, ille nimirum nec Philoſophiæ obtemperat, nec Platoni ſapienti paret: qui *Regem iuuenem & bona indole præditum* quę̨rit: tanquam tum maximè philoſophia vſum ſuum oſtendere poſſit. Qua de cauſa ille non grauatus eſt ex Attica mare Ionium traijcere, & primo conatu deluſus, rem iterum experiri, & tum quoque neglectui habitus, ne tertium quidem conatum præ deſidia detrectare. Et Plato quidem cum Dionyſij natura contendens, rem inſanabilem aggrediebatur: tuam autem indolem Imperator intueri licet cereo ſimulacro ad virtutem in ſe admittendam ſequaciorem. Cæterum quid opus circuitione? & cur non potius ipſum Platonem teſtem adducimus, quomodo ad Dionyſium nauigans, ſuas ipſemet leges contempſit, quas tanquam certa quædam indicia naturæ ad regiam virtutem procliuis, nobis propoſuit? Quæ indicia, cum in te abundè concurriſſe reperiamus, magis nos Platonem, quàm ipſe ſemet, audiuimus: veſtigiáque ab illo qui poſuerat, vltro neglecta, conſectamur. Conſiderate enim

ὥσπερ τῶν ἀρρωστούντων τοῖς ἰατροῖς τηνικαῦτα δὴ προσήκειν τῆς κοινῆς ἀναγκαίως ἀφισταμένοις, ἀγαπᾶν εἰ τὸ καθ' ἑαυτοὺς εὖ διατεθήσονται· ὥσπερ ἐν ζάλῃ κονιορτοῦ, φησὶν ὁ Πλάτων, ὑπὸ πνεύματος φερομένου, ὁρῶντες τοὺς ἄλλους καταπιμπλαμένους ἀδικίας τε καὶ ἀνόμων ἔργων αὐτοὶ στάντες ὑπὸ τειχίου, τόγε μὴ τὰ αὐτὰ παθεῖν τοῖς πολλοῖς, κέρδος ἡγήσονται· ὅταν δὲ εἰσκαλῇ μὲν ὁ τῆς πολιτείας προεστηκώς, ἐνδιδῷ δὲ ἐλπίδας χρηστὰς ἀπολομένοις τῆς ἰατρείας, καὶ τὰ παραγγέλματα καταδέχηται γεννικῶς, καὶ ἀπαιτῇ τὴν παρρησίαν, ὥσπερ ὄφλημα ἀναγκαῖον παρὰ τῆς τέχνης, καὶ μηδὲν αὐτῆς νουθέτημα ἄχρι τῶν ὤτων προσίηται, ἀλλ' ἐγχαράττῃ ταῖς συμβουλίας τῇ ψυχῇ, καὶ περιφέρῃ τὸν ἐφεξῆς χρόνον καθάπερ ἐν στήλῃ ἀδάμαντος ἐγγεγραμμένας, ὁ τούτῳ μὴ προσιὼν καὶ συνεστηκώς, μηδὲ χρηστοήθη κατασκευάζων, μήτ' ἐπιδεικνύμενος τὴν τέχνην ἣν ὑπισχνεῖται, αἰσχυνεῖ μὲν φιλοσοφίας, αἰσχυνεῖ δὲ Πλάτωνος τοῦ σοφοῦ, βασιλέα νέον ἐπιζητοῦντος, εὖ πεφυκότα ὡς τηνικαῦτα μάλιστα τὴν χρείαν ἐπιδεῖξαι τὴν ἑαυτῆς δυναμένης φιλοσοφίας. καὶ διὰ ταῦτα ἐκεῖνος οὐκ ὤκνει διαπλέων ἐκ τῆς Ἀττικῆς τὸν Ἰόνιον· καὶ τὰ πρῶτα ἁμαρτών, δευτέραν πεῖραν προσενεγκών· καὶ τὰ δεύτερα ἀμεληθεὶς, μηδὲ τὰ τρίτα ἀποκνῆσαι. καίτοι Πλάτων μὲν τῇ Διονυσίου φύσει φιλονεικῶν, ἐπεχείρει τοῖς ἀνιάτοις· τὴν δὲ τὴν φύσιν ἔξεστι καθορᾶν, κηρίου παντὸς ἐκμαγείου εὐπλαστοτέραν πρὸς ἀρετήν. μᾶλλον δὲ τί δεῖ κύκλῳ περιιέναι καὶ οὐκ αὐτὸν Πλάτωνα μάρτυρα παραστήσασθαι; ὡς ἐκεῖνος μὲν πλέων ὡς Διονύσιον, τοὺς αὐτοῦ νόμους πρότερα οὓς ἔθετο ἡμῖν, ὥσπερ γνωρίσματα φύσεως εὐαγώγου πρὸς βασιλικὴν ἀρετήν. ἡμεῖς δὲ ταυτὶ τὰ γνωρίσματα ἐξευρόντες ἀγαπητῶς συνδεδραμηκότα, μᾶλλον ἀκούομεν Πλάτωνος, ἢ αὐτὸς ἑαυτοῦ. καὶ τοῖς ἴχνεσιν ἀκολουθοῦμεν, ὧν ὁ θέμενος ὠλιγώρησε. σκοπεῖτε γάρ,

εἰ μὴ ἔδοξεν ἡμῖν ὁ ἀνὴρ τὰ πάντα μᾶλλον προφητεύειν, ἢ δείγματα εἰς μέσον ἀποδεικνύναι φύσεως ἀπισουμένης τοσούτων συλλαβεῖν ἀγαθῶν ἀριθμὸν, ἃ μὴ ῥαδίως ἀνέχεται τὴν κοινωνίαν. δότε γάρ μοι φασὶ βασιλέα νέον, σώφρονα, μεγαλοπρεπῆ, μνήμονα, πρᾶον, ἀνδρεῖον, εὐμαθῆ, οὗτος ἐκεῖνός ἐστιν, ὃν ζητεῖς ὦ θαυμασιώτατε Πλάτων, καὶ λέγεις μοι λίαν ἀκριβῶς, οὐκ εἰδὼς ὃν λέγεις· καὶ τὴν εἰκόνα ἐκμάττῃ, οὐχ ἑωρακὼς τὸ ἀρχέτυπον. ἰδοὺ τοίνυν καταμάνθανε πρῶτον τὸ ὕστατον τῶν γνωρισμάτων· ὅπως ἐκλάμπει περιφανῶς ἐν τῷ νεανίᾳ τὸ φιλομαθὲς, εἰ δὲ βούλει καὶ εὐμαθὲς, ὃν οὐδὲ ὁμόγλωττον ὄντα τοῖς λόγοις τοῖς ἡμετέροις, προθυμότερόν ἐστιν ἰδεῖν ἀπαντῶντα εἰς τοὺς λόγους, ἢ τοὺς λίαν ἐκ τῆς Ἀττικῆς. καὶ οὐ δεῖ σοι μακρᾶς παραγγελίας, οὐδὲ ἀντιβολήσεων ἐμμελῶν, οὐδὲ προσθεῖναι ἱκετηρίαν· ἀλλ' ἐξαρκεῖ μόνον ἀπαγγεῖλαι, καὶ πράγματα ἔχει περινοστῶν τοὺς ἰδιώτας. ὁ δὲ προκάθηται ἕτοιμος τὸν χορὸν τὸν οἰκεῖον περιεστησάμενος· καὶ τὰς Μούσας οὐκ ἔλαττον ἀσμενίζει τοῦ Ἐνυοῦς, καὶ πρὸς τοὺς λόγους οὐχ ἧττον, ἢ τὴν σάλπιγγα διεγείρεται, καὶ οὐδὲ τὰ ῥήματα αὐτὸν θορυβεῖ ξένα ὄντα, καὶ οὐκ ἐν ἔθει. ἀλλὰ τὸν ἐνδεδυκότα αὐτοῖς νοῦν ἐρευνᾷ, καὶ μικρᾶς ἐνδοθείσης ἀρχῆς, δεῖται ἐλάχιστα ἑρμηνέως. τὸ γὰρ ἀκόλουθον εὐθέως καὶ τὸ ἐφεξῆς οἴκοθεν εὑρίσκει τῇ τῆς φύσεως εὐκολίᾳ. ἠσθάνεσθε γοῦν αὐτοῦ κεχαραγμένου περιφανῶς πρὸς τὸ κάλλος τῆς διανοίας, καὶ τῇ δυνάμει τοῦ λόγου συμμεταβάλλοντος τὴν μορφὴν, μειδιῶντος, συνάγοντος τὰς ὀφρῦς, οὐκ ἀγαπῶντος ἐπαΐειν μόνον τοῖς εἰς τοὐμφανὲς λεγομένοις, ἀλλὰ καὶ τὴν τέχνην, ἀφ' ἧς ἕκαστον ὁρμᾶται τῶν ἐπιχειρημάτων, ἐπιζητοῦντος. ὥστε δυεῖν εἰσελθόντοιν τοῖν λόγοιν, μᾶλλον ἑάλω τοῦ νοῦν οἰκεῖον ἔχοντος, ἢ τοῦ τὰ ῥήματα. ὃ δὲ μάλιστα ἄξιον ἀγασθαι, ὅτι καὶ τῶν ἐπαίνων ἐκείνοις μόνοις προσίεται μεθ' ἡδονῆς, οὓς ἂν γνωρίζει προσήκοντας. οὓς δὲ ἂν εὑρίσκει περαιτέρω τοῦ ἀληθοῦς κεχαρισμένους,

an non vir ille modis omnibus vaticinari potius, quàm naturæ (quam vix credibile eſt tantum bonorum cumulum, quæque non facilè inuicem miſcentur, in ſe poſſe complecti) indicia in medium adferre videatur. *Date* enim *mihi*, inquit, *Regem iuuenem, temperantem, magnificum, memorioſum, facilem, virilem, docilem.* Hic nimirum hic ille eſt, quem quæris eximie Plato, & valde mihi accuratè deſcribis: quem ipſemet qui loqueris neſcis, imaginémque fingis primario exemplo non conſpecto. Et ecce diſce primo loco, quod vltimo indicium poſueras, quàm præclarè in iuuene hoc diſcendi amor, ſiue ita vis, docilitas reſplendeat. Qui cùm nec eiuſdem ſit linguæ, cuiuſmodi noſtra hæc habetur oratio; videre tamen eſt, feruentius ad eiuſmodi audiendas orationes adeſſe, quam qui ex ipſa ſunt Attica oriundi. Neque multo tibi ambitu opus eſt, non menſtruis ſupplicationibus, non præmiſſis obteſtationibus: ſed indicaſſe tantum, quo adſit, illi ſatis eſt. Et in priuatis obeundis moleſtiam habebis. Ille autem vltro paratus præſidet, ac ſuum chorum ſecum adducit: nec Muſas minus cupidè quàm Bellonam amplectitur, nec ad orationes quàm ad turbam ſegnius excitatur. Neque verò verba, licet extranea quibuſque non aſſueuit, illum perturbant: ſed ſenſum ſub iis latentem perſcrutatur, & vel paruo ſe prodente principio, interprete deinceps minimè eget. Statim enim, qua eſt naturę dexteritate, quod reliquum conſequitur, ex ſeſe comprehendit. Senſiſtis itaque illum paulo ante ad ſententiæ ornamenta velut emicantem, & præ orationis efficacia, vultum quoque vnà mutantem, ridentem, ſupercilia adducentem, non contentum denique, quæ verbis efferrentur, animo comitari: ſed etiam artem vnde ſingula argumenta ducerentur inquirentem. Quamobrem duabus orationibus propoſitis, illâ potius quę ſenſum ſibi familiarem, quàm quæ verba, contineret, aſſectus eſt. Quodque in primis admiratione dignum eſt, ex laudibus ſibi tributis, eas dumtaxat cum voluptate admittit, quas ad ſe pertinere intellexerit: illis vero, quas vltra verum,

gratificandi ſtudio ſibi datas deprehendit, tanquam ad ſe decipiendum tendentibus offenditur. Quod certè duarum rerum eſt ſignum, tum quod ſe ſuaque cognoſcat, tum quod aduerſus adulationem inuictus ſit, réque, vnde plus periculi quàm ex auro, maximè in tanta ſublimitate poſitis, timendum eſt, longè ſuperior. Nam illorum plerique blanditias etiam in orationibus quærentes, eos qui ad ſe acceſſerint, ad ea quæ delectent potius quàm quæ vtilitatem afferant, excogitanda prouocant. Sed non ita tu quoque, Imperator! qui multo leuius maledictum quàm aſſentationem toleras: probè ſciens, hanc nihil prodeſſe; maledictis verò imperitos ſæpe quæ deliquerant, in melius emendaſſe. Cúmque in eos qui admonent, ſuauis ſis, aduerſus adulatores exaſperaris. Quod igitur initio propoſueram; quis hanc animi promptitudinem facilitatémque, docilitatis indicium eſſe non fateatur? id quod egregiè tibi ineſſe videmus. Alexander Philippi F. in multis alioqui Ariſtoteli obediens, in longè tamen pluribus frequenter illi refragabatur: tibi verò omnis vtilis admonitio in mentis penetralibus inſidet, prorſuſque indelebilis durat. Et ſi quod vetus dictum, quódque antiquiorem quampiam ſententiam ſiue monitum in ſe contineat, tibi à nobis allatum ſit, id nimirum perpetuo tibi adeſt, ac velut vnà tecum viuit. Neſcis quo pacto, Imperator, admirer, quum verbum illud eximie tibi placere, & quum occaſio poſtulat, velut ad manum eſſe audio, nempe, Vt terræ motus ac peſtis proprium eſt homines perdere: ita Regis eſſe munus eoſdem ſeruare. Item iſtud Imperatoris illius: Hodie non imperaui: neminem enim beneficio affeci. Illa enim pluráque id genus fieri non poteſt vt laudet memineritque, qui contraria fuerit indole præditus. Quando ergo tu aures præbes, ſi nos ſermones, quos ita cupidè amplecteris, tibi ob deſidiam denegemus, non tua iam culpa, ſed illorum, qui indole tua ad id quod vtile ac neceſſarium eſt, non vtuntur, nimirum futura eſt.

Et aliis

δυσχεραίνει πρὸς τούτους, ὡς ἐξαπατᾶν πειρωμένους. τοῦτο δὲ δυοῖν ἂν εἴη σημεῖον· τοῦ τε γινώσκειν ἑαυτὸν, καὶ τὰ ἑαυτοῦ, καὶ τοῦ γε ἀνάλωτον εἶναι κολακείας, καὶ κινδύνου κρείττω χαλεπωτέρου, ἢ χρυσίου, καὶ μάλιστα τοῖς ἐν ὑπεροχῇ τοσαύτῃ καθεστηκόσιν. ὧν οἱ πολλοὶ τὸ προσηνὲς ἀεὶ καὶ ἐν τοῖς λόγοις ἐπιζητοῦντες, αὐτοὶ προσκαλοῦνται τοὺς προσιόντας, ἐξ ὧν εὐφραίνουσι σκοπεῖν, οὐκ ἐξ ὧν ὠφελήσουσιν. ἀλλ' οὐ σύ γε· ἀλλὰ κουφότερον φέρεις βλασφημίαν ἢ κολακείαν. γινώσκων ὡς ἡ μὲν οὐδὲν ὤνησε· λοιδορηθέντες δὲ πολλοὶ τὰ ἐλλείμματα ἐπηνώρθωσαν. καὶ πρὸς τοὺς νουθετοῦντας ἥμερος ὢν, πρὸς τοὺς θωπεύοντας ἀγριαίνεις. ὃ τοίνυν προὐθέμην. τὸ γὰρ εὐπειθὲς τοῦτο αὐτὸ, καὶ εὐάγωγον, εὐμαθείας εἶναι τεκμήριον τίς οὐκ ἂν φαίη; ὅσοι διαφερόντως ὑπάρχον ὁρῶμεν. Ἀλέξανδρος μὲν γὰρ ὁ Φιλίππου πολλὰ ἀκούσας Ἀριστοτέλους, πολλάκις πλείω καὶ παρήκουε. σοὶ δὲ πᾶσα χρηστὴ παραίφασις ἐγκάθηται ἐν τῷ βάθει τῆς διανοίας, καὶ μένει παντάπασιν ἀνεξάλειπτος. καὶ ὅς τις ἂν σοι ῥηθῇ παρ' ἡμῶν λόγος ἀρχαῖος, γνώμην παλαιὰν ἔχων καὶ νουθεσίαν· παρέστηκεν ἀεὶ καὶ συνδιαιτᾶται. οὐκ οἶσθα ὅπως ἄγαμαι βασιλεῦ, ἀκούων σου πολλάκις ἐκεῖνον τὸν λόγον ὑπερφυῶς ἀγαπῶντος, καὶ πρόχειρον ἔχοντος ἐπὶ τῶν καιρῶν, ὅτι σεισμοῦ μὲν καὶ λοιμοῦ τὸ διαφθείρειν ἀνθρώπους· βασιλέως δὲ ἔργον, τὸ σώζειν ἐστί· καὶ τὸ ῥῆμα ἐκείνου τοῦ αὐτοκράτορος· ὅτι σήμερον οὐκ ἐβασίλευσα· οὐδένα γὰρ σήμερον εὖ ἐποίησα. ταῦτα γὰρ καὶ πλείω τοιαῦτα οὐχ οἷόν τε ἐπαινεῖν οὐδὲ μεμνῆσθαι τὸν πεφυκότα ἐξ ἐναντίας. ὅταν οὖν αὐτὸς μὲν ὑπέχῃς τὰ ὦτα, ἡμεῖς δὲ ἀποκνῶμεν προσάγειν τοὺς λόγους, οὐκ ἀσμενίζεις, οὐχὶ σὸν ἤδη τὸ ἔγκλημα, ἀλλὰ τῶν εἰς δέος τῇ φύσει τῇ σῇ μὴ χρωμένων.

ἀλλὰ τοῖς μὲν ἄλλοις, ὦ βασιλεῦ, κἂν συγγνώμην τις ἀπονείμειε (τοῖς μὲν γὰρ οὐ σχολή, οἱ δὲ εἰς ἑτέραν φαῖεν ἂν εἰσφέρεσθαι χρείαν·) φιλοσόφῳ δέ, ᾧ δέδωκας ἤδη πεῖραν τῆς εὐμαθείας, εἰ μὴ προσάγοι συνεχῶς λόγους ἐγκάρπους καὶ ὀνησίμους, τίς οὐκ ἂν δικαίως νεμεσήσειεν; εἰ σχῆμα ἀθλητικὸς γυμνασοῦ, ἁμιλλῷτο ὀψαρτύταις, καὶ ἐπιμελοῖτο μόνον τοῦ προσηνὴς εἶναι δοκεῖν, καὶ τῇ πανηγύρει κεχαρισμένος, φάρμακον δὲ τοῖς ἡδύσμασιν μηδὲ ὁτιοῦν ἐγκεραννύοι; Πλάτων μὲν οὖν, εἰ καὶ τὰ ἄλλα πάντα θεῖος καὶ αἰδοῖος, ἀλλὰ τοῦτόν γε ἀτεχνῶς ἀποκεκινδυνευμένως προήκατο λόγον, ὅτι μὴ πρότερον τὰ κακὰ λήξει τοῖς ἀνθρώποις, πρὶν ἂν ἢ φιλόσοφοι βασιλεύσωσιν, ἢ βασιλεῖς φιλοσοφήσωσιν. ἐλήλεγκται δὲ ὁ λόγος, καὶ δέδωκεν εὐθύνας τῷ χρόνῳ. ἄγασθαι δὲ ἄξιον Ἀριστοτέλην, ὅτι μικρὸν τὰ Πλάτωνος ῥήματα μεταθεὶς, τὸν λόγον πεποίηκεν ἀληθέστερον· φιλοσοφεῖν μὲν τῷ βασιλεῖ, οὐχ ὅπως ἀναγκαῖον εἶναι φάσκων, ἀλλὰ καὶ ἐμποδών· τὸ δὲ φιλοσοφοῦσιν ἀληθινῶς ἐντυγχάνειν, εὐπειθῆ καὶ εὐήκοον. ἔργων γὰρ ἀγαθῶν τὴν βασιλείαν ἐνέπλησεν, οὐχὶ ῥημάτων. ὅση τοίνυν χρεία τοῖς εἰρημένοις τοῦ προσιέναι μὴ ἄνευ λόγου, τοσοῦτον ἀπολαύειν προσήκει τοῦ φιλοσοφοῦντος τὸν βασιλεύοντα. νῦν δὲ ὅμοιον, ὥσπερ εἴ τις πρὸς τὸν στέφανον τὸν Ὀλυμπίασιν ἀποχρῆν οἴοιτο, τὸ παλαίσματα ἐκ βιβλίου μεμαθηκέναι· κόνιος δὲ μὴ ἅψαιτο, μηδὲ ἁλτήρων. ὁ γὰρ τοιοῦτος ἀγωνιστής, πρὶν ἐπιβῆναι τοῦ σταδίου, γέλωτα ὀφλισκάνει τοῖς θεαταῖς· ὅστις δὲ ἐκ φύσεως πρόθυμος καὶ τὸν ὑπὸ ἄλλου καλῶς εἰρημένον λόγον οἰκεῖον ποιεῖσθαι, τούτῳ συμβαίνει μήτε προΐεσθαι τὸν καιρὸν τῶν ἔργων εἰς λόγους, καὶ τὸ κέρδος ἀποφέρεσθαι τὸ ἐκ τῶν λόγων. πάνυ μὲν γὰρ οἶμαι καλῶς καὶ Τιμόθεος ὁ στρατηγὸς φιλοσόφῳ, παραβάλλων εἰς πλῆθος ἐπιχειροῦντα μόνον εἶναι τὸν σοφὸν στρατηγόν. Ἄνδρες, ἔφη πρὸς τοὺς παρόντας, οὗτος ὁ ἀνὴρ, οὐδὲ πώποτε ὑπὸ σάλπιγγος τεθορύβηται. ἀλλὰ τοῦτον μὲν τὸν λόγον εὐχῆς οἰητέον.

Et aliis quidem fortaſſis quis veniam habeat, Imperator, (his enim non ſatis eſt ocij, illi fortean aliud quidpiam quod ex vſu ſit adferre ſe dixerint) Philoſophum autem, cui tuæ iam docilitatis experimentum præbuiſti, niſi ſermones fructuoſos atque vtiles aſſiduè proponat, quis non iure reprehendat? Si Palæſtritæ perſonam ſuſtinens cum condimentarijs certet, idque ſolum curæ habeat, quo publico conuentui ſuauis ac delectabilis eſſe videatur; ne tantiilum quidem ſalutaris medicamenti dulciariis illis ſuis admiſcens? Plato quidem, licet cætera omnia diuinus ac venerabilis, hanc tamen ſententiam periculosè admodum emiſit: Non prius hominibus mala deſitura, quam aut Philoſophi regnent, aut Reges philoſophentur. Quam quidem ſententiam temporis ipſius experientia conuicit, ac redarguit. Ariſtotelem autem potius admirari par eſt, qui Platonis verba paululum immutans, veriorem ſermonem expreſſit: Totum illud philoſophari non modo Regi non neceſſarium, ſed & impedimento eſſe dictitans: ſatis autem eſſe, verè philoſophantibus parcat atque obſequatur. Factis enim pręclaris non verbis regnum impleuerit. Quatenus igitur ea quæ diximus, non abſque ratione prodire conuenit, eatenus Regem Philoſopho vti oportet. Nunc autem contra perinde fit, ac ſi quis ad coronam in ludis Olympicis acquirendam ſat eſſe exiſtimet, ſi luctandi rationem de libro diſcens, puluerem interim atque altêras ne quidem attingat. At vero huiuſmodi pugil priuſquam vel ipſum ſtadium ingreditur, riſum nimirum ſpectatoribus debet. Quiſquis autem ea naturæ alacritate eſt, vt etiam ab aliis ſcitè dicta in ſuos ſibi vſus conuertat, illi vtique euenit, vt ne tempus rebus gerendis aptum in verba inſumat, ſed ex verbis ipſis lucrum reportet. Enimvero pulchrè meo quidē iudicio Timotheus Prætor Philoſophum taxans, qui in frequenti multitudine probare nitebatur, ſolum ſapientem belli eſſe ducem, adſtantibus, Viri, inquit, hic homo nunquam tuba exterritus fuit. Sed iſtiuſmodi ſententia voti potius inſtar habenda,

qualia multa nobis mortales ſomniamus, quæ interim ad rem deuenire non facilè queant. Hoc vero nobis ſufficiat, ſi non ipſe Imperator per ſe philoſophetur, ſaltem vt vere philoſophantibus acquieſcens morem gerat. Hanc ob cauſam Auguſtus, reuera auguſtus ac magnus fuit, quòd Arrium & Thraſylum quoquo verſum ſecum duceret: non quo illum ædificiorum conſtruendorum ſoluendorumve rationem edocerent, ſed ad virtutis opera incitarent. Et fama eſt, Auguſtum, quum aliquando audacius ſeſe populus Alexandrinus geſſiſſet, & iam pœnam ſui facti timeret, editiori conſcenſo ſuggeſtu, edixiſſe. Iram, inquit, meam vobis condono ex Arrij quidem conſilio, pro meo autem Arrio parendi affectu. Nam tametſi Arrius quam maximè fieri potuiſſet, optima dixiſſet, Auguſtus autem interim eadem neglexiſſet, nullum populus ex Philoſophi illa admonitione fructum collegiſſet. Sanè mihi Zeno ille Cittienſis perquam placet, parendi ſtudium, ipſa ingenij perſpicacitate virtutem magis regiam eſſe definiens, ordinemque Heſiodium hoc pacto inuertens,

Optimus ille quidem, qui paret recta monenti.
Rurſus at ille bonus, qui per ſeſe omnia nouit.

Neque enim fieri poteſt, vt Imperator vnus etiamſi maximè diuinus exiſtat, tot curis præfectus, in omnibus quod expediat, aſſequatur. Cæterum ſi illud quod dico parendi obſequendique in ſe munus habeat, corrogare à multis poterit quæ multitudo negociorum omnia ſigillatim à ſe habere non permittit,

Pluribus inter ſe rem conſultare paratis,
Huic pare, melior cui ſtat ſententia menti, inquit Neſtor: qui etiam Agamemnonem huiuſmodi verbis obiurgat. *te plurima ſæpe Admonui.* Cæterum tibi, Imperator, non eſt qui hactenus obiiciat, quòd cum vtile conſilium tibi attuliſſet, tu illi minùs obtemperaſſes. Sed vel per te quod rectum erat anteuertens inueniſti, aut ab alio ſollerter inuentum, in rem deducis. Quoad memoriam attinet,

οἵας πολλὰς ὀνειροπολοῦμεν οἱ ἄνθρωποι, προελθεῖν εἰς ἔργον ῥᾳδίως μὴ δυναμένας. ἀγαπῶμεν δὲ, εἰ φανείη ποτὲ βασιλεὺς, οὐκ αὐτὸς αὐτουργῶν φιλοσοφίαν, τοῖς δὲ φιλοσοφοῦσιν ἀληθῶς εὐπειθὴς καὶ ὑπήκοος. διὰ τοῦτο καὶ ὁ πάνυ Σεβαστὸς, μέγας ὤν, ὅτι τὸν Ἄρειον καὶ τὸν Θράσυλλον συμπαρεξήγετο· οὐχ ἵνα αὐτῷ συνθέσεις οἰκοδομημάτων ἐξηγῶνται καὶ ἀναλύσεις· ἀλλ' ἵνα πρὸς τὰ ἔργα τῆς ἀρετῆς παρορμῶσι. καί ποτε λόγος, ἀναβάντα ἐφ' ὑψηλὸν βῆμα τὸν Σεβαστὸν, θρασυνομένου τι τοῦ δήμου τῶν Ἀλεξανδρέων, καὶ μὴ δεδιότος τὴν τιμωρίαν, Ἀφίημι φάναι τὴν ὀργὴν ὑμῖν, Ἀρείου μὲν συμβουλῇ, ἐμῇ δὲ εὐπειθείᾳ· εἰ δὲ ὁ Ἄρειος μὲν ὡς οἷόν τε ἄριστα εἶπεν, ὁ Σεβαστὸς δὲ ὠλιγώρησε τῆς παραινέσεως· οὐδὲν ἂν ὁ δῆμος τῆς τοῦ φιλοσόφου νουθεσίας ἀπώνατο. ἐμοὶ δὲ καὶ Ζήνων ὁ Κιτιεὺς λίαν ἀρεστὸς, τὴν εὐπείθειαν ἀποφηνάμενος τῆς ἀγχινοίας ἀρετὴν εἶναι βασιλικωτέραν· καὶ τὴν τάξιν τῆς Ἡσιόδου μεταθείς·

Κεῖνος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται·
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς αὐτὸς πάντα νοήσῃ.

οὐ γὰρ οἷόν τε ἕνα ὄντα τὸν βασιλέα, κἂν σφόδρα ὑπάρχῃ θεοειδὴς, τοσαύταις ἐπιστατοῦντα φροντίσιν, ἐν ἁπάσαις τὸ δέον εὑρίσκειν. ἀλλ' ἐὰν ἔχῃ τὸ εὐπειθὲς καὶ εὐήκοον, ἐρανίζειν οἷός τε παρὰ πλειόνων, ἃ τὸ πλῆθος τῶν πραγμάτων οἴκοθεν ἅπαντα λεπτουργεῖν οὐκ ἐᾷ. Πολλῶν δὲ ἀγρομένων φησὶν ὁ Νέστωρ τῷ πείσεαι, ὅς κεν ἀρίστην Βουλὴν βουλεύσῃ. ἀλλ' ὁ μὲν Νέστωρ καὶ ἐπιτιμᾷ που τῷ Ἀγαμέμνονι· μάλα γάρ τοι ἔγωγε Πόλλ' ἀπεμυθεόμην. σοὶ δ' οὐκ ἔστι μέχρι γε νῦν, ὅς τις ἂν ἔχοι προενεγκεῖν, ὅτι χρηστὴν αὐτῷ συμβουλὴν προσφέροντος, παρακήκοας· ἀλλ' ἢ κατὰ σαυτὸν προλαβὼν τὸ δέον ἐξεῦρες, ἢ τὸ ἔργον ἐπάγεις τῷ παρ' ἄλλου καλῶς εὑρημένῳ. τὸ δὲ δὴ τῆς μνήμης,

tantum illa claritudinis Artaxerxi Perſarum Regi conciliauit, vt vel ſola ad omnem ſplendorem ſuffecerit: & Memorioſi cognomentum illi Regi, tanquam alij aliquod ornamentum, adhæſerit. Equidem omnium omnino meminiſſe atque indeleta retinere, nequaquam commodæ indolis ſignum eſſe ſtatuo, maximè in eo, quem ex priuato dominus Deus Regem fecit. Neceſſe enim eſt, iſtiuſmodi multa in præcedenti vita præter animi ſententiam audiuiſſe, multa acerba toleraſſe. Nam & inſolens Magiſtratus priuatum contemnit, & qui plura poſſidet eum aſpernatur qui pauciora poſſidet. Quid ni igitur ſi votis ſit locus, ego iſtiuſmodi qui à ſago ad purpuram induendam vocatur, Lethes aquam bibiſſe optauerim? At vero hoc laude dignum, ſeu potius diuinæ planè cuiuſdam naturæ eſſe deputo, Imperatorem & memorem & obliuioſum ſimul eſſe: memorem, inquam, bonorum; contrariorum rurſus obliuiſcentem. Quot mortales in Darium Hyſtaſpis filium, quum adhuc ſatellitis munere ſub Cambyſe militans fungeretur, incurriſſe, conuitiis impetiiſſe, forte etiam quid rerum ipſius abſtuliſſe, veriſimile eſt? At ille ex quo die ſuper Cambyſis ſolium ſedit, alia quidem omnia remiſit: Syloſonti etiam patriam reddidit. Scio te quiſnam Syloſon fuerit quærere, Samius nempe ille, vir priuatus fuit: qui vbi aduertit Darium inter ſatellites merentem, paludamenti, quo amictus erat, cupiditate teneri: illo ſe exuens, eidem pecuniam rependere volenti gratis conceſſit. Et Darius quidem breui tempore paludamentum illud contriuit, muneris autem memoriam nequaquam: ſed ſimul ad regnum peruenit, hoc ſibi proſperioris fortunæ exordium fore eſt arbitratus, ſi bene de ſe promeritum beneficentia longe ſuperaret. Tu autem iræ tuæ memoriam in nullius damnum reuocaſti. Syloſontas verò infinitos viciſti, neminem vlciſcens, ſed beneficio etiam illos afficiens, qui te offenderant, dummodo vtiles frugique cognouiſſes.

Nam priuatas inimicitias perſequi,homini priuato, præmia autem virtutis tribuere, Imperatori conuenire exiſtimaſti. Non ita Alcibiades Cliniæ filius, & quidem militiæ dux Populi ſuffragiis electus, Eupolidi Comico, cui tamen ars ipſa impunitatem dicteriis ludendi dabat,fabulæ, quam Baptas inſcripſerat, memoriam condonauit. Sed tu, vt apparet, etiam illum Imperatorem præceſſiſti, qui ſimul ad imperium peruenit, ad ſe vocato, quem ſibi maximè odio eſſe meminerat, Confide, inquit, vir optime: ab hodierna enim die non difficilem me inimicum es habiturus. Ob quod dictum, non minus celebris ille, quam ob Decebali cædem, aut Parthicas victorias, aut Germanos ſibi ſubiectos, euaſit. Maior enim profecto victoria Imperatori Romano eſt, iram rationi,quàm barbaros militibus parentes habere. Neque enim Getarum excurſio tantum Romano Imperio nocuit, quantum vel Neronis vecordia, vel Domitiani furor. Neque ira forſitan illa vocanda eſt, quæ à ratione conſopitur, ſed quæ poſtquam vires nacta ſit, monſtri quippiam parit, acerbitatem nempe & inſaniam, ſcirrhis morbis ſimiles,ipſam primò afflictam animam cui intabuerant, conſumentes. Cæterum oratio orationem excipiens in aliud me indicium impulit: à memoria, inquam, in humanitatem facilitatémque, quam in te eſſe, cui dubium eſſe poteſt, qui paulo ante abs te geſta oculis ſaltem vſurpauit? Equidem exiſtimo, ſi quis peregrè extra Romanum Imperium toto rebellionis tempore exiſſet, & quæ præceſſerat, ſalubrem Reipubl. conditionem nouiſſet, præſentíque nunc demum rerum ſtatui ſuperueniret, nullam fidem iis habiturum, qui quæ medio illo tempore accidiſſent,enarrarent: nec tantillum quidem pro tanto rerum nouandarum motu immutatum inueniens: ſed eoſdem ordinum ductores, præfectos, ſatellites, milites,eandem Senatus frequentiam ſumma æquitate conſeruatam deprehendentem, merito quæſiturum, quinam fuerint, qui vna cum ſanguinario illo nuperam rerum tranquillitatem abſtuliſſent: quum tranquillitate iſta ſine ſtrepitu

ſuccedente,

τὸ μὲν γὰρ ἐκπλῆσαι τῆς ἰδίας ἀπεχθείας ἰδιώτῃ· τὸ δὲ ἆθλα τῆς ἀρετῆς ἀποδοῦναι, βασιλεῖ προσήκειν ἐνόμισας. Ἀλκιβιάδης δὲ ὁ Κλεινίου, καὶ ταῦτα στρατηγὸς ὢν αἱρετὸς, οὐχ οὕτως ἀπεμνημόνευσεν Εὐπόλιδι τῷ κωμῳδοδιδασκάλῳ τοὺς Βάπτας, καίτοι τῆς τέχνης αὐτῷ διδούσης τοῦ σκώπτειν τὴν ἄδειαν ἐκ τῶν νόμων. ἀλλὰ κἀκεῖνον, ὡς ἔοικε, τὸν αἰσχεάτερα παρελήλυθας, ὃς ἐπειδὴ τάχιστα ἧκεν εἰς τὴν ἀρχήν, καλέσας ὃν μάλιστα ἀπεχθανόμενον ᾔδει· Θάρσει φησὶν ὦ βέλτιστε· οὐ γὰρ ἕξεις χαλεπὸν ἐχθρὸν ἐκ τῆς σήμερον. καὶ ἐπὶ τούτῳ τῷ ῥήματι οὐχ ἧττον ἀοίδιμος ἐστὶν ὁ βασιλεύς, ἢ τῇ Δεκεβάλου σφαγῇ, καὶ ταῖς Παρθικαῖς νίκαις, καὶ Γερμανοῖς ὑπακοῦσι. μείζων γάρ, ὡς ἔοικε, νίκη βασιλεῖ Ῥωμαίων, τὸν θυμὸν ὑποκύπτοντα ἔχειν τῷ λόγῳ, ἢ τοὺς βαρβάρους τοῖς στρατιώταις. οὐδὲ γὰρ ἡ Γετῶν ἐκδρομὴ τοσοῦτον εἰργάσατο τὴν Ῥωμαίων ἀρχήν, ὅσον ἡ Νέρωνος ἐμπληξία, καὶ ἡ Δομετιανοῦ μεγαλγολία. καίτοι οὗτόν γε οὐδὲ θυμὸν ἴσως κλητέον, ὃς κατακοιμηθεὶς ὑπὸ τοῦ λογισμοῦ, ἐπειδὰν λάβηται δυνάμεως, ἀνεγείρει τι ἀλλόκοτον, καὶ πικρίαν καὶ μῆνιν, σκιροῖς ἐοικότα νοσήμασιν, αὐτὴν πρώτην τιμωρουμένην, καὶ δαπανᾷ τὴν ψυχὴν ᾗ ἐντέτηκε. λόγος δέ με ἐκ λόγου παραλαμβάνων, εἰς ἕτερον γνώρισμα ἐξενήνοχεν· ἐκ τῆς μνήμης εἰς τὴν πρᾳότητα· περὶ ἧς. τίς ἂν ἡμῖν ἀμφισβητήσειε τὰ χθὲς καὶ πρώην ἑωρακώς; οἶμαι γὰρ ἔγωγε, ὡς εἴ τις ἐκδημήσας τῆς Ῥωμαίων ἀρχῆς, τὸν τῆς ἐπαναστάσεως χρόνον, καὶ τὴν προτέραν τάξιν ἐγνωκὼς ὑγιῆ, τῇ πολιτείᾳ τῇ νῦν ἐπισταίη, σφόδρα ἂν ἀπίστους νομίσαι τοὺς ἐξαιρέντας τὰ μεταξὺ συμβεβηκότα, οὐδ' ὁτιοῦν εὑρίσκων ἀξίως τοσαύτης καινουργίας μετηλλαγμένον· ἀλλὰ καὶ ταξιάρχους τοὺς αὐτούς, καὶ στρατηγοὺς καὶ λοχαγοὺς, καὶ δορυφόρους, καὶ στρατιώτας, καὶ τὸ πλήρωμα τῆς γερουσίας, δικαιότατα δὴ τοῦτο ἀποσεσωσμένον, ὥστε ζητεῖν οὐκ ἀπεικότως, τίνες ἄρα ἦσαν οἱ συναράμενοι τῷ παλαμναίῳ τούτῳ τὴν παραλαβοῦσαν ἀδικίαν. ἀψοφητὶ γὰρ τῆς νῦν γαλήνης

ἐπιλαμπούσης, ἡ τῆς ἐν μέσῳ χειμῶνος αἴσθησις ὑπεξήρηται· ἀλλ' ὅπως μὲν εἰς ἀσφαλὲς αὖθις κατέστησας τοὺς ὑπ' ἐκείνης τῆς ζάλης περιενεχθέντας, κατ' ἰδίαν ὁ λόγος ὑμνήσας τε αὖ αὖθις παλιλλογοίη. πρός γε μὴν τοὺς οἰκείους, τοσοῦτον ἆρ' ἐξουσίας τῆς αὐτῆς ταύτης περίεστιν, ὥστε τούτους γε ὑπολαμβάνεις οὐδὲ ῥήματι τραχυτέρῳ δεῖν ἀνιᾶν· ἀλλὰ εἴ τι καὶ ἐκδράμοι ἐκ τῆς γλώττης, ἄρριζόν ἐστιν ἐκ τῆς ἔνδον ὀργῆς, καὶ συνήνεγκε(?) τῷ παροξύναντι. ἀφεὶς γὰρ τὸ πλημμέλημα αἰτιάσασθαι, εἰς ἀπολογίαν τοῦ ῥήματος αὐτίκα καθίστασαι. χολῇ γ' αὖ τινα τῶν ὁμοήθων ἄχρι τῶν ἔργων λυπήσαις, ὁ μηδὲ ἄχρι τῶν ὤτων(?) ποτὲ καρτερήσας; ἆρ' οὖν ἀμφισβητήσιμον ἡ πραότης, οὗ μηδεπώποτε ὁ θυμὸς ἐκ τῆς καρδίας ὡρμήθη; τοῦ δὲ Ἀγαμέμνονος Ὅμηρος ἀγανακτοῦντος, οὐδὲν ἀθόρυβον ἐᾷ τοῦ σώματος μέρος, Ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι Πίμπλαντ'· ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. εἶτα λοιδορεῖται τῷ μάντει, λοιδορεῖται τῷ στρατηγῷ, αἰχμαλώτου γυναικὸς χάριν· ἐν οὐδενὶ λόγῳ ποιούμενος τὴν τοῦ στρατεύματος σωτηρίαν· καὶ οὐδὲ ἄχρι τῆς λοιδορίας ἔστησε τὴν ὀργήν, ἀλλ' εἰς ἔργον ἐξήγαγε. τοιγαροῦν ᾔσθετο(?) οὐκ εἰς μακρὰν ὁ γυ-νάδας ἐπὶ πολλῶν χαλεπήνας. καὶ Ὅμηρος οὐχ ἵνα κατηγορήσῃ τοῦ Ἀγαμέμνονος ὑπεξῆλθε τῷ παθήματι, ᾧ γε τὸ σκῆπτρον αὐτῷ διαδόσιμον ἐκ τοῦ οὐρανοῦ παρα[illegible]· ἀλλ' ἵνα ἐλέγξῃ τὸν θυμόν, ὁπόσης δεῖται βασιλέως φυλακῆς. εἰ γὰρ καὶ τὸν ἥρω τὸν οὐ πολλοστὸν ἐκ Διός, ὃν οὐκ οἴεται δεῖν εἰ θεῶν παραβάντι(?), ἀλλὰ τελοῦ, τοσαύτης ἐνέπλησε ταραχῆς, ὡς πῦρ μὲν ἐκλάμπειν τοῖν ὀφθαλμοῖν, ζεῖν δὲ τὸ αἷμα, οἰδαίνειν δὲ τὴν γνώμην, ἀνατρέψαι δὲ τὰ πράγματα ἅπαντα μικροῦ δεῖν, πῶς οὐκ δηλοῖς(?) γε τὸ πάθος πλείονος ἄξιον εὐλαβείας; ᾧ σὺ καλῶς ποιῶν, τὸν χαλινὸν ἐπέθηκας, τὸν ἐκ τοῦ λόγου· μᾶλλον δὲ εἰς λόγον ἀεὶ τελευτᾶν ποιεῖς. ἀλλὰ νὴ Δία τὸ μεγαλοπρεπές τι καὶ ἐλευθέριον,

ſuccedente, tempeſtatis omnis, quæ interceſſerat, ſenſus ſit prorſus extinctus. Cæterum quonam modo in tuto rurſum, quos turbo ille inuoluerat, collocaris, ſingulari aliquando oratione cum laude tua rurſum explicabitur. Interim tanta tibi erga tuos familiares facilitas eſt, vt illos ne aſperiori quidem ſermone contriſtandos exiſtimes: aut ſi quid tale à lingua proficiſcatur, nullas omnino radices ex interiori iracundia trahat; ſed inſuper in rem illi cedat, qui te concitarat. Omiſſa enim delicti incuſatione, defenſionem potius verbi abs te fortè calidiùs prolati ſubſtituis. Factis autem quînam ſeriò tuorum familiarium quempiam offendas, qui nec aurium tenus id facere ſuſtineas? An vero facilitas eius controuerſa eſt, cuius ab animo nunquam ira erupit? Agamemnone ſtomachante, nullam Homerus in illo corporis partem imperturbatam reliquit:

Ille furit, cæcuſque animus magna æſtuat ira,
Binaque fulgentes imitantur lumina flammas.

mox conuiciatur vati, conuiciatur Imperatori, ipſam exercitus incolumitatem nullo loco habens: idque muliebris mancipij cauſa. Quin nec intra conuicia iracundiam ſuam tenuit, ſed factis prodidit. Vnde ſuæ illius coram multis teſtibus ſuſceptæ iracundiæ fructum homo egregius paulo poſt reportauit. Neque Homerus, vt Agamemnonem accuſaret, huic animi morbo ſubiecit, quòd ſceptrum à Ioue datum cælitus illi obtigiſſet: ſed vt furorem coargueret, quantáque Imperatori ab eo cautione eſſet abſtinendum. Si enim heroem illum non longa ſerie ex Ioue genus ducentem, quémque non vni Deo, ſed tribus eſſe comparandum cenſet, tanta turbatione impleuit, vt ignis ex oculis emicaret, ſanguis ferueret, mens ira turgeret, ac tantum non omnia diſturbaret; quomodo non aliis hic animi morbus maiori cura eſt coërcendus? Cui præclarè facis, Imperator! rationis frænum inijciens, ſeu potius in rationem illum ſemper deſinere cogens. At hercle, num quis magnificentiam liberalitatémque

obſcurè in te ac non potius præ cæteris indiciis omnium manifeſtiſſimis effulgere dicat? Vos mecum ſic rem conſiderate. Omnibus Imperatoribus, imò fere mortalibus vniuerſis, virtus quæ circa opes verſatur, duplici modo eſt diſpertita: nempe vt quis capiat quæ decet, & expendat in quæ oportet. Ego, ſi vtrumque horum ſeorſim per ſe conſiſteret, & aut expendere liceret nihil recipienti, aut recipere nihil expenſuro, eiuſdem vtrumque eſſe prudentiæ arbitrarer. Quando vero alterum ita ex altero nexum eſt, vt ex ærario depromere non poſſint, niſi qui prius eò intulerunt; multo maiorem cautionem circa id ex quo alterum dependet, exhibendam aio, quàm circa iſtud contentionem. Proinde etiam illos magis laudari oportet, non qui plura quàm quæ habent, largiuntur, ſed qui pauciora quàm moris eſt, exigunt. Neque enim fieri poteſt, vt quis liberalius conſumat, niſi etiam iniuſtius conquirat. Quando autem quæ à multis haud exigua collecta ſunt, alteri conferuntur, tum nequaquam res ſimilis periculi eſt, quàm ſi quis infinitos vexet, vt vni gratificatus fuiſſe videatur: aut multos neceſſariis vitæ præſidiis ſpoliet, quo fluminibus, vt ita dicam, guttas aliquas nequidquam inſtillet. In quo etiam ridiculum planè illud ineſſe video. Omnes enim qui à vobis beneficium aliquod accipiunt, aut agros poſſident, aut poſſidebunt: adeo, vt ſi munera iſtiuſmodi ſibi conferri cupiant, in eo quoque, vt publica vectigalia ſimul augeant, ſtudium ſibi ponendum eſſe ſciant. Circulus enim hic identidem in ſe redit. Et ſicut nubes ferunt aquam ad ſe trahere ex ipſa terra, rurſumque quantum attraxerunt, terrę ſuppeditare: ita etiam Imperatores, in quos dona ſua præmittunt, ab iiſdem eadem corrogare conſpicimus. Caput ergo huius ſermonis huc redit: quo pauciora Imperator exigit, eo plura largiri. Quod quidem inſtitutum in Romano Imperio pridem extinctum, ſiue in contrarium potius redactum fuerat,

ἀμυδρῶς ἄν τις ἐμφαίνεσθαι φαίη τοῦ βασιλέως· καὶ οὐ ταῦτα ἐστὶ τὰ πάντων ἐκδηλότατα τῶν γνωρισμάτων. σκοπεῖτε δὲ οὕτως· ἅπασι τοῖς βασιλεῦσιν ἡ περὶ τὰ χρήματα ἀρετὴ (σχεδὸν δὲ καὶ πᾶσιν ἀνθρώποις) εἰς δύο ταῦτα διανενέμηται, λαμβάνειν τε ἴσα δεῖ καὶ ἀναλίσκειν εἰς ἃ προσήκει. ἐγὼ τοίνυν, εἰ μὲν ἑκάτερον τούτων καθ' ἑαυτὸ ἦν, καὶ ἢ δαπανᾶν ἐξῆν μηδ' ὁποιοῦν κομιζομένοις, ἢ κομίζεσθαι μηδ' ὁποιοῦν μέλλοντα ἀναλίσκειν, τῆς ἴσης ἂν ἠξίουν ἄμφω προνοίας. ἐπειδὴ δὲ θατέρου θάτερον ἤρτηται, τὸ προέσθαι ἐκ τῶν ταμείων οὐχ οἷόν τε ἐστὶ, μὴ πρότερον εἰσενεχθέντων ἐκεῖ, πλείω φημὶ δεῖν ἐπιδείκνυσθαι τὴν εὐλάβειαν ὅθεν ἐξετάζεται καὶ ἡ περὶ τὸ δεύτερον φιλοτιμία. καὶ διὰ τοῦτο ἐπαινεῖσθαι μᾶλλον προσήκει, οὐ τοὺς πλείω δωρουμένους τῶν ἑκατὸν, ἀλλὰ τοὺς ἐλάττω τοῦ συνήθους εἰσπραττομένους. οὐ γὰρ ἔνεστιν ἀφειδέστερον δαπανᾶν, ἄνευ τοῦ συναγαγεῖν ἀδικώτερον. ἴστε δὲ δὴ καὶ συμβαίνοντα παρὰ πολλῶν συνειλεγμένα μὴ σμικρὰ γίνεσθαι δωρεαὶ, οὐδαμῶς ὁ κίνδυνος ἴσος, ἀνιῶντα μυρίους ἑνὶ φαιδρῦναι κεχαρισμένον, ἢ τὰς ἀναγκαίας ἀφορμὰς ἀφαιρουμένων τῶν πολλῶν, πιδαμοῖς ἐπιρραίνειν ψεκάδας· ἄλλως τε καὶ γελοῖον ὁρῶ τὸ συμβαῖνον. ἅπαντες γὰρ οἱ παρ' ὑμῶν κομιζόμενοι τὰς δωρεὰς, ἢ κέκτηνται γῆν καλῶς ποιοῦντες, ἢ κτήσονται· ὥστε εἰ πάνυ βούλοιντο συναύξεσθαι σφίσι τὰς δωρεὰς, ἴστωσαν ἅμα ἐσπουδακότες συναύξεσθαι τὰς εἰσφοράς. ὁ γὰρ κύκλος εἰς ἑαυτὸν τοῦτο περιίησι, καὶ ὥσπερ τὰς νεφέλας φασὶν, ἑλκυσάσας τὸ ὕδωρ ἐκ τῆς γῆς, αὖθις τῇ γῇ χορηγεῖν ἴσον εἵλκυσαν· οὕτω καὶ τοὺς βασιλέας ὁρῶμεν, εἰς οὓς προσίενται, παρ' ἐκείνων ἐρανίζοντας. τὸ τοίνυν κεφάλαιον τοῦ λόγου τοῦτο ἐστὶν, ὅτι ὅσῳ περ ἂν ἐλάττω προσάγεται βασιλεὺς, τοσούτῳ πλείω δωρεῖται. τοῦτο τοίνυν ἐκλελοιπὸς ἤδη τῆς Ῥωμαίων ἀρχῆς, μᾶλλον δὲ καθεστηκὸς εἰς τοὐναντίον.

ἀεὶ γὰρ ἐπεδίδου τὸ μέγεθος τῶν εἰσφορῶν ὅσα ἔτη, καὶ τὸ παρελθὸν ἔθος ἀεὶ τοῦ παρόντος κουφότερον ἦν, καὶ βαρύτερον ἀμφοῖν τὸ προσδοκώμενον. ταύτην τὴν κακὴν αὔξησιν καταλαβόντι πρῶτον μὲν ἔστησας ἀπροσδοκήτως, καὶ πρὸς ἐφεξῆς ἐνιαυτοὺς οὐ προὔβη τὸ νόσημα, ὥσπερ εἰώθει, τῷ τετάρτῳ δὲ τὴν ἴσην μοῖραν παρελύσατε τῆς βαρύτητος, καὶ ἀνεγνώσθη γράμματα ἀπιστούμενα, λειτουργήσεις ἐλάττους πόσου καὶ πόσου μεδίμνους, καὶ οἴνου κοτύλας, καὶ ἐλαιοποιίας ὀξίστης ἀποδέοντα τοῦ συνήθους. τί λέγεις; ἡνίκα ἐπὶ Σκύθας στρατεύει βασιλεύς, ἡνίκα ἐγείρει πόλεμον, ἀκραιφνῆ καὶ σιτούμενον οὐχ ὡρισμένα. οὐ γὰρ ἀγαπητὸν εἰ μὴ τῇ χρείᾳ καὶ προσοίσομεν. καὶ γὰρ ἄπιστον, εἰ μὴ τὰς εἰσφορὰς ἡ καταλαβοῦσα ἀνάγκη διπλασιάσει. νῦν δὲ ἐν καιρῷ περιουσίας αἰτοῦντι δαπάνης, εἰς τὴν ἀρχαίαν ἀκρίβειαν ἡμῶν ἐπανάγεις. καὶ τοῦτο οὐκ ἀπεέμα, ἀλλ' ἀθρόως εὖ καὶ πάνυ σοφῶς ἐννοήσας, ὅτι τὸ μὲν αὔξειν τὰ δυσχερῆ κατὰ μικρὸν αἱρετώτερον. οὕτως γὰρ ἂν κλέπτοι τὴν αἴσθησιν ἡ τῆς δυσχερείας προσθήκη· τὸ δὲ τῶν χαλεπῶν ὑφαιρεῖν, ὅσῳ περ ἂν ἀθροώτερον γίνηται, τοσούτῳ μᾶλλον ἔκδηλον ἔχει τὴν ἐπὶ τὰ ἀμείνω μεταλλαγήν· διὰ τοῦτο οἱ μὲν ἀεὶ κατὰ χοίνικα προστιθέντες, ἔλαθον ἐν τεσσαράκοντα ἔτεσιν, εἰς διπλάσιον τὰς εἰσφορὰς περιστάντες· σοὶ δέ, εἰ κατὰ γνώμην ἐκβαίνοι τὰ μέτρα τῆς ἐπανόδου, ἐξ ἡμισείας εἰς νέωτα λειτουργήσομεν. βούλει τοίνυν ἐξείπω τὸ τούτων αἴτιον; οἰκίας πρότερον ἐπεμελήθης ἢ βασιλείας, καὶ μετενήνοχας ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζω τὴν ἐμπειρίαν. ἐρέτην δὲ ἔφη δεῖν ἡ κωμῳδία πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν. οὐδέν σε δεῖ ζητεῖν τοὺς διδάξοντας, ἐξ ὅσων ἱδρώτων περιγίνεται τοῖς γεωργοῖς καὶ ἡμίεκτον, καὶ ἀμφίεκτον, καὶ ἀμφορεύς, καὶ χαλκοῦς εἷς, καὶ ἀργυροῦς στατήρ, χρυσοῦς τε, ὅτε καὶ θέαμα, ἀγαπητὸν τοῖς πολλοῖς ἀνθρώποις.

Nam antea ſingulis annis magnitudo vectigalium intendebatur, ſemperque præcedens præſenti anno leuior fuit, & vtroque horum grauior tertius qui exſpectabatur. Quod improbum augmentum vos deprehendentes, primum quidem præter exſpectationem, morbum illum ita ſtitiſtis, vt inſequenti triennio vlterius nequaquam inualeſceret vt ſolebat: quarto vero anno æqualem oneris huius partem diſſoluiſtis, lectæque hac ipſa de re litteræ, quæ vix fidem obtinerent. Tot (inquiebant) frumenti modios, ac vini heminas è tributorum canone detrahes; eodemque de cæteris modo, vt à conſueto vſu tantum illis deſit. Quid ais? Quando in Scythas exercitum agit, bellumque Imperator nouum ſuſcipit, qui certis ac demenſis cibariis minimè veſcitur (Nonne enim bene nobiſcum agi putandum eſt, ſi non etiam amplius aliquid in pręſentem neceſſitatem contulerimus, ob eámque duplo maiora tributa præſcribãtur?) hoc inquam ipſo tempore, quod ſumptus amplificari poſtulet, tu nos ad veterem illam exactamque normam reducis, neque hoc ſenſim, ſed confertim. Pulchrè nimirum ac prorſus ſapienter intelligens; grauia paulatim potiùs eſſe augenda. Ita enim incommodi additamentum, ſenſum eius tacitè abſtulerit. At vero in malis tollendis quanto maior acceleratio adhibeatur, tãto manifeſtius in melius factam mutationem elucere. Hanc ob cauſam qui identidem chœnices ad annuum vectigal addiderunt, ante hos quadraginta annos paulatim tributa duplicarunt. Tibi vero ſi ex voto cenſus publici modus reſpondeat, ſequenti anno vectigalia dimidio detracto nempe ſoluemus. Vis porro vt huius tibi facti rationem proloquar? domus tuæ, priuſquam Imperij, procurationem habuiſti: & à minoribus ad maiora experientiam tranſtuliſti: iuxta Comicum illud, Remum ducere oportet, antequam gubernaculis quis manum admoueat. Neque vero ab aliis tibi diſcẽdum eſt, quanto ſudore agricolis ſemiſextarius, amphora, æreus vnus, argenteus ſtater, ſiue etiã aureus (cuius vel ſolus adſpectus pleriſque hominibus iucundus eſt) comparetur.

Noſti quantum mali ſit exactoris impudentia, ſcribæ improba verſutia, quantum in vrbano milite lucri cupiditas: quorum cauſa publicæ miſeriæ multiplicantur. Hanc tu diſciplinam edoctus quam etiam Cyrus in Perſis, Philippus inter Macedones, Numa inter veteres illos Romanos (quo etiam nomine Senatus illum in exomide arantem, ab aratro avulſum purpura induit) didicerant, ad hoc ſolium conſcendiſti. Hinc in longum, velut ſi vna tantum familia imperium adeo amplum ſit, quid quodque anno obueniat, quid expendatur, quid deſit, quid ſuperſit, vbi facile, vbi operoſum, tibi proſpicere in promptu eſt. Solus enim Imperatorum non illos qui ratiociniis præſunt, ipſis ordinum ductoribus illuſtriores reddidiſti: neque elatis ſuperciliis incedunt magis quam ipſimet bello præfecti, qui computationum rationes adminiſtrant, neque in digitis illorum Reſpublica poſita eſt, ſed Ariſtidis illius in publicis vectigalibus curandis iuſtitiam æmulantur: adeo tu in noſcendis, præoccupandis, eludendis iſtiuſmodi artis labyrinthis acutior appares iis ipſis qui vnum hoc hactenus factitarunt. Vt igitur alia omittam, vel ſolum hoc ſufficere aio in vnius voti argumentum, cuius vtilitas per omnes dimanat. Quidnam illud? Non prouinciam inter duo flumina ſitam recuperari, non vltimos Scytharum refrænari, non Germanos, vrbes quas expugnarant, inſtaurare. Illud enim ſi conſequamur, Syri ſolum, Thraces ac Galli, vtque regio quæque propinqua iſtiuſmodi trophæo eſt, eiuſce rei ſenſum percipiet. At vero hæc in exigendis vectigalibus moderatio, omnium omnino, qui à terra aluntur, commune eſt bonum. Et ſpoliorum quidem ac mancipiorum iis dumtaxat, qui arma ferunt, fructus obuenit: quum interim iniquum ſit milites ſtipendia ob hoſtes debellandos accipere, illos autem qui ſtipendia præbent, premiorum exſortes haberi. At vero quando omnes in lucri partem veniunt, ita vt hi quidem plura ex hoſtibus accipiant, illi vero pauciora ex rebus ſuis contribuant, illud

οἶσθα ὁπόσον κακὸν πράκτορος ἀναισχυντία, ὁπόσον γραμματέως κακοτεχνία, ὁπόσον ἀτυχοῦς στρατιώτου φιλοκέρδεια. ὑφ' ὧν πολυπλασιάζεται τὰ δυσχερῆ. ταύτην παιδευθεὶς τὴν παιδείαν ἐπὶ τουτὶ τὸ βῆμα ἀνῆλθες. ἣν ἐπαιδεύθη Κῦρος ἐν Πέρσαις, ἣν Φίλιππος ἐν Μακεδόσιν, ἣν Νουμᾶς ἐν πάλαι Ῥωμαίοις. ὃν ἡ σύγκλητος Ῥωμαίων ἀροῦντα ἐν ἐξωμίδι ἀποσπάσασα ἐκ τοῦ ζεύγους ἠμφίεσε τῇ ἁλουργίδι. διὰ τοῦτο οἷός τε εἶ πόρρωθεν προορᾶν, ὥσπερ οἰκίας μιᾶς τοσαύτης ἀρχῆς, τί μὲν πρόσεισιν ἑκάστου ἔτους, τί δὲ ἀναλοῦται. καὶ τί μὲν ἐνδεῖ, τί δὲ περίεστι. καὶ ποῦ μὲν ῥᾷον, ποῦ δὲ ἐργῶδες. τοιγαροῦν μόνος αὐτοκρατόρων, οὐκ ἐποίησας σεμνοτέρους τοὺς ἐπὶ ταῖς ψήφοις τεταγμένους τῶν ταξιαρχῶν. οὐδὲ βαδίζουσι τὰς ὀφρῦς ἐπηρκότες μᾶλλον τῶν στρατηγῶν οἱ τοὺς λογισμοὺς διοικοῦντες. οὐδὲ κεῖται ἐπὶ τοῖς ἐκείνων δακτύλοις τὰ κοινά. ἀλλ' ἤδη τὸν Ἀριστείδην ἐκεῖνον τῆς ἐπὶ τοῖς φόροις δικαιοσύνης ζηλοῦσιν. οὕτω καὶ συνιέναι καὶ προλαβεῖν, καὶ καταπλάσαι τῶν λανθανόντων τῆς τέχνης, ὀξύτερος φαίνῃ τῶν μόνον τοῦτο ἔργον προσποιουμένων. ἵνα τοίνυν τὰ ἄλλα παρῶ, τοῦτο ἐξαρκεῖν φημὶ καὶ μόνον εἰς μιᾶς τύχης ἀφορμήν· οὗ τὸ κέρδος εἰς ἅπαντας διϊκνεῖται· τοῦτο δ' ἐστὶν, οὐ τὴν μέσην ἀνακομίσασθαι τῶν ποταμῶν, οὐδὲ Σκύθας τοὺς περαιτέρω σωφρονισθῆναι, οὐδὲ Γερμανοὺς ἀναστῆσαι τὰς πόλεις, ἃς διεπόρθησαν. ἐκείνου μὲν γὰρ εἰ καὶ τύχοιμεν, Σύροι μόνον αἰσθήσονται· τοῦ δὲ Θρᾷκες, τοῦ δὲ Γαλάται καὶ ἡ πρόσοικος χώρα ἑκάστῳ Ῥωμαίῳ. ἡ δὲ περὶ τὰς εἰσπράξεις φειδὼ, κοινὸν ἁπάντων κέρδος ἐστὶ τῶν ἀπὸ τῆς γῆς τρεφομένων, καὶ τῶν μὲν λαφύρων καὶ τῶν αἰχμαλώτων, εἰς τοὺς τὰ ὅπλα φέροντας μόνους ἡ ἀπόλαυσις περιίσταται. καὶ τὸ πρᾶγμα οὐδαμῶς ἴσον μισθοφορεῖν μὲν ὑπὲρ τοῦ κρατεῖν τῶν πολεμίων· τῶν ἄθλων δὲ μὴ κοινωνεῖν τοὺς μισθοδοτοῦντας. ὅταν δὲ ἅπαντες γίνωνται μερῖται τοῦ κέρδους, οἱ μὲν πλείω λαμβάνοντες ἐκ τῶν πολεμίων,

οἱ δὲ ἐλάττω διδόντες ἐκ τῶν οἰκείων, τοῦτο ἄν τις φαίη τὸ τρόπαιον τῆς κοινῆς εὐδαιμονίας, καὶ ταύτην τὴν νίκην εὐθηνεῖν. δι' ἣν ἅμα Σκυθῶν, καὶ τῶν δασμολόγων ὑπερφρονήσομεν. καὶ οὐκ ἔσονταί μοι τῶν βαρβάρων οἱ πράκτορες φοβερώτεροι. οὐ γὰρ κενωθήσεται πρὶν εἰσελθεῖν ὁ σῖτος τοῖς γεωργοῖς, οὐδὲ περιστήξουσιν οἱ δανείζοντες τοῖς τρυγῶσιν, οὐδὲ ἀνεόρταστος ὁ χειμὼν τῶν ταμιείων εὐρωτιώντων, ἀλλ' ἐπιχλιδῆ πᾶσι τὰ ἀγαθά· καὶ τότε αἰσθησόμεθα τῶν λαφύρων τῶν Σκυθικῶν, ὅταν μηδεὶς τὰ ἐμὰ λάφυρα ποιῆται. ταῦτα ἴσθι τὰ ῥήματα φοιτῶντα νῦν διὰ πάσης γῆς καὶ θαλάσσης, μᾶλλον δὲ συμφοιτῶντα εἰς μίαν φωνὴν τὴν ἐμήν. ταύτην σοι τὴν εἰσφορὰν ἀντεισφέρομεν. κερδαίνοντες μὲν μοῖραν οὐκ ὀλίγην τῆς συντελείας· λειτουργοῦντες δὲ τὴν εὔνοιαν ἐξ ὁλοκλήρου τῆς διανοίας, λειτουργίαν βασιλεῖ τιμιωτάτην, τὰ τῆς ἀρετῆς χαριστήρια. καὶ αὐτὴ τῶν ἐκ γῆς καρπῶν, οὓς ἀφῆκας ἡμῖν, ἐκκαρποῦσθαί σοι προΐεσι καρποὺς αἰωνίους. οὐδὲν γὰρ οὕτως ἀσφαλὲς τῶν ἀπὸ τῆς γῆς φυομένων, οὐδὲ οὕτω πρὸς τὸν χρόνον παρατεινόμενον, ὡς δόξα ἀγαθὴ καὶ αἰώνιος. αὕτη καὶ τὴν τοῦ σεβαστοῦ βασιλείαν ἀεὶ νέαν ποιεῖ, καὶ τὸν Τραϊανὸν ἀγήρω φυλάττει, καὶ τὸν Μάρκον ὁσημέραι ἀναβιώσκει· οἷς τὸν βασιλεύοντα ἐγὼ συναριθμεῖσθαι βουλοίμην ἄν. καὶ τοιούτων ἕκαστον οὐδὲ ἂν ὠνήσειε τηλικοῦτον πρὸς τὴν ἀγαθὴν μνήμην τὰ τρόπαια, εἰ χαλεπῶς γενόμενοι τοῖς βαρβάροις μὴ λίαν ἦσαν χρηστοὶ πρὸς τοὺς ὑπηκόους. οὐδὲν γὰρ τῷ πάσχοντι κακῶς τὸ Σκύθην ἢ Ῥωμαῖον εἶναι τὸν ἀδικοῦντα, ἀλλ' ὑφ' ὅτου περ ἂν πάσχῃ κακῶς, τοῦτον εἶναι τὸν πολέμιον οἴεται. καὶ πολλοὶ τῶν εὐπατριδῶν τὰ σκῆπτρα ἐκ τριγονίας διαδεξάμενοι, ποθεινοὺς ἐποίησαν τοὺς βαρβάρους τοῖς ὑπηκόοις. ἀλλ' οὐ νῦν. ἀλλ' ἀκολουθεῖ τῇ φύσει τῆς γνώσεως τό, τε οἰκεῖον καὶ τὸ ἀλλότριον· οἱ μὲν γὰρ ἀγαπῶσιν, οἱ δὲ πεφρίκασιν. ἐκ ταύτης τοίνυν τῆς φιλεργίας, οὐδὲ ὅση τῆς δαπάνης ἡ χρεία ἀγνοεῖς,

Illud nimirum quis verum publicæ felicitatis trophæum, hanc vberrimam victoriam eſſe dixerit: propter quam ſimul & Scythas & vectigalium exactores contemnemus: neque deinceps exactores quàm ipſi Barbari, maiori mihi formidini erunt. Non enim Annona, priuſquam inferet ad agricolas, euacuabitur: non triturantibus vſurarij adſtabunt, non illis hyems triſtis miniméque feſtiua horreis ſquallentibus tranſigetur: ſed ſua cuique bona plenè conſtabunt. Et tum denique Scythicam prædam experiar, quando nemo rem meam ſibi prædam effecerit. Hæc verba nunc terra marique vniuerſo dimanare, ſeu potius in vnam hanc vocem meam coire ſcias. Hanc tibi tributi penſionem referimus, non exigua quidem vectigalis portione nobis remiſſa: pro qua tamen animi propenſionem toto mentis affectu reponimus, tributi penſitandi genus Imperatori longè prçclariſſimum, virtutis nempe hoſtimentum. Quum loco fructuum ex terra naſcentium, quos nobis remiſiſti, dehinc fructus ſempiternos colligere poſſis. Nihil enim eorum quæ terra producit, ita ſemper floret, nihil ita cum tempore propagatur, vt bona perpetuáque nominis fama. Illa Auguſti imperium continuò renouat, illa Traianum à ſenio vindicat, illa Marcum quotidie in vitam reducit. Quibus ego nunc Imperatorem adnumeratum velim. Quorum ſingulis nihil adeo tot trophæa ad præclaram ſibi famam comparandam contuliſſent, ſi in Barbaros acerbi, in ſibi ſubiectos non faciles commodique exſtitiſſent. Neque enim illius qui accipit iniuriam, intereſt, vtrùm Scytha an Romanus ſit, qui illam infert: ſed à quocumque tandem malum patiatur, hoſtem ſibi eſſe arbitratur. Et ſanè multi longè nobiliſſimi, qui ex tertia progeniei ſucceſſione ſceptra ſuſceperant, vt ab hominibus ſibi ſubditis barbari ipſi potius expeterentur, effecerunt. At non ita hoc tempore; Sed & ciues, & alieni ſuam cuique generis naturam ſequuntur: illi enim amant, hi exhorreſcunt. Ex hoc igitur prompto agendi ſtudio quantum impenſæ opus ſit, non vtique ignoras;

ſed contrahis quotidie non neceſſariam, vt neceſſariâ abundes: Neque modò vllius illorum qui militare dicuntur, nomen falſo inſcriptum eſt; neque chlamyde & zona tenus quis miles habetur; ſed aut rem præſtare debet ordini, ad quem ſe ipſum aggregauit, aut ab illo arcetur. Atque hactenus ſplendidus quidem numerus in militaribus catalogis nominum fuit, nunc autem pedes grauis armaturæ, vere grauis armaturæ eſt: etiam eques, vere eques; iaculator denique non verbo, ſed re talis. Vidi ego nuper exercitum tuum, & concinniorem quam vllam choream vidi. Adeo vt inſulſus merito Homerus fuerit, qui Meneſthea, quod & pedites & equites ſcitè diſponere noſſet, adeo admiraretur. Neque enim tuæ phalangis concinnitatem adſpexerat, neque milites tuos ferro inhabitare creditos ne ob talem adſpectum aliquando cum lætitia obſtupuerat. Alioqui vt opinor, columbam contempſiſſet, vbi impetu ferri tuos ſagittarios vidiſſet, qui cum equis habenas ſuas miniſtrent, deſtinatius tamen illis ipſis, qui in terra conſiſtunt, ſagittas emittunt. Ac Priamus quidem non abs re Agamemnonem beatum prædicat, quod plures ex Hellade milites, quã ipſi Phryges eſſent, adduxiſſet: Tibi verò externus quidam, deſpectis ſceptris paternis, licet regni minimè obſcuri, ſtipatoris officium facturus aduenit; bonum nempe omen victoriæ aliquando ex Oriente reportandæ. Ex quibus manifeſtum euadit, omnium quæ à me hactenus dicta ſunt, ad te vnum ſummam redire. Qui enim animi alacritatem ſingulis, vt pro ſe quiſque officio ſuo fungatur, indit, cauſam nimirum, vt omnia rectè agãtur, ſuppeditat. Incitatur enim maximè vnuſquiſque, primum quidem, quando ſeſe in obſcuro eſſe non poſſe, deinde etiam vbi virtutis ſe ſuæ præmia conſequuturum intelligit: te autem neq; qui rectè facit, latere poteſt: & præterquam quod latere non poſſit, etiam præmio per te debito deſtitui omnino nequit. Sed quum ordinum ductores ac Centuriones explores, illudque ducum collegium tibi iam ſit perpurgatum; num illos qui pacis rebus præſunt, neglectui habes?

ἀλλὰ συστέλλεις ὁσημέραι τὴν μὴ δέουσαν, ἵνα τῆς δεούσης εὐπορῇς. καὶ νῦν οὐδεὶς τῶν στρατεύεσθαι λεγομένων, ψιλῶς τοὔνομα ἐπιγέγραπται, οὐδ' ἄχρι τῆς χλαμύδος, καὶ τῆς ζώνης στρατιώτης ἐστί· ἀλλ' ἢ τὸ ἔργον ἔχει παρέχεσθαι τῆς τάξεως, εἰς ἣν ἑαυτὸν ἔταξεν, ἢ ἀπελήλαται. καὶ τέως μὲν ὀνομάτων ἦν σεμνὸς ἀριθμὸς ἐν τοῖς καταλόγοις· νῦν δὲ ὁ μὲν ὁπλίτης, ὄντως ὁπλίτης· ὁ δὲ ἱππεὺς, τοῦτο ἀληθινῶς. ὁ δὲ ἀκοντιστὴς οὐκ ἄχρι τοῦ προσρήματος. καὶ πρώην εἶδον ἐγὼ στρατιὰν μᾶλλον χορὸν πάντως. Ὅμηρος δὲ ὡς ἔοικε λίαν ἀρχαῖος ἦν τὸν Μενεσθέα τεθαυμακώς, ἱκανὸν ὁπλίτας καὶ ἵππους κοσμῆσαι. οὐ γὰρ ᾔδει τὴν τῆς σῆς φάλαγγος εὐρυθμίαν. οὐδὲ τοὺς ἐοικότας τῷ σιδήρῳ πεπιστευμένους· οὐδὲ κατεπλάγη τοιαύτην ὄψιν ποτὲ μεθ' ἡδονῆς. κατεγέλασε δ' οἶμαι καὶ τῆς Πελιάδος, τοὺς φερομένους τοξότας ἑωρακώς. οἱ τοῖς ἵπποις ἐπιτρέποντες τὰς ἡνίας, ἐπισκοπώτεροι βάλλουσι τῶν ἐπὶ γῆς ἑστηκότων. ἐκεῖνο μὲν οὖν οὐκ ἀπεικότως ὁ Πρίαμος μακαρίζει τὸν Ἀγαμέμνονα, ὅτι Φρυγῶν πλείονας ἦγε στρατιώτας ἐκ τῆς Ἑλλάδος. σὲ δὲ ἤδη τις τὰ σκῆπτρα παρ' Ἀτρειδῶν τὰ πατρῷα καὶ ταῦτα οὐκ ἀφανοῦς βασιλείας μετανάστης ἥκει δορυφορήσων· ἀγαθὸν οἰώνισμα τῶν ἀπὸ τῆς ἕω τροπαίων. ἀλλ' ὅμως ἐκ τούτων δῆλόν ἐστιν, ὅτι σύμπαν τὸ κεφάλαιον τῶν εἰρημένων εἰς σὲ ἀνήκει. ὁ γὰρ ἐντιθεὶς ἑκάστῳ τὴν προθυμίαν, τοῦ τὸ προσῆκον ἑαυτῷ μέρος ἐξακριβοῦν, αἴτιός ἐστι τοῦ τὰ σύμπαντα ὀρθῶς ἔχειν. προθυμεῖται γὰρ ἕκαστος πρῶτον μὲν ὅταν γινώσκῃ μὴ λήσων· ἔπειτα ὅταν τὰ ἆθλα ἐκδέχηται τῆς ἀρετῆς. σὲ δὲ οὔτε λαθεῖν οἷόν τε τὸν κατορθοῦντα, οὔτε μὴ λαθόντα ἀγέραστον καταλειφθῆναι. ἆρ' οὖν ταξιάρχας μὲν καὶ λοχαγοὺς ἐξετάζεις, καὶ ξυνωρὶς σοι τῶν στρατηγῶν ἐστιν ἐκκεκαθαρμένη, τοὺς δὲ εἰρηνικοὺς ἄρχοντας τούτοις παρορᾷς,

Num quiſquam illorum muneribus corruptus, te fugit? num qui vltra definitum aliquid exegit? num qui contra leges iudicauit? aut alioqui iniuſtè quidpiam in tibi ſubditos perpetrauit? Nonne tanquam propè adſtares, omnia inſpicis, omnia audis, omnia quæ à ſingulis aguntur, auribus ipſe tuis tantum non oculiſque vſurpas? Quumque omnes magiſtratus captatores perterrueris, non amplius nunc honorum nundinationes proponuntur; non publico præconio gentium præfecturæ tanquam venales ſubmittuntur: ſed antiquum iuſtitiæ experientiæque pretium rediit: quod ſi quis poſſidere reperiatur, non ille corrogatis tabulis opus habebit: ſed publica, licet minimè cupiat, adminiſtrabit. Sic quum Satibarſanes ab Artaxerxe prouinciæ cuiuſdam præfecturam minimè ſibi conuenientem cum tribus millibus Daricorum petiuiſſet; pecuniam quidem illi donauit, præfecturam vero non permiſit. Pecuniæ enim, inquit, ſi tantum dem, non ob id indigentior: at vero ſi improbo præfecturam committam, iniuſtior ero. Nihil quippe Imperatori tanti faciendum eſt, atque ipſum Imperij corpus: quod ſi quiſpiam quidquid terrarum vſquam imperio ſubiectum eſt, vocitet, haudquaquam errauerit. Sicut enim in noſtris corporibus quæcumque tandem pars laboret, illi toti dolorem tranſmittit: ſic & Imperio vniuerſo, etiamſi vna tantum vrbs ſe malè habeat, totum illud valere non ſinit. Nunc autem audio multos veterum Imperatorum, villæ quidem ſeu pagi ne qua re indigere videretur, magnam curam geſſiſſe: vrbes autem totas collapſas pro minimo duxiſſe; & oculos quidem fuco pigmentiſque aſſiduè illeuiſſe, at vero terrarum orbem incultum relinquere, nihil penſi habuiſſe. Deinde equis fortaſſis non niſi valde ſelectis, hominibus vero etiam ad maxima quæque non exploratis vtebantur: quia nec aurigas ſpectare niſi qui optimè currum agerent, ſuſtinebant, vrbium interim gubernandarum fræna quibuslibet ſine delectu committere nullius momenti eſſe cenſebant.

Neſcientes, quicumque tandem gubernationis munus ſortitus ſit, illum exiguam imperij imaginem induere. Porro ex imagine, homines formam exempli primarij coniectant. Ridiculum vero ſit, ſtatuam, niſi prorſus adſimilis ſit, proijcere, tabulam delere quæ nihil exemplaris ſui repræſentet: de animatis autem imaginibus omni cura ſolutos non laborare. Et ſanè ſi ænea imago viuam effigiem Imperatoris non exprimat, nihil ob id ſpectatoribus incommodi adfert. At vero præfectus niſi formam tuam referat, mali fati inſtar ſubditis efficitur, potentiámque, quam ad bene faciendum eſt conſequutus, in contrariam partem traducit. Neque enim tu gladios aut pila militibus diſpertis, vt iis in nos, ſed pro nobis contra barbaros vti velint. Sin quis rectè dato ferro male vtendum duxerit, pœnam ſuſtinet: vt qui ſeſe homicidam, pro milite gerat: neque item quem paſtorem conſtituiſti, ſi pro paſtore ſe lupum oſtendat, præſtitutum iudicium effugere permittis. Quum autem multa in imperio tuo ſuſpiciam, tum illud præ cæteris, quòd veterem morem, temporum iniuria neglectum, ſuo loco repoſueris: quódque dona ab amicis conuenientia poſcere noueris: non equum hercle, neque canes (huiuſmodi enim dare quàm accipere magis regium eſt) ſed viros probos, & honoribus gerendis idoneos, ſine quibus nullus ſenſus tuæ erga ſe ſollicitudinis à ſubditis perciperetur. Sed ſiue chœnicem, ſiue cotylam dumtaxat vnam pendendam imperes, omnis hæc liberalitas infructuoſa invtiliſque redditur, ſi præfectorum fraudulentiam adiunctam habeat. Nihil enim in tributis penſitandis ita graue quam ſi res ipſa non ſit prompta ex ſeſe atque expedita. Sed quando, quomodo, & quod non hic, ſed illic, non in craſtinum, ſed ſtatim: illa nimirum, & paruum, magnum; & facile, difficile, reddunt: quodque duorum eſt obolorum, talento æſtimandum, quæ tamen ex lege definiri nequeunt. Neque enim illorum natura formam conſtantem admittere eſt apta: ſed animata hic lege opus eſt, quæ ſeſe tempori cuique accommodet,

οὐκ εἰδότες, ὅτι πᾶς ὁ λαχὼν ἀρχεῖν, σμικρὰν εἰκόνα τῆς βασιλείας ὑποδύεται. τεκμαίρονται δὲ ἐκ τῆς εἰκόνος οἱ ἄνθρωποι τὴν μορφὴν τοῦ ἀρχετύπου. γελοῖον οὖν ἀνδριάντα μὲν, εἰ μὴ πάνυ περιττῶς εἴη, καταβάλλειν, καὶ πίνακα εὐθὺς ἐξαλείφειν, εἰ μηδὲν φέροι τοῦ παραδείγματος· περὶ δὲ τὰς ἐμψύχους εἰκόνας μὴ φροντίζειν ῥᾳδιουργούντας. καίτοι χαλκῆ μὲν εἰκὼν μὴ σώζουσα τὴν ἰδέαν τοῦ βασιλέως, οὐδὲν ἂν λυμήναιτο τοὺς θεωμένους. ἄρχων δὲ μὴ φέρων τὸν σὸν χαρακτῆρα, αἴτιος κακῆς γίγνεται μοίρας τοῖς ὑπακούειν ταχθεῖσι. καὶ μετατίθησι τὴν ἐξουσίαν ἧς ἐπὶ τὸ εὖ ποιεῖν τετύχηκε, εἰς τοὐναντίον. οὐδὲ γὰρ τὰ ξίφη σὺ διανέμεις, οὐδὲ τὰ ἀκόντια τοῖς στρατιώταις, εἰ χρῆσθαι καθ' ἡμῶν βουληθεῖεν, ἀλλ' ὡς ὑπὲρ ἡμῶν χρῆσθαι πρὸς τοὺς βαρβάρους. εἰ δέ τις τοῦ καλῶς δοθέντος σιδήρου κακῶς ἀπολαύειν οἴεται δεῖν, ὑπέχει τὴν τιμωρίαν, ὡς ἀνδροφόνος φανεὶς ἀντὶ στρατιώτου. οὐκοῦν οὐδὲ τὸν ποιμαίνειν παρὰ σοῦ ταχθέντα, εἰ λύκος ἀντὶ ποιμένος ὀφθείη, κερδαίνειν τὴν προκαθήκουσαν δίκην ἐᾶν. πολλὰ οὖν ἀγάμενος τῆς βασιλείας, τοῦτο μάλιστα ἄγαμαι τῶν λοιπῶν· ὅτι τὸν θεσμὸν ἐν χρόνῳ περιοφθέντα, εἰς τάξιν καθίστης, καὶ δῶρα παρὰ τῶν φίλων ἔγνωκας ἀπαιτεῖν· οὐχ ἵππον, οὐδὲ κύνας μὰ Δία (ταῦτα γὰρ διδόναι μᾶλλον, ἢ λαμβάνειν, βασιλικώτερον) ἀλλ' ἄνδρας ἀγαθοὺς, καὶ πρὸς τὰ κατ' ἀρχὴν ἐπιτηδείους ὧν δίχα, τοῖς ὑπηκόοις οὐδεμία γένοιτ' ἂν αἴσθησις τῆς παρὰ σοῦ κηδεμονίας. ἀλλὰ κἂν χοίνικα ἐπιτάττης, κἂν μίαν κοτύλην, ἅπασι αὕτη ἡ φιλοτιμία, ἄκαρπος λύεται, καὶ ἀνόνητος, εἰ κακοῦργος. οὐδὲν γὰρ οὕτω βαρὺ τῶν συντελουμένων ὡς αὐτὸ καθ' ἑαυτὸ μὴ ῥᾴδιον εἶναι. ἀλλὰ τὸ πότε, καὶ πῶς, καὶ τὸ μὴ ἐνταυθί, ἀλλ' ἐνθαδί, καὶ τὸ μὴ εἰς αὔριον, ἀλλ' αὐτίκα, ταῦτα ποιεῖ καὶ τὸ μικρὸν μέγα καὶ τὸ ῥᾷον ἐργῶδες, καὶ τὸ δυοῖν ὀβολοῖν ἄξιον ταλάντου, ἃ νόμῳ μὲν διορίζειν οὐχ οἷόν τε. οὐ γὰρ δέχεσθαι πέφυκεν ἡ τούτων φύσις τύπον ἑστῶτα. νόμου δὲ ἐμψύχου δεῖ κατὰ τὸν καιρὸν ἕκαστον ἁρμοττομένου,

καὶ δικαιοσύνης χθαμαλωτέρας, ἀεὶ δὲ παρὸν τοῖς ὑπηκόοις εὖ τιθεμένης. τοιούτοις δὲ ὑπάρχειν ἀνάγκη τοὺς μέρεσιν ἐπιτροπεύσοντας, περὶ δὲ σύμπαν ἀνηρτημένῳ. ὥσπερ γε καὶ τοῦ συμπάντος τοῦδε ὁ κόσμος, ὄνομα πρέπον ἐστίν· ἀλλὰ τὸ μὲν κεφάλαιον εἰς τὸν θεὸν ἀνῆπται τῆς σωτηρίας. τὰ μέρη δὲ, ἄλλο ἄλλου κυβερνᾷ τῶν ὑπ' ἐκείνου προστεταγμένων, ἧς τάξεως ἀπολαύειν οἴεται δεῖν καὶ τοῦτον τὸν κόσμον ὁ προστατεύων. εἶεν· τί δὴ λοιπὸν τῶν γνωρισμάτων, ἆρα μή τι ἐκλελήσμεθα; φέρε εἰδῶ τὰ Πλάτωνος ῥήματα. ζητεῖ βασιλέα νέον, εὐμαθῆ, μνήμονα, πρᾷον, σώφρονα, μεγαλοπρεπῆ. καὶ δῆτα ὑπὲρ σωφροσύνης, ἆρα αὖ λόγου προσδεηθείητε, οὕτως ὑπ' αὐτοῦ πιεζόμενον τὸ σῶμα ὁρῶντες, δίψῃ, λιμῷ, ταῖς ὁσημέραις θυραυλίαις, ὅς γε καὶ εὐνὴν μίαν ἀγαπᾷ ᾗ συνεζύγη. τοιγαροῦν ἐξ ἱερῶν γάμων καὶ εὐαγῶν, καὶ τὸ βλάστημα ἱερώτατον, ὁ καλὸς, ὁ πολύευκτος· ὃν ἐγὼ ποιησαίμην Ἀλέξανδρον. καὶ θρέμμα αὖθις τοιοῦτον αὐξήσειε φιλοσοφία. θεὸς τὴν εὐχὴν ταύτην ἡμῖν τελειώσειεν.

ΘΕΜΙΣΤΙΟΥ ΠΡΕΣΒΕΥΤΙΚΟΣ εἰς Θεοδόσιον αὐτοκράτορα.

ΛΟΓΟΣ ΟΚΤΩΚΑΙΔΕΚΑΤΟΣ.

ΤΕΩΣ μὲν, ὦ θεοφιλέστατε βασιλεῦ, ἐδυσχέραινον ἐγὼ πρὸς τὴν ἀρρωστίαν, ὅτι τῶν κοινωνούντων μοι τῆς πρεσβείας ὑστερίζειν κατηναγκάσθην. νῦν δὲ ᾔσθημαι, ὁπόσον ἄρα περίεστιν ἡ τῆς ψυχῆς εὐφροσύνη τῆς τοῦ σώματος ἀδυναμίας· ποιεῖ γοῦν μοι καὶ τὴν νόσον ῥᾳστώνην, καὶ μόλις προσδοκηθεὶς διαφεύξεσθαι τὴν περιέχουσάν με

& iuſtitia quadam humiliore, quæ ſubditis ſemper pro tempore conſulat. Tales enim illi adeſſe oportet, cui ſumma rerum commiſſa eſt, ad ſingulas partes adminiſtrandas. Nimirum vt vniuerſi huius, cui mundi conueniens nomen inditum eſt, primaria quidem conſeruandi ratio in Deo eſt ſita: partium tamen eiuſdem aliam alius gubernat cui ille mandauerit: Eadem quoque ordinatione imperij hunc mundum, cui præes, prçditum oportere eſſe cenſes. Eſto ſanè. At num quod forte indicium inſcientes omiſimus? Age Platonis verba conſideremus. Regem quærit iuuenem, docilem, memorem, facilem, temperantem, magnificum. Sed nunquid ad temperantiam vobis probandam longiori oratione opus habetis? quum ita ab ipſo corpus ſiti, fame, laboribuſque foris ac ſub dio toleratis ſubactum videatis? qui vni dumtaxat thoro cui copulatus eſt, acquieſcit? vnde etiam ex ſacris caſtiſque nuptiis germen ſanctiſſimum exiſtit, filius inquam pulcher, amabilis: quem libens ego Alexandrum effecerim. Huiuſmodi ergo alumnum philoſophia identidem in maius quotidie prouehat, & Deus votum hoc nobis ratum perfectúmque reddat.

THEMISTII ORATIO IN LEGATIONE Theodoſio Imperatori dicta.

ORATIO XVIII.

HACTENVS quidem, Dei ſimillime Imperator, valetudinis meræ incommodum moleſtè ferebam: quod ea me ſerius quàm reliqui huius legationis noſtræ ſocij, quæ officij mei erant, facere coëgiſſet. At vero nunc demũ, quantum animi alacritas corporis imbecillitate potentior ſit, ſenſu percipio, quæ mihi hunc ipſum morbum in doloris leuamentum conuertit. Adeo vt qui nubem, quæ hactenus

corpuſculum hoc obſederat, nubem inquam omni maris tempeſtate fluctibuſque decumanis valentiorem, me vix effugiturum putaſſem,nunc velut repubeſcere mihi videar, poſtquam ex literis optimi noſtri ædilis intellexi, ſæculum aureum, quod iam redit, imperiúmque ſolidum, firmum, animique & corporis ornamentis omnibus reſplendeſcens breui nos eſſe conſpecturos. Et ſanè non illa erat inanis & ad ſolam oſtentationem compoſita oratio: quum nunc talem Imperatorem oculis vſurpare liceat, cui deprædicando Homerica prorſus voce ſit opus.

Antè decore parem tibi nunquam oculis conſpexi
Aut virtute. Viro ſimilis ſic vndique Regi es.

Quare meritò felicis huius rerum refluxus, ad quem iuſtitiæ ille oculus Pop. R. reducit, omniaque in meliorem partem inclinat,principia celebraturus accedo. Vnus tu nobis vir inſtar omnium,in te vnum præ reliquis omnibus intuemur: pro Dacis, pro Thracibus, pro Illyriis,pro militibus, pro omni belli apparatu qui vmbra citius de medio ſublatus eſt. Nunc à quibus hactenus impetebamur, illos incitato curſu vltro propellimus, ſtamus, reſpiramus propter ſpem de te nobis relictam: Scythiſque continuum huc vſque proſperitatis curſum cohibituros, flammámque omnia depaſcentem extincturos, nos certo confidimus. Non amplius Hæmus rebellat, non Thracum confinia, non Illyriorum confragoſa vel viatori inuia: poſteaquam equiti iam peditique animus rediit. Quum ipſos agreſtes Barbaris iam formidabiles efficis, quum etiam qui metalla ſcrutantur, auro abiecto ferrum in manus ſumere iubes. Atque hic ille exercitus qui omnis molliciei expers,per labores bona ſibi comparare didicit, vltro in vnum confluxit. Non fuit figmentum poëticum, quo Achilles vel ſolo bombo Barbaris euuſq; victoribus terrorem inieciſſe refertur. Qui.n. acie nondum aduerſus exitiabiles illos educta, ſed ſtationes dumtaxat propius ad illos admouendo, temeritatem ipſis incidiſti, quomodo ipſos peſſimè mox perituros,

τουτὶ δὲ σῶμα νεφέλην, ἰσχυροτέραν μὲν θαλάττης νεφέλην, ἰσχυροτέραν δὲ κλύδωνος καὶ τρικυμίας. ἥβαν δὲ αὖθις ἀπέλαβον, ἡνίκα ἐπυθόμην ἐν γράμμασι παρὰ τοῦ κρατίστου τῶν ἡμετέρων ζακόρων ὄψεσθαι τὴν χρυσῆν γενεὰν ἐπιδημήσουσαν, ὄψεσθαι ἡμᾶς βασιλείαν ὁλόκληρον καὶ ἀρτίπουν, λάμπουσαν τοῖς κάλλεσιν ἀμφοτέροις, τοῖς τε ψυχῆς καὶ τοῦ σώματος. καὶ ταῦτα οὐκ ἦν ἄρα κόμπος διακενός· ἀλλὰ πάρεστιν ὁρᾶν αὐτοκράτορα, ἐφ' οὗ τῆς Ὁμήρου ἐδεόμην φωνῆς· Καλὸν δ' οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν, Οὐδ' οὕτω γεραρόν· βασιλῆι γὰρ ἀνδρὶ ἔοικας· καὶ δεῦτα ἥκω συνεορτάσων τὰ προοίμια τῆς παλιρροίας, εἰς ἣν ἐπανάγει Ῥωμαίους ὁ τῆς δίκης ὀφθαλμός, καὶ μεθίστησι τὴν ἐπὶ τὰ ἀμείνω ῥοπήν. ἀνθ' ἁπάντων ἡμῖν γέγονας εἷς ἀνήρ. ἀντὶ πάντων εἰς σὲ ὁρῶμεν. ἀντὶ Δακῶν, ἀντὶ Θρακῶν, ἀντὶ Ἰλλυριῶν· ἀντ' ὁπλιτῶν, ἀντὶ τῆς ἄλλης παρασκευῆς· ὁπόση σκιᾶς ἀμυδρότερον ἠφανίσθη· καὶ προεξεσπάδην ἐλαυνόμεθα οἱ τέως διωκόμενοι. διὰ ταῖς περὶ σοῦ λαμπομένας ἡμῖν ἐλπίδας ἑστήκαμεν, ἀναπνέομεν, ἐφέξειν ἤδη Σκύθαις πιστεύομεν τὸν δρόμον τῆς εὐπραγίας, καὶ σβέσειν τὴν ἐπινεμομένην τὰ πάντα πυρκαϊάν. οὐκ ἀπέστησεν Αἷμος, οὐ Θρακῶν ὄρεια, καὶ Ἰλλυριῶν δυσπόρευτα καὶ ὁδοιπόρῳ· ἀλλὰ νῦν ἐπανήκει μὲν τοῖς ἱππεῦσιν, ἐπανήκει δὲ τοῖς ὁπλίταις τὰ φρονήματα. ποιεῖς δὲ ἤδη καὶ τοὺς γεωργοὺς φοβεροὺς τοῖς βαρβάροις, καὶ τοὺς μεταλλέας· καὶ τὸν χρυσὸν ἄφετον κελεύεις τὸν σίδηρον καταλαμβάνειν. καὶ στρατὸς οὗτος ἄγευστος ἡδυπαθείας ἤδη συνερρύηκεν ἐθελοντής, ἐκ πόνων κτᾶσθαι τὰ ἀγαθὰ πεπαιδευμένος. οὐκ ἦν μῦθος ποιητικὸς τὸ παράχον ἐμβαλεῖν τὸν Ἀχιλλέα καὶ βομβήσαντα μόνον τοῖς βαρβάροις τρέας νικῶσιν· οὓς γὰρ οὔπω πρὸς τοῖς ἀλητηρίοις παραταξάμενος, τῶν πλησίον αὐλίζεσθαι μόνον καὶ ἐφορμεῖν, ἐνέκοψας αὐτῶν τὴν αὐθάδειαν,

τί παθεῖν εἰκὸς τοὺς κάκιστα ἀπολουμένους, ὅταν ἴδωσι πάλλοντα τὸ δόρυ, καὶ τὴν ἀσπίδα νωμῶντα, καὶ τῆς κόρυθος τὴν ἀστραπὴν ἐγγύθι λαμπομένην; δύο δὲ ὀφειλούσης σοι τῆς πόλεως τῆς Κωνσταντίνου στεφάνους, τόν τε ἀπὸ τοῦ χρυσοῦ, καὶ τὸν ἀπὸ τῆς εὐνοίας, τὸν μὲν ἀπὸ τοῦ πλούτου στέφανον εἰς τὴν ἡμέραν ἐκείνην ἡ καλλίπολις εὐτρεπίζεται, καθ' ἣν ἀναδήσῃ λαμπρότερος ἐπωνήκοντα τροπαιοφόρον ἀπὸ τῶν δυσωνύμων βαρβάρων· τὸν δὲ ἀπὸ τῆς εὐνοίας ὃν προσήκει φιλοσοφίᾳ διακονεῖν, οἴκοι τὸν ἀκέραιον διαφυλάττει, καὶ προὔτρεψεν ὅμως ἐνθάδε καὶ τοῖς διδάσκουσιν ἀληθινῶς, καὶ τῷ λαμβάνοντι κεχαρισμένως. χρυσίον μὲν γὰρ ἄν τις λειτουργήσειε καὶ δεδιώς· εὔνοιαν δὲ οὐκ ἔνεστιν εἶναι μὴ προαιρούμενον. προὔκρινεν δὲ ὁ θεὸς τοὺς θυμιῶντας πολλάκις τῶν τοὺς τρίποδας ἀνατιθέντων. πρόσεισι δὲ οὐκ αἰτήσουσα μόνον ὧν δεῖται, ἀλλὰ βεβαιοῦσα πρὸς τὴν τὴν ψῆφον τῆς ἀναρρήσεως. προσήκει γὰρ δήπου ταῖς βασιλίσι τῶν πόλεων, συνᾴδειν τοὺς βασιλεύοντας τῶν ἀνθρώπων. καὶ τῶν τε δυοῖν μητροπόλεων τῆς οἰκουμένης (λέγω δὲ τῆς Ῥωμύλου καὶ τῆς Κωνσταντίνου) μᾶλλον ἂν σοι φαίην ἁρμόττειν τὴν ἡμετέραν. καὶ γὰρ ἐκείνη μηδ' ὁτιοῦν τῷ γένει τῶν κεκρατηκότων προσήκουσα, κοινωνὸς γέγονε τῇ μεγάλῃ πόλει τῆς βασιλείας δι' ἀρετήν. προήγαγεν δέ σε εἰς τὴν ἁλουργίδα, οὐκ ἀγχιστεία γένους, ἀλλ' ἀρετῆς ὑπεροχή· οὐδὲ οἰκειότητος ἐγγύτης, ἀλλὰ Ῥώμης ἀπόδειξις καὶ ἀνδρίας. καὶ σοφῶς Γρατιανός, καὶ πολιᾶς, οὐ νεότητος, ἐπαξίως, ὅτι μὴ τὸν οἰκειότατον ἄριστον, ἀλλὰ τὸν ἄριστον οἰκειότατον ὑπέλαβε. καὶ καλῶς ἑαυτοῦ πεποίηται ψῆφον, ἣν προλαβὼν ὁ καιρὸς ἐπεψηφίζετο. οὕτω καὶ τὸν Θηβαῖον Ἐπαμεινώνδαν στρατευόμενον ἐν τοῖς ὁπλίταις ἐκάλεσεν ὁ δῆμος εἰς στρατηγόν. ἐξ ἐκείνου δὲ καί σε ἐκάλουν ἐπὶ τὴν βασιλείαν Ῥωμαῖοι, ἐξ ὅτου Σαυρομάτας λυττῶντας, καὶ τὴν πρὸς τῷ ποταμῷ γῆν ἅπασαν ἐπιδραμόντας, μόνος ἀνέστειλας, ὑπο-

afficiendos eſſe credendum eſt, quando te haſtam iam vibrantem, ſcutum mouentem, galeæque tuæ fulmen propius effulgurare conſpexerint? Duas porrò quum tibi Conſtantini vrbs coronas debeat, ex auro vnam, ex tuorum in te beneuolentia conſertam alteram: diuitem illam pulchra vrbs in eum tibi diem adornat, quo te benè geſta & victoriæ compotem te à nefariis Barbaris reuertentem ea coronet. Nam alteram à beneuolentia, vt dixi, profectã, quam à Philoſophia tibi miniſtrari æquum eſt, tibi illa domi illibatam adſeruat: quam etiam pridem hic & vera docentibus, & gratè accipienti concinnauit. Aurum enim aliquis etiam metuens contribuerit: beneuolus autem nemo eſſe poteſt, niſi ex præcedente animi inductione. Sæpè autem Deus thure dumtaxat rem diuinam facientes, illis qui ſolidos tripodas dedicarent, potiores habuit. Accedit autem ciuitas noſtra non modo quæ opus habet, petitura, ſed vt primum electionis tuæ ſuffragium etiam confirmet. Conuenit enim profectò vt cum Imperatore vrbium, eius imperio ſubiecti concordent. Quumque duæ vrbes primariæ ſint vniuerſi terrarum orbis, altera à Romulo, altera à Conſtantino condita, magis tamen noſtram tibi congruere dixerim: quòd quum ne tantillum quidem ad genus illorum qui in illa rerum potiti ſunt, pertineret, imperij tamen cum eadem maxima vrbe conſors per virtutem effecta ſit. Te quoque ad purpuram prouexit non familiæ affinitas, ſed virtutis præſtantia: non neceſſitudinis propinquitas, ſed roboris viriliſque animi demonſtratio. Et profectò ſapienter Gratianus, & ſenili potius quàm iuuenili ſua ætate dignum fecit, quod non qui proximus ſibi eſſet, optimum, ſed qui optimus, proximum ſibi eſſe iudicarit. Ac probum hercle ipſe ſuffragium tulit, quod tempus iam antea de te tuliſſet. Sic & Epaminondam Thebanum ex milito gregario populus ad exercitus præfecturam vocauit: vt ab exercitu te quoque Romani ad imperium arceſſiuerunt. Ex quo Sarmatas furentes, omnemque quæ flumini adiacet terram incurſione vaſtantes ſolus repreſſiſti,

cum copiis ſanè exiguis, neque illis admodum ſelectis. Proinde ob tantam quæ de te concepta ſpes eſt, imperio adſcitus cum fueris, in nihil aliud mentis aciem intendas oportet, quàm vt omnibus mortalibus re ipſa oſtendas te ab ipſa virtute Imperatorem fuiſſe creatum, à Gratiano verò tantum renunciatum. Nam & in certaminibus, corporis quidem robur corona dignos efficit: ſed tamen illam præcones imponunt. Sed illic præco coronæ minimè particeps, quippe qui dat rem à ſe nunquam poſſeſſam. At hic Imperatorem Imperator ea cingit, neque quicquam deperdit, poſtquàm dederit: ſed plus inſuper ſibi aliquid acquirit: honorem enim tribuens, qui vna ſecum curarum ſocietatem ſuſcipiat, ſibi comparat. Hinc Gratianus virtute tua perſpecta ad ætatem nequaquam attendit; neque quod iunior ſeniorem coronaret, ſecum reputauit: Sed quod ille potior ſit parens habendus, non qui natura quempiam genuit, ſed qui certa animi deſtinatione ſit acquiſitus. Et quidem vtriuſque veſtrum par laus: illius quod ſeniorem te imperatorem renunciauerit: tua autem quod ſenior quum ſis, filij erga illum affectu fore creditus fueris. Orat autem vtrumque magna vrbs, te quidem, vt penes quem eius rei dandæ facultas eſt; illum autem, vt qui tibi eandem facultatem tribuit, primùm vt quam citiſſimè patronum ac defenſorem ſuum accipiat, & præ reliquo Oriente illi prius occurrat: Secundò, vt beneficia vniuerſa ipſi à progenitoribus tuis decreta firma permaneant. Progenitores porrò tuos appello, non vniuerſim omnes, qui ante te imperium obtinuerunt, ſed qui humanitate ac benignitate præ cæteris excelluere, quorum te verum hęredem eſſe oſtendis. Tertiò denique hanc ſibi haberi gratiam poſtulat, eamq; maximè imperatore dignam, vt ſui ſenatui honores tribuantur. Solus enim hic theſaurus dum maximè expenditur, minimè conſumitur, neque vectigalibus ad illum conſeruandum indigetis, ſed quo liberalius vtimini, eo vobis copioſior maiorq; efficitur. Nam columnarũ quidẽ ſtatuarumq; copiam & aquæ abundantiam priores imperatores ad inue-

στὰς σὺν ὀλίγῃ δυνάμει καὶ οὐδὲ ταύτῃ ἀπειλημμένῃ. καὶ νῦν ὅτι τοιαύτῃ πίστει παρακεκλημένος εἰς τὴν βασιλείαν, δίκαιος εἶ μηδὲν ἄλλο ὁρᾶν, ἀλλ' ἐπιδείξασθαι πᾶσιν ἀνθρώποις, ὅτι ἡ μὲν ἀρετή σε ἐποίησεν αὐτοκράτορα, Γρατιανὸς δὲ ἐκήρυξε. καὶ γὰρ ἐν τοῖς ἀγῶσι τοὺς στεφανοφόρους ποιεῖ μὲν ἡ ῥώμη τοῦ σώματος, ἀναδοῦσι δὲ οἱ κήρυκες. ἀλλ' ἐκεῖ μὲν οὐ μέτοχος ἐστὶ ὁ κηρύξας τοῦ στεφάνου· ὥστε δίδωσιν ὃ μὴ κέκτηται· βασιλέα δὲ βασιλεὺς ἀναδεῖ, καὶ οὐκ ἐλαττοῦται διδούς, ἀλλὰ προσλαμβάνει. διδοὺς γὰρ τιμήν, προσλαμβάνει κοινωνίαν φροντίδων. διὰ τοῦτό τοι Γρατιανὸς τὴν ἀρετὴν ὁρῶν, οὐχ ὑπείδετο ἡλικίαν, οὐδὲ ὅτι νεώτερος πρεσβύτερον ἀναδεῖ, λελόγισται· ἀλλ' ὅτι κάλλιον ἐστὶ πατὴρ τοῦ τῇ φύσει γεννῶντος ὁ τῇ γνώμῃ προαιρούμενος. καὶ ἀμφοῖν ἴσος ἔπαινος, τοῦ μὲν ὅτι πρεσβύτερον ἀνεῖπεν, τοῦ δὲ ὅτι πρεσβύτερος ὤν, παιδὸς εὔνοιαν ἕξειν ἐπιστεύθη. δεῖται δὲ ἀμφοτέρων ἡ μεγάλη πόλις, σοῦ γὰρ ὡς κυρίου διδόναι, τοῦ δὲ ὡς σε κύριον πεποιηκότος, πρῶτον μὲν ὑποδέξασθαι ὡς τάχιστα τὸν προστάτην, καὶ τῆς ἑῴας ἁπάσης προσαπολαῦσαι· δεύτερον δὲ βεβαίας αὐτῇ μένειν τὰς δωρεὰς πάσας, ἃς οἱ σοὶ προπάτορες ἐψηφίσαντο. προπάτορας δὲ σοὺς ὀνομάζω, οὐχ ἅπαντας ἁπλῶς τοὺς πρότερον αὐτοκράτορας, ἀλλὰ τοὺς εὐδοκίμους ἐπὶ πρᾳότητι καὶ φιλανθρωπίᾳ, ὧν δὴ γνήσιον κληρονόμον ἑαυτὸν ἀποφαίνῃ. τρίτον ξυναφθῆναι τιμῆς τὴν γερουσίαν, βασιλικωτάτην ἁπασῶν ταύτην τὴν χάριν αἰτοῦσαν. μόνος γὰρ οὗτος ὁ θησαυρὸς δαπανώμενος οὐκ ἐλαττοῦται, οὐδὲ δεῖσθε πρὸς αὐτὸν εἰσφορᾶς. ἀλλ' ὅσῳπερ ἂν δαψιλεστέρᾳ χρῆσθε ταύτῃ τῇ δαπάνῃ, τοσούτῳ πλέων καὶ μείζων ἡμῖν περιγίγνεται. κιόνων μὲν γὰρ πλῆθος καὶ ἀνδριάντων καὶ ὕδατος περιουσίαν οἱ πρότερον εὗρον βασιλεῖς,

καὶ ἡμῖν ἐδωρήσατο· τιμαῖς καὶ ἀξιώμασιν σὺ καταπύκνωσον ἡμῖν τὴν γερουσίαν, καὶ τὴν ἔνδειαν ἴασαι, τὴν οὐχ ἧττον αἰκιῶσαν ἡμᾶς ἢ πρότερον ἡ τῶν ναμάτων. καὶ οὓς πατέρας ὠνόμασας συγγεγραμμένους, ποίησον ἀξίους τῆς ἐπικλήσεως. οὔτοι φανήσῃ Κωνσταντίνου καταδεέστερος, ὅπου στήσεις τὴν πόλιν ὑψηλοτέραν πολιτείᾳ ἢ Κωνσταντῖνος οἰκοδομήμασιν. οὕτω καὶ τῇ μεγάλῃ Ῥώμῃ θέατρα μὲν ἀγοραὶ καὶ γυμνάσια χθές που καὶ πρώην προσγέγονε· τιμαὶ δὲ καὶ τὸ ἄρχειν ἀεὶ, καὶ τὸ διαλαγχάνειν τὰς τῶν ἐθνῶν ἐπιτροπίας, ἐξ ἀρχῆς οἰκιζομένῃ τῇ πόλει συνερρύησαν. νῦν δὲ ἐπὶ μὲν τοῖς τῶν ἀνδριάντων μεγέθεσι σεμνυνόμεθα, ἐπὶ δὲ τοῖς τῶν ἀνδρῶν ἀξιώμασι θαρροῦμεν. ἀλλ' εἰ σὺ τοιαῦτα ἀναθείης, ὦ θεία κεφαλὴ, τῇ βουλῇ νικητήρια, τότε ἀληθινῶς ἔσται δευτέρα Ῥώμη σὴ πόλις, ὡς νῦν γε οὐ λίαν οἰκείως τῇ ἐπικλήσει ταύτῃ φιλοτιμούμεθα.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΕΙΝ ΤΟΙΣ ΤΟποις ἀλλὰ τοῖς ἀνδράσι προσέχειν.

ΛΟΓΟΣ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΟΣ.

ΤΙ ποτε ἄρα τὰς μὲν ἄλλας τέχνας οἱ ἄνθρωποι οὐχ ὅπως ἐν πόλει διδάσκοιντο σεμνῇ καὶ ἐνδόξῳ φροντίζουσιν· ἀλλ' ὅπως ὑπὸ τοῦ κάλλιστα ἐπισταμένου· οἷον χαλκεύειν παρὰ τοῦ χαλκεύειν εἰδότος, καὶ αὐλεῖν γε αὖ καὶ κιθαρίζειν παρὰ τοῦ ταῦτα εὖ δυναμένου, κἂν ὅποι ποτὲ ὦσι γῆς καὶ θαλάττης· ἐπὶ δὲ τῆς καλουμένης παιδείας οὐ τὸ ἴσον ἀποδιδόασιν, οὐδὲ παρ' ὅτου μάθοιεν, ἀλλ' ὅπου ζητοῦσι. καὶ περὶ μὲν τῶν λόγων αὐτῶν οὐδεὶς αὐτοῖς λόγος. εἰ δὲ ἡ πόλις ἀρχαίων καὶ παλαιῶν γέμουσα μυθολογημάτων, τούτους ἐξετάζουσί τε καὶ μεταποιοῦνται.

adinuenerunt, nobiſque dono reliquerunt: tu honoribus ac dignitatibus Senatum nobis firma, huiuſque rei indigentiæ non minus nobis quàm antea aquæ inopia moleſtę medere: quóſque Patres conſcriptos nominaſti, vt digni eo ſint nomine, contende. Neque quicquam Conſtantino inferior fueris, quando altius hanc vrbem ciuili gubernatione, quã ille ſtructis ædificiis, educes. Sic etiam magnæ vrbi Romę theatra, fora, gymnaſia, non ita pridem acceſſere: honores autem, magiſtratus, iúſque gentium præfecturas ſortiendi, ſimul cum ipſa condita firmiter ſemper obtinuere. Nam nunc ſtatuarum quidem magnitudine gloriamur; at vero in præclaris virorum dignitatibus fiduciam collocamus. Quæ ſi tu Senatui velut victoriæ præmia conſecraris, Auguſte Imperator, tum vero hæc tua vrbs, altera Roma reuera fuerit. Nam vt nunc illa eſt, non admodum propriè nos iſta appellatione venditamus.

NON LOCA SED HOMINES debere attendi.

ORATIO XIX.

QVIDNAM cauſæ eſſe poteſt, quod homines cum cæteras artes non in clara quapiam ac nobili vrbe addiſcere ſtudeant, ſed ab eo qui optimè illas nouerit, vt æra cudere, ab eius artis perito; tibiis ac cithara modulari, ab iis qui id bellè callent, vbicumq; tandem illi locorũ ſeu mari degant: at in honeſtis diſciplinis addiſcendis non idem præſtent, neque à quo ſed vbi erudiantur curæ habeãt? Et quidem de illis ipſis diſciplinis exigua illis cura: vt autem vrbs in qua huius rei cauſa verſantur, antiqua ſit, & veterum fabularum abundans, hoc vnum expendunt affectántque.

Et tamen, vt nihil prohibet eoſdem calceos fieri, eaſdémque literas pingi in obſcura ac nobiliori vrbe: ita nec iiſdem diſciplinis operam nauare. Nunc autem fabricare, ædificare, texere, omni in loco pari modo aggrediuntur; eruditioni autem vnum quempiam tractum ſiue vrbem ſecernentes, qui alibi quippiam ea de re dixerint, tanquam diuinorum myſteriorum proditores traducunt. Video tamen illos interim templa Mercurio dicata in omnibus locis atque vrbibus extruentes: bonarum vero artium diſciplinis non id honoris habentes, vt Mercurij templa verius eſſe conſtent. Sed ſi quis in illis ex auro, argento aut ebore, fortean ſimulacrum Deo conficiat, illud nihilominus adorant ac venerantur: ſimulachra autem ab honeſtarum diſciplinarum arte profecta inſuper habent atque aſpernantur. Atque hæc quidem mihi in mentem venerunt de quibus apud vos verba facerem, non inepto aliquo garriendi & de re nihili incaſſum deblaterandi ſtudio (neque enim ita ſapiens ac talium abundans ſum, vt beati noſtri Sophiſtæ) ſed quòd quidam reperiatur, qui quæ hic muſæa ſunt, eadem eleuat dehoneſtatque, nihil aliud quod eis obiiciat, prętcr ea quæ retuli, habens. Adeo ille quoque non tam ipſarum diſciplinarum quàm vrbium examen inſtituit. Vultis ne ergo, ſi quem modum eius faciendi inuenire poſſimus, vt à ſententia ſua depulſo perſuadeamus, non debere ex hoc quidem capite vlla ægritudine moleſtiaque affici, dummodo quæ præſtantiora ſunt, illi in animo ſuppeditent? Ego ipſe, ô optime Iuuenum, in loco longè quàm hic eſt obſcuriori, neque illo amœno aut Gręco omnino, artis oratoriæ pręcepta hauſi: ſed in ipſis Ponti extremis finibus, prope Phaſin, vbi Argo ex Theſſalia conſeruatam & à cœlo ſublatam Poëtæ ſunt admirati: eò inquam loci, vbi Thermodon & Amazonum facinora, ac Themiſcyra extant. Et tamen locum adeo barbarum atque inſuauem vnius viri ſapientia ac probitas, Græcum ſacrumque Muſarum delubrum efficiebat. Qui medios inter Colchos Armenióſque conſtitutus,

καίτοι καθάπερ οὐδὲν κωλύει τὰ αὐτὰ ἐργάζεσθαι, ὑποδήματα ἔν τε ἀδόξῳ πόλει καὶ ἐν σεμνοτέρᾳ, καὶ τὰ αὐτὰ γράμματα γράφειν· οὕτως οὐδὲ τοὺς αὐτοὺς λόγους ἐκμελετᾶν. νῦν δὲ τεκταίνεσθαι μὲν καὶ οἰκοδομεῖν καὶ ὑφαίνειν, ἁπανταχοῦ παραπλησίως ἐπιχειροῦσι· τοῖς λόγοις δὲ ἕν τι χωρίον ἐξελόντες ἢ μίαν πόλιν, τοὺς ἀλλαχοῦ τι λέγοντας διαβάλλουσιν, ὥσπερ τοὺς ἐξορχουμένους τὰ μυστήρια τῶν θεῶν. ὁρῶ δὲ ἔγωγε νεὼς μὲν τοῦ Ἑρμοῦ κατὰ πᾶσαν ὁμοίως χώραν τε καὶ πόλιν αὐτοὺς δεχομένους· τὰς διδασκαλίας δὲ τῶν λόγων οὐκ ἀξιοῦντας ὑπολαμβάνειν Ἑρμοῦ νεὼς ἀληθεστέρας. ἀλλ' εἰ μὲν χρυσοῦν ἢ ἀργυροῦν ἢ ἐλέφαντος τοῦ θεοῦ τις ἐνταῦθα δημιουργήσειεν ἄγαλμα, προσκυνοῦσί τε αὐτὸ καὶ σέβονται οὐδὲν ἧττον, τῶν δὲ ἐκ τῶν λόγων ἀγαλμάτων καὶ τῆς ἐντεῦθεν τέχνης ὑπερορῶσι καὶ ἀτιμάζουσι. ταῦτα δὲ ἐπῆλθέ μοι πρὸς ὑμᾶς λέγειν, οὐχ ὡς ἀδολεσχοῦντι, οὐδὲ εἰκῇ τι βουλομένῳ λέγειν καὶ κατὰ πράγματος οὐδενός· οὐ γὰρ οὕτως εἰμὶ σοφὸς οὐδὲ εὔπορος, ὥσπερ οἱ μακάριοι σοφισταί. ἀλλ' ὅτι καὶ τὰ ἐνθάδε τις Μυσῶν φαῦλα ποιεῖται καὶ ἀτιμάζει ἄλλῳ μὲν ἴσως οὔτε ἐπικαλῶν, οὔτε ἔχων. ἔοικε δ' οὖν καὶ τοῦτο ἐξετάσει πόλεων καὶ οὐ λόγων. βούλεσθε οὖν μεταπείθωμεν, εἴ πῃ δυνάμενος ἐξελεῖν, ὅτι μὴ δέοι δυσχεραίνειν αὐτόν, μηδὲ αἰτιᾶσθαι τοῦτο τὸ μέρος, εἴ τά γε τιμιώτερα αὐτοῦ κατὰ νοῦν ἀπάρχει. ἐγώ τοι καὶ αὐτός, ὦ χρηστὲ νεανία, ἐν πολὺ τοῦδε ἀφανεστέρῳ χωρίῳ τοὺς ῥητορικοὺς λόγους ἀνεθρεψάμην, οὐδὲ ἐν ἡμέρῳ καὶ Ἑλληνίῳ, ἀλλ' ἐν τῇ ἐσχατιᾷ τοῦ Πόντου πλησίον Φάσιδος, ὅπου καὶ τὴν Ἀργὼ σωθεῖσαν ἐκ Θετταλίας ποιηταί τε ἐθαύμασαν, καὶ οὐρανὸς ἀνηρείψατο. ἐκεῖ δέ που καὶ ὁ Θερμώδων καὶ τὰ Ἀμαζόνων ἔργα, καὶ τὸ Θεμισκύρειον. ἀλλ' ὅμως οὕτω βάρβαρον χωρίον καὶ ἀνήμερον, ἀνδρὸς ἑνὸς σοφία καὶ ἀρετὴ Ἑλληνικόν τε ἐποίησε, καὶ ἀνάκτορον τῶν Μουσῶν. ὃς ἐν μέσῳ Κόλχων καὶ Ἀρμενίων καθιδρυμένος,

οὐ τοξεύειν οὐδὲ ἀκοντίζειν ἐδίδασκε, οὐδὲ ἀναβαίνειν ἵππον κατὰ τὴν προσοίκων βαρβάρων παιδείαν· ἀλλὰ ῥητορικὴν ἐκπονεῖν, καὶ πανηγύρεσιν Ἑλλήνων ἐμπρέπειν. Εἰ δὲ ἀληθῆ ταῦτα λέγω, δῆλον εὐθὺς εἴ τι λέγω. κἀκεῖσε ἀφικόμην καὶ χρείατων. ἀλλά με ἔστελλε ἀνὴρ οὕτω μὲν εὔνους ὡς ἂν πατήρ, οὕτω δὲ ὀρθῶς δοκιμάζων, ὡς ἂν φιλόσοφος. ἢ κἀκείνου σὺ πάντως καταφρονήσεις, ὅτι τὴν θρυλλουμένην φιλοσοφίαν τῇδέ που καὶ αὐτὸς συνελέξατο, ἐμοῦ δὲ ἴσως καὶ πολὺ μᾶλλον, ἅτε οἴκοθεν καὶ ἀφ' ἑστίας τὰ ὄργια τελεσθέντος. φέρε δὴ ἴδωμεν, ἐφ' ὅτῳ καὶ ἀνιώμεθα· ἐγὼ μὲν γάρ τοι οὐκ αὐτός που δύναμαι κατολμῆσαι ἡμῶν τὸ πλῆθος· εἰ τὰ σώματα ἐνοσοῦμεν, καὶ ἐδεόμεθα τῆς παρὰ τοῦ θεοῦ βοηθείας, ὁ δὲ ἐνταῦθα παρῆν ἐν τῷ ναῷ καὶ τῇ ἀκροπόλει, καὶ παρεῖχε ἑαυτὸν τοῖς κάμνουσι, ὥσπερ δήποτε καὶ λέγεται, πότερον ἦν ἀναγκαῖον, εἰς Τρίκκην βαδίζειν, καὶ διαπλεῖν εἰς Ἐπίδαυρον κατὰ τὸ παλαιὸν κλέος, ἢ δύο βήματα κινηθέντας ἀπηλλάχθαι τοῦ νοσήματος; τί δὲ εἰ τοῦ παιδὸς αὐτοῦ δεηθέντες ἐτύχομεν ὀλίγου πρότερον χρόνου, ἣν οἷα ἐκ γειτόνων τὴν μαντικὴν ἐπεδείκνυτο· ἆρα ἂν ὑμῖν ἄτιμον ἐφάνη τὸ Παφλαγόνων ὄνομα πρὸς τὸ Δελφῶν παραβάλλουσι, καὶ ἀνάξιον τῆς θεωρίας τῆς ὑμετέρας ὡς ἔοικε ἐπὶ Κασταλίαν ἔδει σπεύδειν, καὶ τὰ σεμνὰ ὀνόματα, καί που Πυθῶδε ἐπείγεσθαι, καὶ τῆς παλαιότητος ἀπολαύειν, τοῦ Παρνασσοῦ τε τὴν προφῆτιν ὁρᾶν τὴν σιωπῶσαν, αὐτὸν δὲ τὸν Ἀπόλλω καταλιμπάνειν, οὗ τῆς μαντικῆς ἐδεόμεθα· καὶ ἀγανακτεῖν πρὸς αὐτὸν, ἐπὶ τὰ μέσα Παφλαγονίας τῶν μέσων τῆς Ἑλλάδος προὐτίμησε; γελοῖοι μὲν τ' ἂν ἐδοκοῦμεν εἶναι, οὐ διὰ τὸν θεὸν καὶ τὸ χωρίον τιμῶντες, ἀλλὰ διὰ τὸ χωρίον καὶ τὸν θεὸν ἀτιμάζοντες. ἐγὼ δὲ καὶ Μίλητον ἄγαμαι καὶ Κολοφῶνα τῆς παλαιᾶς ἐνδιαιτήσεως τοῦ Ἀπόλλωνος. εἰ δὲ πλησίον που νεὼ ἱδρυθεὶς ὁ

non ſagittam emittere, non iaculum torquere, non equum conſcendere (quæ accolentium Barbarorum diſciplina eſt) ſed quomodo quis artis oratoriæ facultate indefeſſo labore comparata, cum ſplendore in frequentibus Græciæ conuentibus verſaretur, præcipiebat. Quæ ſi vera à me referuntur, protinus nimirum patet, ſi quid dico quod ad rem facit, me quoque illuc iuiſſe non ſponte quidem. Sed miſit me eò vir beneuolentia pater, iudicandi dexteritate Philoſophus. An & illum tu etiam prorſus contemnes, quod celeberrimam Philoſophiam in eodem loco ipſe quoque & fortaſſis etiam amplius quàm ego (quippe qui iam antea domi ac velut ab ipſo lare hiſce orgiis initiatus fueram) ſibi conciliauerit? Sed age deſpiciamus, quo tandem nomine hic quemquam offendamus. Neque enim mores veſtros ſatis aſſequor. Dic, amabo, ſi corpora noſtra à valetudine deterius haberent, & ope Æſculapij indigeremus; ac ille interim hic in templo ſiue in arce ſeipſum (quod aliquando facere dicitur) ægritudine laborantibus præſentem exhiberet, num opus cenſeres Triccam proficiſci, & in Epidaurum nauigare, propter antiquam loci nobilitatem potius, quàm duorum paſſuum ſpatio motos ægritudine liberari? Ad hæc quid ſi nuper patris eius Apollinis opus habuiſſemus, quando vicinis hiſce in locis oracula edebat, num vobis Paphlagonium nomen cum Delphis comparantibus obſcurum viſum fuiſſet, veſtraque conſultatione indignum: quod oporteret ſcilicet Caſtaliam petere, & ad veneranda illa nomina, atque etiam Pythonem feſtinanter contendere, & Parnaſſi vetuſtate frui, vatemq; ſilentem contueri: ipſum autem Apollinem; cuius vaticinio nobis opus fuiſſet, relinquere, adeoq; illi ſuccenſere, quod Paphlagoniæ vmbilicum mediæ Helladi prætuliſſet? Ridiculi planè viſi fuiſſemus, non Dei cauſa locum honorantes, ſed propter locũ etiam Deum ipſum iniuria afficientes. Ego & Miletum veneror, & Colophonem, propter veterem inibi Apollinis habitationem. Cæterùm tamen, ſi propiùs nunc alia quapiam in vrbe

